Forgotten Books

www.forgottenbooks.com

Copyright © 2016 FB &c Ltd.
All rights reserved. No part of this publication may be reproduced, distributed, or transmitted in any form or by any means, including photocopying, recording, or other electronic or mechanical methods, without the prior written permission of the publisher, except in the case of brief quotations embodied in critical reviews and certain other noncommercial uses permitted by copyright law.

# EURIPIDIS

# FABULAE

EDIDERUNT

R. PRINZ ET N. WECKLEIN.

VOL. I. PARS I.

## MEDEA.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCXCIX.

# EURIPIDIS

# MEDEA

EDIDIT

**RUDOLFUS PRINZ.**

EDITIO ALTERA QUAM CURAVIT

**N. WECKLEIN.**

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCXCIX.

PA3973
A2
1892
v.1

LIPSIAE: TYPIS B. G. TEUBNERI.

# Praefatio editionis primae.

*Codices* digni, qui ad Euripidis Medeam recensendam adhibeantur, sunt hi:

*B* = codex Vaticanus 909, bombycinus saeculi XIII. continet Hecubam, Orestem, Phoenissas, Medeam, Hippolytum, Alcestin, Andromacham, Troades, Rhesum cum scholiis et glossis. multifariam correxit manus prima ($B^1$). postea correxerunt variasque lectiones adscripserunt manus secunda et tertia codicem secutae, qui simillimus erat *S*. quae cum saepissime discerni vix possint, eas una nota (*b*) significavi. signo $b^s$ indico *b* (vel cum vel sine γρ.) literas vel vocabula superscripsisse. librum contulit olim Elmsleius. equidem novam collationem debeo Carolo Dilthey. multos locos ac praecipue eos, quibus Elmslei et Dilthei collationes inter se discrepabant, inspexit Hugo Hinck.

*E* = codex Parisinus 2712, membranaceus saeculi XIII. insunt praeter Sophoclis Aristophanisque fabulas septenas Euripidis Hecuba, Orestes, Phoenissae, Andromacha, Medea, Hippolytus cum glossis et scholiis brevissimis. permulta manus prima ($E^1$) correxit et in rasura scripsit, pauca eo minio correcta et addita sunt, quo glossae et personarum notae scriptae sunt. a manu prima interdum distinxi manum secundam ($E^2$), cui fortasse nonnullae correcturae debentur, quas $E^1$ tribui. praeterea complures manus recentiores literas et vocabula inter versus et in margine scripserunt. codicem obiter inspexerunt olim Musgravius et Brunckius. equidem fabulas Euripidis et Sophoclis, cuius editionem praeparo, anno 1868, Euripidis denuo

63880

anno insequenti cum codice contuli. Aristophanem suum contulit Adolfus de Velsen amicus.

*a* = codex Parisinus 2713, in membranis eleganti manu saeculo XIII scriptus. continet Hecubam, Orestem, Phoenissas, Hippolytum, Medeam, Alcestin, Andromacham cum glossis scholiisque uberrimis maximam partem a manu prima scriptis. praeter hanc ($a^1$) correxerunt secunda ($a^2$) et complures recentiores ($a^3$). bis etiam hunc codicem ipse excussi.

*S* = codex archetypus nunc deperditus librorum:

*L* = codicis Florentini plut. 32 n. 2, chartacei, saeculo XIV compluribus manibus scripti. insunt praeter alia Euripidis fabulae duodeviginti, desunt Troades et Baccharum finis (v. 756—1392). textum correxit manus prima ($L^1$), deinde mutavit manus recentior (*l*) ita, ut liber praestantissimus, usque ad hoc tempus non satis cognitus, non recte aestimatus sit. quia multorum intererit originem multarum editionis Aldinae lectionum cognoscere, multas miseras mutationes a *l* factas commemoravi, quas silentio premere praestat. praeter *l* nonnullae aliae manus recentissime pauca mutarunt. contulit librum Hugo Hinck, homo egregius, quem praematura morte literis ereptum esse valde lugeo.

*P* = codicis Palatini inter Vaticanos 287, in membranis saeculo XIV scripti. praeter nonnullas Sophoclis Aeschylique fabulas continet Euripideas Andromacham, Medeam, Supplices, Rhesum, Ionem, Iphigeniam Tauricam, Iphigeniam Aulidensem, Danaes fragmentum spurium, Hippolytum, Alcestin, Troadas, Bacchas, Cyclopem, Heraclidas (usque ad v. 1002). correxerunt manus prima ($P^1$) et manus recentior (*p*). librum contulit olim Elmsleius, eis locis, quibus interesse videbatur, inspexerunt Hugo Hinck et Augustus Wilmanns.

horum codicum[1]) duae classes sunt distinguendae. ab

1) accedit, quod ad argumenta et v. 1—42 Medeae attinet,
*F* = codex Marcianus 468, bombycinus saec. XIV, in quo insunt praeter alia Euripidis Hecuba, Orestes, Phoenissae, Medeae argumenta et v. 1—42. librum contulit Hugo Hinck.

altera parte stant *BEa* (atque artiore vinculo iuncti sunt *BE*, medium quendam locum tenet *a*), ab altera *S*. pretium duarum classium non prorsus par est, cum numerus vitiorum et interpolationum primae classis minor sit, sed secunda classis non multo deterior ac nequaquam hercle contemnenda est. quod accuratius mox demonstrabo de universa librorum Euripideorum ratione ac praecipue de codice *S* disputaturus.

integram dedi lectionis varietatem, respectis omnibus correcturis et rasuris, codicis *B*, selectam codicis *a*. attuli omnes lectiones, neglectis multis correcturis et rasuris, codicis *E* et, quantum indagare potui, codicis *S*. neglexi plerumque vitia accentuum, praecipue encliticorum (quibus librarii δέ addunt, demunt τε), iota mutum (quod omittunt aut subscribunt *BES*, adscribit aut omittit *a*), alias minutias, quibus nihil tribuendum. levioribus in rebus orthographicis et grammaticis tacite libros deserui. scripsi, plerumque codicum lectione non annotata, ἐς pro εἰς, ubi metrum permittit, αἰεί pro ἀεί, ubi prior syllaba producitur, γίγνομαι et γιγνώσκω pro γίνομαι et γινώσκω, σῴζω pro σώζω, ὃ μὲν — ὃ δὲ pro ὁ μὲν — ὁ δὲ. secundam personam sing. ind. praesentis et futuri passivi vel medii libri plerumque efferunt per ῃ, ego semper ει substitui. temerariam et in singulis

---

praeterea rarissime commemorati sunt hi libri:

*d* = cod. Florent. 31, 15, chartaceus saec. XIV. continet praeter sex Aristophanis fabulas Euripidis Hippolytum, Medeam, Alcestin, Andromacham. librum inspexit Hugo Hinck.

*c* = cod. Florent. 31, 10, chartaceus saec. XIV. insunt praeter Sophoclis tragoedias Euripidis Hecuba, Orestes, Medea, Phoenissae, Alcestis, Andromacha, Hippolytus, Rhesus. codicem a Byzantino grammatico correctum inspexit Hugo Hinck.

*C* = cod. Havniensis 417, chartaceus saec. XV. continet Medeam, Hecubam, Orestem, Phoenissas, Hippolytum, Alcestin, Andromacham, Troadas, Rhesum. codicem ex eodem fonte ac *B* derivatum, sed contaminatum et interpolatum contuli ipse.

nunc accedit:

*h* = cod. rescr. Hiersolymitanus, sub fin. saec. X scriptus, qui partes Orest. Hipp. Med. Phoen. Hec. Androm. exhibet et proxime abest a cod. B. Memorabiles eius lectiones publicavit A. Papadopulus-Cerameus Ἱεροσολυμ. Βιβλιοθ. I p. 108—112.

codicibus diversam melicorum dispositionem, quam accurate excerptam habeo, non enotavi.

quod ad *testimonia* attinet, quae certa de causa non separavi, pauca addere potui collectioni a Kirchhoffio et Nauckio paratae. lexicographorum locos non attuli nisi eos, quibus diserte Euripides citatur. qui plura cupit, inspiciat lexicorum indices.

codice secundae classis usus est auctor dramatis *Christi patientis*, cuius mutationes, interdum elegantes, nonnullis locis commemoravi.

veteres *editiones* nullius sunt pretii, nisi quod paucas praebent emendationes.

*emendationis* coniecturaeve auctorem eum, qui primus eam protulit, nominavi, et pedisequorum et eorum nominibus omissis, qui dudum reperta pro novis venditarunt. e magno coniecturarum numero elegi eas, quae mihi maxime notabiles videbantur. nullam me effugisse affirmare audeo.

scribebam Vratislaviae m. Octobri a. 1877.

**R. Prinz.**

## Praefatio editionis secundae.

Priusquam exponam quae mihi diversa sunt ab eis quas R. Prinz secutus est rationibus, manibus egregii viri, qui huic editioni Euripidis fabularum praematura morte ereptus perpetuo de ea accuratis suis codicum collationibus optime meritus est, laudes et gratias agere par est.

Librum *P* in Medea fabula nulla bona lectione ab *L* differre quam non exhibeat aliquis alterius familiae codex et non ex eodem quo *L* archetypo sed ex ipso *L* derivatum esse probavit Vitelli in Mus. Ital. di antichità class. vol. III p. 287—300 addita diligentissima collatione et comparatione duorum librorum. Cfr. ut insignia huius rei documenta

lectiones libri *P* 1185 ἐπεστρετεύετο, 1262 ὦ omissum, 1267 ἀμείρεται. Atque ut paucis colligam, quae eis quae singulis fabulis praemonui et commentationibus actorum academiae Monacensis (Sitzungsberichte der philos.-philol. und der histor. Classe 1895 sqq.) exposita sunt, liber *P* ex codice *L* derivatus in fabulis quas altera codicum familia habet et in Bacchis ex altera familia nunc deperditis correctiones et supplementa accepit et nisi in Bacchis nullam propriam ad recensendas fabulas habet vim nisi quod prima manus libri *L* eis locis quos manus correctrices mutaverunt saepe ex libro *P* certius cognosci potest. Itaque *S* mihi non est „codex archetypus deperditus" sed nihil nisi consensus librorum LP.

Quae testimonia ad recensionem nihil valent ut inutilia et prope molesta omisi.

Addidi sub textu eas quae alicuius pretii esse videbantur coniecturas hominum doctorum atque appendicem coniecturas minus probabiles continentem.

Eorum locorum quos ipse emendatione sanare conatus sum permultos in illis quas supra commemoravi commentationibus tractavi rationibus emendandi ex universa librorum manu scriptorum condicione et librariorum consuetudine repetitis.

Restat ut Hieronymo Vitelli qui summa liberalitate et comitate multos complurium fabularum loćos a me rogatus inspexit etiam hic maximas gratias agam.

Monachii 1899. N. W.

# Notarum index.

*B* = cod. Vaticanus 909.
  $B^1$ = manus prima. *b* = manus secunda et tertia.
  $b^s$ = *b* superscripsit.
*E* = cod. Parisinus 2712.
  $E^1$ = manus prima. $E^2$ = manus secunda.

---

*a* = cod. Parisinus 2713.
  $a^1$ = manus prima. $a^2$ = manus secunda.
  $a^3$ = complures manus recentiores.

---

*S* = consensus librorum:
  *L* = cod. Laurentian. 32, 2.
    $L^1$ = manus prima. *l* = manus recentior.
  *P* = cod. Palatin. 287.
    $P^1$ = manus prima. *p* = manus recentior.

---

*F* = cod. Marcianus 468.

---

*d* = cod. Florentinus 31, 15.
*c* = cod. Florentinus 31, 10.
*C* = cod. Havniensis 417.
*h* = cod. Hierosolymitanus.
  *r* = reliqui libri.
  * = litera vel accentus erasus.

# ΕΥΡΙΠΙΔΟΥ

# ΜΗΔΕΙΑ.

## Ὑπόθεσις Μηδείας.

*Ἰάσων εἰς Κόρινθον ἐλθών, ἐπαγόμενος καὶ Μήδειαν, ἐγγυᾶται καὶ τὴν Κρέοντος τοῦ Κορινθίων βασιλέως θυγατέρα Γλαύκην πρὸς γάμον. μέλλουσα δὲ ἡ Μήδεια φυγαδεύεσθαι ὑπὸ Κρέοντος ἐκ τῆς Κορίνθου, παραιτησαμένη πρὸς μίαν ἡμέραν μεῖναι καὶ τυχοῦσα, μισθὸν τῆς χάριτος δῶρα διὰ τῶν παίδων πέμπει τῇ Γλαύκῃ ἐσθῆτα καὶ χρυσοῦν στέφανον, οἷς ἐκείνη χρησαμένη διαφθείρεται· καὶ ὁ Κρέων δὲ περιπλακεὶς τῇ θυγατρὶ ἀπόλλυται. Μήδεια δὲ τοὺς ἑαυτῆς παῖδας ἀποκτείνασα ἐπὶ ἅρματος δρακόντων πτερωτῶν ὃ παρ' Ἡλίου ἔλαβεν ἔποχος γενομένη ἀποδιδράσκει εἰς Ἀθήνας κἀκεῖσε Αἰγεῖ τῷ Πανδίονος γαμεῖται. Φερεκύδης δὲ καὶ Σιμωνίδης φασὶν ὡς ἡ Μήδεια ἀνεψήσασα τὸν Ἰάσονα νέον ποιήσειε. περὶ δὲ τοῦ πατρὸς αὐτοῦ Αἴσονος ὁ τοὺς νόστους ποιήσας φησὶν οὕτως·*

*αὐτίκα δ' Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα,*
*γῆρας ἀποξύσασα ἰδυίῃσι πραπίδεσσι,*
*φάρμακα πόλλ' ἕψουσ' ἐπὶ χρυσείοισι λέβησιν.*

---

Argumentum om. *L*, add. I in fine fabulae. *ὑπόθεσις μηδείας B F a*] *ὑπόθεσις εὐριπίδου μηδείας E μηδείας ὑπόθεσις l* [*P*] lin. 2 *τὴν*] *τὴν τοῦ B τοῦ P* | *κορίνθων B* | *βασιλέως κορινθίων S*   4 *ὑπο τοῦ κρέοντος E ὑπὸ κρέοντος τοῦ B* | *τῆς* om. *S*   5 *πρὸς*] *ὡς F* om. *E εἰς* Nauck   7 *χρησαμένη E a l*] *διαχρησαμένη r*   8 *δὲ* om. *F l* | *ἀπόλλυται a*] *συναπόλλυται* I *ἀπώλετο r*   9 *αὐτῆς B* | *παῖδας*] *υἱοὺς l*   10 *παρ'*] *παρὰ τοῦ l*   11 *κἀκεῖ l*   12 *φασὶν* om. *B* | *ἡ Μήδεια* om. *F* | *ἀνεψήσασα*] *ἐψήσασα F ἑψήσασα E* hic et lin. 19 *ἀφεψήσασα* Elmsley   13 *ποιήσειε*] *ἐποίησε S* | *δὲ τοῦ πατρὸς*] *τοῦ* $\overline{\pi\rho}$ *δὲ* (*σ* post *ρ* minio add.) *E*   15 *φιλόκορον B* | *ἡβώοντα* Lascaris] *ἡβώωντα E a ἡβόωντα r*   16 *ἀποξύσασα* Elmsley] *ἀποξύσασ'* libri | *ἰδυίῃσι a* cum schol. Aristoph. Eqq. 1318] *εἰδυίῃσι d εἰδύιησι F εἰδύησι B εἰδείησι* (sup. *εἰδ'* scr. *ἴ* et sup. *εἰ* scr. *ἰ* m. 1) *E ἰδίησι l* (*εἰδυίῃσι* al. man. in marg.)   17 *ἕψουσ' B E a* | *χρυσείοισι l* et schol. Aristoph.] *χρυσέοισι E F a P χρυσίῃσι B*

*Αἰσχύλος δὲ ἐν ταῖς [Διονύσου] Τροφοῖς ἱστορεῖ ὅτι καὶ τὰς Διονύσου τροφοὺς μετὰ τῶν ἀνδρῶν αὐτῶν ἀνεψήσασα ἐνεοποίησε. Στάφυλος δέ φησι τὸν Ἰάσονα τρόπον τινὰ ὑπὸ τῆς Μηδείας ἀναιρεθῆναι· ἐγκελεύσασθαι γὰρ αὐτὴν οὕτως ὑπὸ τῇ πρύμνῃ τῆς Ἀργοῦς κατακοιμηθῆναι, μελλούσης τῆς νεὼς διαλύεσθαι ὑπὸ τοῦ χρόνου· ἐπιπεσούσης γοῦν τῆς πρύμνης τῷ Ἰάσονι τελευτῆσαι αὐτόν.*

*Τὸ δρᾶμα δοκεῖ ὑποβαλέσθαι παρὰ Νεόφρονος διασκευάσας, ὡς Δικαίαρχος ... τοῦ τῆς Ἑλλάδος βίου καὶ Ἀριστοτέλης ἐν ὑπομνήμασι. μέμφονται δὲ αὐτῷ τὸ μὴ πεφυλαχέναι τὴν ὑπόκρισιν τῇ Μηδείᾳ, ἀλλὰ προπεσεῖν εἰς δάκρυα, ὅτε ἐπεβούλευσεν Ἰάσονι καὶ τῇ γυναικί. ἐπαινεῖται δὲ ἡ εἰσβολὴ διὰ τὸ παθητικῶς ἄγαν ἔχειν καὶ ἡ ἐπεξεργασία ‘μηδ’ ἐν νάπαισι’ καὶ τὰ ἑξῆς. ὅπερ ἀγνοήσας Τιμαχίδας τῷ ὑστέρῳ φησὶ πρώτῳ κεχρῆσθαι, ὡς Ὅμηρος·*

*εἵματά τ’ ἀμφιέσασα θυώδεα καὶ λούσασα.*

## *Ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις.*

*Μήδεια διὰ τὴν πρὸς Ἰάσονα ἔχθραν τῷ ἐκεῖνον γεγαμηκέναι τὴν Κρέοντος θυγατέρα ἀπέκτεινε μὲν Γλαύκην καὶ*

---

lin. 18 *δὲ*] *δ’* *a* | *ταῖς*] *τοῖς* *E* | *Διονύσου* delevit Elmsley | *τροφαῖς* *BP* | *καὶ* om. *F* | *τὰς*] *τὰς τοῦ* *E* 19 *ἐνεοποίησε*] *ἐζωοποίησε* *S* 20 *φησι* om. *B* | *τὸν Ἰάσονα* om. *F* | vocabula *ὑπὸ τῆς μηδείας* ante *τὸν ἰάσονα* ponit *B* 21 *ἐγκελεύσασθαι* Lascaris] *ἐκκελεύσασθαι* libri | *οὕτω* *Fa* *οὕτως* om. Lascaris 22 *τῆς Ἀργοῦς*] *τῆς νεὼς* *E* | *κατακοιμιθῆναι* *E* | *τῆς νεὼς*] *τῆς ἀργοῦς* *E* 23 *ἐπὶ πεσούσης* *E* *ἐμπεσούσης* *B* | *γοῦν* *EF*] *γ’ οὖν* *a* *γὰρ* *BS* (*γὰρ* deletum in *L*) | *πρύμνης*] *πρύμνης τῆς νεὼς* *E* 25—44 desunt in *BL* (verba *τὸ δράμα δοκεῖ ὑποβαλέσθαι* extant in *B*, in quo nulla litera post *δράμα* evanuit) | 25—33 om. *a*, inter *Μηδείας* et *ἐδιδάχθη* (41) collocat *P* 25 *ὑποβάλλεσθαι* *P* | *παρὰ νεώφρονος* (*ω* in *ο* corr. m. 1) *d*] *π̄* (= *περὶ*) *νεόφρονος* *F* *παναιόφρονος* *P* *γενναιοφρόνως* *E* 26 *ὡς* — *ὑπομνήμασι* om. *P* | *δικαίαρχος περὶ* E *δικαίαρχος* (omisso *περὶ*) *r* *Δικαίαρχος ἐν α’ περὶ* Klotz, fort. *Δικαίαρχος ἐν γ’* | *τοῦ τῆς* Klotz] *τοῦ, τε* (sic) *E* *τοῦ τε* *r* | *ἑλλάδι* *F* 27 *τὸ* Brunck] *τὸῶ* (sic m. 1) *d* *τῷ* *r* (om. *P*) | *πεφυλαχέναι* Nauck] *πεφυλακέναι* libri 28 *τὴν Μήδειαν* Beck | *προπεσεῖν* Kirchhoff] *προσπεσεῖν* *FP* *πεσεῖν* *E* 29 *ἐπεβούλευσε τῷ ἰάσονι* *F* 32 *ὡς*] *ὡς καὶ* *E* 33 *τ’* Brunck ex Homeri Od. *ε* 264] *δ’* libri 34 *ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις* *dC*] *ἄλλως. ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις* *a*. *ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις μηδείας* minio adscriptum in *E* om. *FP* 35 *πρὸς*] *πρὸς τὸν* *E* 36 *γλαύκην καὶ κρέοντα* *P*] *γλαύκην κρέοντα* *EF* *κρέοντα* *a* *γλαύκην* superscr. *a*[1] scholia scribens, fort. *ταύτην καὶ Κρέοντα*

Κρέοντα καὶ τοὺς ἰδίους υἱούς, ἐχωρίσθη δὲ Ἰάσονος Αἰγεῖ συνοικήσουσα. παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιία.

ἡ μὴν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Κορίνθῳ, ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν πολιτίδων. προλογίζει δὲ τροφὸς Μηδείας. ἐδιδάχθη ἐπὶ Πυθοδώρου ἄρχοντος ὀλυμπιάδος πζ' ἔτει α'. πρῶτος Εὐφορίων, δεύτερος Σοφοκλῆς, τρίτος Εὐριπίδης Μηδείᾳ, Φιλοκτήτῃ, Δίκτυι, Θερισταῖς σατύροις. οὐ σῴζεται.

---

lin. 37 *δ' ἰάσονος EF* 38 *συνοικήσουσα* Lascaris] *συνοικήσασα* libri | *οὐδετέρου F* 39 verba *ἡ μὲν — μηδείας* hoc loco habent *aP*, post indicem personarum leguntur in *d*, om. *F* | verba *ἡ μὲν — πολιτίδων* post *ἔτει* (42), verba *προλογίζει — μηδείας* post indicem personarum leguntur in *E* 41 verba *ἐδιδάχθη — σῴζεται* desunt in *a* | *ἐπὶ*] *δὲ ἐπὶ d ὑπὸ E* | *Πυθοδώρου* Brunck] *πυθιοδώρου* libri | *ὀλυμπιάδος PC*]*ὀλυμπι^δ E ὀλυμπιάδι Fd* | *ἔτει α'* Nauck (*ἔτει πρώτῳ* Matthiae)] *δ ε. E ιδ ε.ι d ἔτει +' C ἐτ: F* om. *P*. Aptius numerum anni post *ἔτει* collocari, cf. Hippolyti argum. 42 verba *πρῶτος — σῴζεται* om. *E* | *δεύτερος*] *β̄ F* 43 *τρίτος*] *γ̄ F* | *μηδείᾳ d*] *μήδεια r* | *φιλοκτήτηι F*] *φιλοκτήτης r* | verba *Δίκτυι — σῴζεται* om. *C* | *Δίκτυι* Kirchhoff] *δικτι* (sic) *Fd δίκτης P* | *Θερισταῖς σατύροις* Kirchhoff] *θερισταὶ σάτυρος* libri

## *Τὰ τοῦ δράματος πρόσωπα*

*τροφός.*
*παιδαγωγός.*
*Μήδεια.*
*χορὸς γυναικῶν.*
*Κρέων.*
*Ἰάσων.*
*Αἰγεύς.*
*ἄγγελος.*
*παῖδες Μηδείας.*

---

Personarum index, qualem exhibui, extat in *c*, qui pro *παιδαγωγός* habet *πρέσβυς*] *τροφός. κρέων. παῖδες μηδείας. παιδαγωγός. ἰάσων. χορὸς γυναικῶν. αἰγεύς. μήδεια. ἄγγελος* *B F a* *τροφός. κρέων. παιδαγωγός. μήδεια. χορὸς γυναικῶν. αἰγεύς. ἰάσων. παῖδες μηδείας* (*μηδείας* om. *L*). *ἄγγελος* *S*. *τροφός. πρεσβύτης. κρέων. παῖδες. αἰγεύς. μήδεια. ἄγγελος* *E*

---

„Melius fortasse legeretur *γραῦς* vel *θεράπαινα* quam *τροφός*" Elmsley | pro *ἄγγελος* fort. praestat *θεράπων*, cfr. ad v. 1121.

ΤΡΟΦΟΣ.

*Εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος*
*Κόλχων ἐς αἶαν κυανέας Συμπληγάδας,*
*μηδ' ἐν νάπαισι Πηλίου πεσεῖν ποτε*
*τμηθεῖσα πεύκη, μηδ' ἐρετμῶσαι χέρας*
*ἀνδρῶν ἀριστέων, οἳ τὸ πάγχρυσον δέρος*
*Πελίᾳ μετῆλθον. οὐ γὰρ ἂν δέσποιν' ἐμὴ*
*Μήδεια πύργους γῆς ἔπλευσ' Ἰωλκίας*
*ἔρωτι θυμὸν ἐκπλαγεῖσ' Ἰάσονος,*
*οὐδ' ἂν κτανεῖν πείσασα Πελιάδας κόρας*
*πατέρα κατῴκει τήνδε γῆν Κορινθίαν*
*ξὺν ἀνδρὶ καὶ τέκνοισιν, ἀνδάνουσα μὲν*
*φυγῇ πολιτῶν ὧν ἀφίκετο χθόνα,*
*αὐτή τε πάντα ξυμφέρουσ' Ἰάσονι·*
*ἥπερ μεγίστη γίγνεται σωτηρία,*
*ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.*
*νῦν δ' ἐχθρὰ πάντα, καὶ νοσεῖ τὰ φίλτατα.*
*προδοὺς γὰρ αὐτοῦ τέκνα δεσπότιν τ' ἐμὴν*
*γάμοις Ἰάσων βασιλικοῖς εὐνάζεται,*
*γήμας Κρέοντος παῖδ', ὃς αἰσυμνᾷ χθονός·*
*Μήδεια δ' ἡ δύστηνος ἠτιμασμένη*
*βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιᾶς*

---

v. 1 *διαπτάσθαι BL* cum Eustathio in Od. p. 1419, in Il. p. 452. p. 526. p. 1248] *διαπτᾶσθαι r* 5 *ἀριστέων* Wakefield] *ἀρίστων* libri | *δέρος L* et quem publicavit H. Weil 1879 papyrus Didot. qui exhibet fragmenta versuum 5—12 cum Eustathio in Il. p. 600] *δέρας r* 11 *ξὺν B*] *σὺν r* | *ἀνδάνουσα La²*] *ἀνδάνουσα r* 12 *πολιτῶν B αις* sup. *ων* scr. *b πολίταις* Barnes 13 *αὐτή τε*] *αὐτὴ δὲ* Stobaeus fl. 74, 30 | *ξυμφέρουσ' B*] *συμφέρουσ' r* 16 *νοσεῖ τὰ καίρια* Christ. pat. 37 17 *αὐτοῦ C*] *αὑτοῦ r* | *τ'* om. *E* 18 *γάμοις*] *λέκτροις* Nauck *βασιλικῆς B* corr. *B¹* 21 *ὅρκους BE* corr. *E¹* | *δὲ* om. *E* | *δεξιᾶς BEFL*] *δεξιάς r* (etiam *l*) cum schol. Aristoph. Nub. 81

*πίστιν μεγίστην, καὶ θεοὺς μαρτύρεται*
*οἵας ἀμοιβῆς ἐξ Ἰάσονος κυρεῖ.*
*κεῖται δ' ἄσιτος, σῶμ' ὑφεῖσ' ἀλγηδόνι,*
*τὸν πάντα συντήκουσα δακρύοις χρόνον,*
*ἐπεὶ πρὸς ἀνδρὸς ᾔσθετ' ἠδικημένη,*
*οὔτ' ὄμμ' ἐπαίρουσ' οὔτ' ἀπαλλάσσουσα γῆς*
*πρόσωπον· ὡς δὲ πέτρος ἢ θαλάσσιος*
*κλύδων ἀκούει νουθετουμένη φίλων·*
*ἢν μή ποτε στρέψασα πάλλευκον δέρην*
*αὐτὴ πρὸς αὑτὴν πατέρ' ἀποιμώζῃ φίλον*
*καὶ γαῖαν οἴκους θ', οὓς προδοῦσ' ἀφίκετο*
*μετ' ἀνδρὸς ὅς σφε νῦν ἀτιμάσας ἔχει.*
*ἔγνωκε δ' ἡ τάλαινα συμφορᾶς ὕπο*
*οἷον πατρῴας μὴ ἀπολείπεσθαι χθονός.*
*στυγεῖ δὲ παῖδας οὐδ' ὁρῶσ' εὐφραίνεται.*
*δέδοικα δ' αὐτὴν μή τι βουλεύσῃ νέον·*
*[βαρεῖα γὰρ φρήν, οὐδ' ἀνέξεται κακῶς*
*πάσχουσ'· ἐγᾦδα τήνδε, δειμαίνω τέ νιν*
*μὴ θηκτὸν ὤσῃ φάσγανον δι' ἥπατος,*
*σιγῇ δόμους ἐσβᾶσ', ἵν' ἔστρωται λέχος,*
*ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνῃ*
*κἄπειτα μείζω συμφορὰν λάβῃ τινά].*
*δεινὴ γάρ· οὔτοι ῥᾳδίως γε συμβαλὼν*
*ἔχθραν τις αὐτῇ καλλίνικον οἴσεται.*
*ἀλλ' οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι*
*στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι*
*κακῶν· νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.*

---

24 *ἀλγηδόνι a* et schol. ad v. 97] *ἀλγηδόσι BE ἀλγηδόσιν FS* 25 *γρ. καὶ συντείνουσα a*[1] in marg. 29 *νουθετημένη B* corr. *b* 30 *ἢν S*] *ἣν BE ν* eras. in *B γρ. ἢν b*[s] | *μή L δ* sup. *μ* scr. *L*[1] | *στρέψασα* B* | *πάνλευκον B* | *δέρην*] *κάρα L* 31 *αὑτὴν La*[2]] *αὐτὴν r* | *ἀποιμώζῃ F*] *ἀποιμώζει BE ἀποιμώξῃ r* 32 *ἀφίκετο*] fort. *ἀπῴχετο* 33 *ὅς σφε Fa*[2] *ὅς σφὲ P*] *ὅσφε r* | *νιν b* 35 *μὴ 'πολείπεσθαι S* 37 *νέον ESb*[s]] *κακόν r* 38—43 del. Dindorf schol. in Eur. IV p. 266, Heimsoeth ind. schol. Bonn. 1872—73 p. 7 sq. (41 damnavit Musgrave, 42 Valckenaer et Pierson, 41—43 G. Hermann, 40—43 Nauck) 39 *ἐγῶδα B οἶ* sup. *ωδ* scr. *B*[1] | *τέ*] *δέ S* 42 *τόνδε B* corr. *b τόν** L τόν τε L*[1] 44 *οὔτοι Ba*] *οὔτι E οι* sup. *ι* scr. *E*[1] *οὔτι S* 45 *καλλίνικο** mut. in *καλλίνικον L*, *τἀπινίκι'* Stadtmueller

*ΤΡ.* καὶ ταῦτ' Ἰάσων παῖδας ἐξανέξεται
πάσχοντας, εἰ καὶ μητρὶ διαφορὰν ἔχει;
*ΠΑΙ.* παλαιὰ καινῶν λείπεται κηδευμάτων,
κοὐκ ἔστ' ἐκεῖνος τοῖσδε δώμασιν φίλος.
*ΤΡ.* ἀπωλόμεσθ' ἄρ', εἰ κακὸν προσοίσομεν
νέον παλαιῷ, πρὶν τόδ' ἐξηντληκέναι.
*ΠΑΙ.* ἀτὰρ σύ γ' · οὐ γὰρ καιρὸς εἰδέναι τόδε
δέσποιναν· ἡσύχαζε καὶ σίγα λόγον.
*ΤΡ.* ὦ τέκν', ἀκούεθ' οἷος εἰς ὑμᾶς πατήρ;
ὄλοιτο μὲν μή· δεσπότης γάρ ἐστ' ἐμός·
ἀτὰρ κακός γ' ὢν ἐς φίλους ἁλίσκεται.
*ΠΑΙ.* τίς δ' οὐχὶ θνητῶν; ἄρτι γιγνώσκεις τόδε,
ὡς πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ,
[οἳ μὲν δικαίως, οἳ δὲ καὶ κέρδους χάριν,]
εἰ τούσδε γ' εὐνῆς εἵνεκ' οὐ στέργει πατήρ.
*ΤΡ.* ἴτ' · εὖ γὰρ ἔσται· δωμάτων ἔσω, τέκνα.
σὺ δ' ὡς μάλιστα τούσδ' ἐρημώσας ἔχε
καὶ μὴ πέλαζε μητρὶ δυσθυμουμένῃ.
ἤδη γὰρ εἶδον ὄμμα νιν ταυρουμένην
τοῖσδ', ὥς τι δρασείουσαν· οὐδὲ παύσεται
χόλου, σάφ' οἶδα, πρὶν κατασκῆψαί τινα.
ἐχθρούς γε μέντοι, μὴ φίλους, δράσειέ τι.

ΜΗΔΕΙΑ.

ἰώ,
δύστανος ἐγὼ μελέα τε πόνων,

---

74 personae notam om. *L*, add. *l* | ἐξανέξεται] ἀνέξεται *E* 77 δώμασιν *S*] δώμασι *r* | ἐκεῖνα — φίλα Tournier 78 ἀπωλόμεθ' mut. in ἀπωλόμεσθ' *L* | ἄρ' *E* 79 παλαίω *B* / in \ mut. *B*[1] 80 τάδε *S* 82 ἡμᾶς *S* 84 κακός γ' *S*] κακὸς *r* 85 γινώσκεις *BEa* γρ. καὶ γινώσκει *B*[1] γιγνώσκει* mut. in γιγνώσκεις *L* γινώσκει *P* dubium utrum ς rescribere an delere voluerit *a*[2], qui superscr. καὶ χωρὶς τοῦ σ̄ καὶ μετὰ τοῦ σ̄. schol.: οἱ δὲ ὑποκριταὶ...μετατιθέασιν εἰς τὸ „τίς δ' οὐχὶ θνητῶν τοῦτο γινώσκει σαφῶς;" 86 τῶν πέλας Elmsley 87 proscripsit Brunck. schol.: ⟨σεσημείωται ὅτι⟩ περισσὸς ὁ στίχος πρόσκειται, ὁ τὴν ἐπεξεργασίαν περιέχων, καὶ ὅτι προκειμένου ἑνικοῦ τοῦ τίς ἐπήνεγκε τὸ οἱ μέν. 87. 88 spurios censet Hartung Iph. Aul. p. 46 88 εὐνῆς (ευνη in ras. scr. m. 1) *B* | εἵνεκ'] οὕνεκ' libri (οὕνεκ' *B*) 89 personae notam om. *E* | ἔσω *BE*] εἴσω *r* 90 ante v. πρε. in *a* | σύ θ' *S* | ἐρημώσασ* *E* ἐρημώσασ' *E*[1] ἔχει *E* 92 ταυροῦμεν** mut. in ταυρουμένην *L* 94 τινα] τινι Blomfield 96 ἰώ eras. in *L* ὤ schol. Aristoph. Pac. 1012 | δύστανος *Ea*] δύστηνος *r*

*ἰώ μοί μοι, πῶς ἂν ὀλοίμαν;*
*ΤΡ.* *τόδ' ἐκεῖνο, φίλοι παῖδες· μήτηρ*
*κινεῖ κραδίαν, κινεῖ δὲ χόλον.*
*σπεύδετε θᾶσσον δώματος εἴσω*
*καὶ μὴ πελάσητ' ὄμματος ἐγγὺς*
*μηδὲ προσέλθητ', ἀλλὰ φυλάσσεσθ'*
*ἄγριον ἦθος στυγεράν τε φύσιν*
*φρενὸς αὐθάδους.*
*ἴτε νυν χωρεῖθ' ὡς τάχος εἴσω.*
*δῆλον δ' ἀρχῆς ἐξαιρόμενον*
*νέφος οἰμωγῆς ὡς τάχ' ἀνάψει*
*μείζονι θυμῷ· τί ποτ' ἐργάσεται*
*μεγαλόσπλαγχνος δυσκατάπαυστος*
*ψυχὴ δηχθεῖσα κακοῖσιν;*
*ΜΗ.* *αἰαῖ,*
*ἔπαθον τλάμων ἔπαθον μεγάλων*
*ἄξι' ὀδυρμῶν· ὦ κατάρατοι*
*παῖδες ὄλοισθε στυγερᾶς ματρὸς*
*σὺν πατρί, καὶ πᾶς δόμος ἔρροι.*
*ΤΡ.* *ἰώ μοί μοι, ἰὼ τλήμων.*
*τί δέ σοι παῖδες πατρὸς ἀμπλακίας*
*μετέχουσι; τί τούσδ' ἔχθεις; οἴμοι,*
*τέκνα, μή τι πάθηθ' ὡς ὑπεραλγῶ.*

---

97 *ἰώ μοί μοι* om. schol. Aristoph. | *ὀλύμαν B* 98 *μάτηρ S* 100 *σπεύσατε S* | *θᾶττον E* 101 *πελάσσητ' B* 102 *μηδὲ*] *καὶ μὴ E* | *προσέλθετ' E* | *φυλάσσεσθ'* libri deteriores Vaticani] *φυλάσσεσθε BE* *φυλάσεσθ' a* *φυλάσεσθε P* *φυλάσσε** L* *φυλάσσετε L*[1] 105 *νυν* Dindorf] *νῦν* libri | *ἔσω B* 106 *δ' ἀρχῆς B* *ἐξ* sup. *ἀρ* scr. *B*[1] *δ' ἐξ ἀρχῆς P* *δ** ἀρχῆς L* *δ' ὀργῆς* ex schol. Witzschel, fort. *δ' ἀχῆς* 107 *οἰμωγαῖς* Th. Pluess *οἰμωγῆς θ'* L. Schmidt | *ἀνάξει L* schol.: *ἐὰν δὲ γράφηται ἀνάξει, οἷον ἐπιπολὺ ἀνάξει τὰ τῆς ὀργῆς, οἷον ἄνω ἄξει, εἰς ὕψος ἀνατενεῖ, ὃ ἐστιν αὐξήσει τὸν θυμόν*, unde *ἀνᾴξει* Elmsley 108 *ἐργά*εται* mut. in *ἐργάσεται L* 109 *μελανόσπλαγχνος* Herwerden 110 *ψυχὴ*] *ψυχὴ δὲ E* | *κακοῖσιν L* *κακοῖσι* Galenus V p. 318. 109 sq. et Stobaeus fl. 20, 30] *κακοῖς ἡ τῆς μηδείας r* 111 *αἰαῖ*] *αἲ αἲ P* *αἶ αἶ L* *ἒ ἒ αἲ αἲ B* *ἒ ἒ ἒ ἒ E* *ἒ ἒ a* | *τλάμων S*] **** μων E* *τλήμων E*[1] *r* | alterum *ἔπαθον* om. *S* 112 *ὀδυρμ*** L* *ὀδυρμῶν l* 113 *ματρὸς S*] *μητρὸς r* 114 *πᾶς*] *παῖδας E* 115 nota *τρο.* non ante v. 115, sed ante v. 116 in *B*, in *a* nota v. 115 extincta, ante v. 116 posuit *a*[2]] *τλῆμον* (˜ ex ˊ corr. m. 1) *E* *τλῆμον S* 117 *ἔχεις BP* *θ* inser. *B*[1] 118 *ὡς* delet Hermann

δεινὰ τυράννων λήματα καί πως
ὀλίγ' ἀρχόμενοι, πολλὰ κρατοῦντες
χαλεπῶς ὀργὰς μεταβάλλουσιν.
τὸ γὰρ εἰθίσθαι ζῆν ἐπ' ἴσοισιν
κρεῖσσον· ἐμοὶ γοῦν ἐπὶ μὴ μεγάλοις
ὀχυρῶς εἴη καταγηράσκειν.
τῶν γὰρ μετρίων πρῶτα μὲν εἰπεῖν
τοὔνομα νικᾷ, χρῆσθαί τε μακρῷ
λῷστα βροτοῖσιν· τὰ δ' ὑπερβάλλοντ'
οὐδένα καιρὸν δύναται θνητοῖς·
μείζους δ' ἄτας, ὅταν ὀργισθῇ
δαίμων, οἴκοις ἀπέδωκεν.

ΧΟΡΟΣ.

ἔκλυον φωνάν, ἔκλυον δὲ βοὰν
τᾶς δυστάνου
Κολχίδος, οὐδέ πω ἤπιος· ἀλλά, γεραιά,
λέξον· ἐπ' ἀμφιπύλου γὰρ ἔσω μελάθρου γόον ἔκλυον·
οὐδὲ συνήδομαι, ὦ γύναι, ἄλγεσι δώματος,
ἐπεί μοι φίλον κέκρανται.
ΤΡ. οὐκ εἰσὶ δόμοι· φροῦδα τάδ' ἤδη.
τὸν μὲν γὰρ ἔχει λέκτρα τυράννων,
ἡ δ' ἐν θαλάμοις τήκει βιοτὴν
δέσποινα, φίλων οὐδενὸς οὐδὲν
παραθαλπομένη φρένα μύθοις.

---

120 πολλῶν *B* ά sup. ῶν scr. *B*¹ 121 μεταβάλλουσιν *S*] μεταβάλλουσι *r* 122 ἴσοισιν *S*] ἴσοισι *r* 123 ἐμοὶ γοῦν *d*] ἔμοιγοῦν *L* ἔμοι γουν *E* ἔμοιγ' οὖν *r* | ἐπὶ μὴ μεγάλοις Th. Barthold] εἰ μὴ μεγάλως libri 124 ὀχυρῶς Musgrave] ὀχυρῶς τ' libri 127 βροτοῖσιν *S*] βροτοῖσι *r* | ὑπερβάλλοντα *Ba* 128 sq. οὐθ*ν*** mut. in οὐδ*ν*** *L* οὐδένα *l* | δύναται θνητοῖς delet Verrall, fort. οὐδένα καιρὸν μείζους ἄτας | θνητοῖς] βροτοῖς *B* 130 ἀπέδωκαν *L* ἀπέδωκεν *l* 131 φωνᾶν *EaL* ῀ in ` mut. *E*¹*a*²*L*¹ 132 τῆς *B* 133 ἤπιος; *E* | ἀλλά G. Hermann] ἀλλ' ὦ libri | γηραιά *B* 135 μελάθρο* *L* μελάθρου *l* | γόον Elmsley] βοάν *Sa* βοήν *B* μολών *E* 136 συνήδομαι γύναι *Pl*, συνήδο***ύν** *L* 138 ἐπεί] εἰπέ *E* | μοι] μ** *B* μὴ *bl* μοι *b*ˢ | φίλα κέκραται *l* 140 τὸν Musgrave] ὁ libri | λέκτρα] δῶμα *S* 141 ἡ δ' *a*] ἧδ' *BL* ἡ δ' *r* | τήκει *E*] τάκει *r* | βιοτὴν Dindorf] βιοτὰν libri 143 παραθαλπομένη *B*] παραθαλπομένα *r* | φρένα om. *E*, minio inter vers. add.

*ΜΗ.* αἰαῖ,
διά μου κεφαλᾶς φλὸξ οὐρανία
βαίη· τί δέ μοι ζῆν ἔτι κέρδος;
φεῦ φεῦ· θανάτῳ καταλυσαίμαν
βιοτὰν στυγερὰν προλιποῦσα.

*ΧΟ.* ἄιες, ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς, stroph.
ἀχὰν οἵαν ἁ δύστανος
μέλπει νύμφα;
τίς σοί ποτε τᾶς ἀπλάτου
κοίτας ἔρος, ὦ ματαία;
σπεύδει θανάτου τελευτά·
μηδὲν τόδε λίσσου.
εἰ δὲ σὸς πόσις
καινὰ λέχη σεβίζει,
κοινὸν τόδε μὴ χαράσσου·
Ζεύς σοι τάδε συνδικήσει· μὴ λίαν
τάκου δυρομένα σὸν εὐνάταν.

*ΜΗ.* ὦ μεγάλε Ζεῦ καὶ Θέμι πότνια,
λεύσσεθ' ἃ πάσχω, μεγάλοις ὅρκοις
ἐνδησαμένα τὸν κατάρατον
πόσιν; ὅν ποτ' ἐγὼ νύμφαν τ' ἐσίδοιμ'
αὐτοῖς μελάθροις διακναιομένους,

---

144 αἰαῖ] αὶ αὶ (sic m. 1) *E* αἶ αἶ *L* αἰ αἰ *r* | post αἶ αἶ add. *l* τάλαινα | κεφαλῆς *B* et Hierocles in aur. carm. p. 99 149 ἀχὰν Elmsley] ἰαχὰν libri 150 νύμφαν *E* 151 τίς *L b*[a]] τί *r* | τὰς *Ea* corr. *E*[1]*a*[2] | ἀπλάτου Elmsley] ἀπλάστου *B Ea* ἀπλήστου *Sa*[2] 152 ἔρος *l*] ἔρως *Lr* | interrogationis signum post ματαία posuit Weil, om. libri 153 σπεύσει *B* δ sup. υσ scr. *B*[1] vel *b*] σπεύσει *r* | τελευτά· Weil] τελευτάν. *B* τελευτάν; *r* (certe nihil de interpunctione ceterorum librorum enotatum habeo). 156 σεβίζει λέχη *l* 157 κοινὸν Verrall, qui κοινὸν τόδε· μὴ scribit] κείνῳ libri | μὴ om. *E* 158 ζεύ σοι (σ sup. υ minio scriptum videtur) *E* | τάδε *S*] τόδε *r* | συνδικάσει *l* | Ζεύς σοι σύνδικος ἔσται Nauck 159 δυρομένα Musgrave] ὀδυρομένα libri (ὀδυρομένα *B*) | εὐνάταν Tyrwhitt] εὐνέταν libri 160 ὦ μεγάλε Ζεῦ καὶ Θέμι πότνια Weil (ὦ μεγάλε Ζεῦ πότνιά τ' ὦ Θέμι Wieseler)] ὦ μεγάλα θέμι καὶ πότνι' ἄρτεμι libri 161 λεύσεθ' *B* λεύσσεθ *L* λεύσσεθ' *l* 162 ἐνδησαμένη *ES* ἐνδυσαμένη *h* 164 αὐτοῖς] αὐτοῖς τοῖς *B*

οἵ γ' ἐμὲ πρόσθεν τολμῶσ' ἀδικεῖν.
ὦ πάτερ, ὦ πόλις, ὧν ἀπενάσθην
αἰσχρῶς τὸν ἐμὸν κτείνασα κάσιν.
ΤΡ. κλύεθ' οἷα λέγει κἀπιβοᾶται
Θέμιν εὐκταίαν Ζῆνά θ', ὃς ὅρκων
θνητοῖς ταμίας νενόμισται;
οὐκ ἔστιν ὅπως ἔν τινι μικρῷ
δέσποινα χόλον καταπαύσει.

ΧΟ. πῶς ἂν ἐς ὄψιν τὰν ἁμετέραν antistr.
ἔλθοι μύθων τ' αὐδαθέντων
δέξαιτ' ὀμφάν,
εἴ πως βαρύθυμον ὀργὰν
καὶ λῆμα φρενῶν μεθείη;
μήτοι τό γ' ἐμὸν πρόθυμον
φίλοισιν ἀπέστω.
ἀλλὰ βᾶσά νιν
δεῦρο πόρευσον οἴκων
ἔξω, φίλα καὶ τάδ' αὔδα·
σπεῦσον πρίν τι κακῶσαι τοὺς εἴσω.
πένθος γὰρ μεγάλως τόδ' ὁρμᾶται.

ΤΡ. δράσω τάδ'· ἀτὰρ φόβος εἰ πείσω
δέσποιναν ἐμήν·
μόχθου δὲ χάριν τήνδ' ἐπιδώσω.
καίτοι τοκάδος δέργμα λεαίνης

---

165 γ' ἐμὲ Brunck] γέ με libri. Post v. 167 excidisse suspicatur versum paroemiacum Witzschel, quattuor syllabarum vocabulum Kirchhoff; transponit Heimsoeth: ὧν κάσιν αἰσχρῶς | τὸν ἐμὸν κτείνασ' ἀπενάσθην 170 θνατοῖς S 171 οὐκ] κοὐκ B | σμικρῷ S (μικρῷ l) 174 αὐθαδέντων E 176 εἴ πως B οὔ πως B[1] γρ. καὶ ἢ πῶς superscr. B[1] ὅπως superscr. man. recentissima | ὀργήν B 177 καὶ μεθείη λῆμα φρενῶν h 178 sq. choro continuat L] ante v. 178 τρο., 180 χορ. BaPl (in a utramque notam in ras. scr. m. 1 vel 2) in E v. 178 nihil praefixum, ante v. 180 chori nota 178 μήτοι Ba] μή τι (o sup. τι scr. m. 1) L μή μοι r (l μοι superscr.) 181 οἴκων om. E 182 καὶ τάδ'] τἀνθάδ' F. Polle | αὖδα B corr. b 183 σπεῦσαι Ea 184 μεγάλως τόδ'] fort. μέγ' ἄλαστον 185 δέσποιναν ἐμήν om. a add. a[1] scholia scribens, omissionem comprobat Elmsley | ἐμὰν L 187 δέρμα B γ inser. b

*ἀποταυροῦται δμωσίν, ὅταν τις*
*μῦθον προφέρων πέλας ὁρμηθῇ.*
*σκαιοὺς δὲ λέγων κοὐδέν τι σοφοὺς*
*τοὺς πρόσθε βροτοὺς οὐκ ἂν ἁμάρτοις,*
*οἵτινες ὕμνους ἐπὶ μὲν θαλίαις*
*ἐπί τ' εἰλαπίναις καὶ παρὰ δείπνοις*
*ηὗροντ' ὄλβου τερπνὰς ἀκοάς·*
*στυγίους δὲ βροτῶν οὐδεὶς λύπας*
*ηὕρετο μούσῃ καὶ πολυχόρδοις*
*ᾠδαῖς παύειν. ἐξ ὧν θάνατοι*
*δειναί τε τύχαι σφάλλουσι δόμους.*
*καίτοι τάδε μὲν κέρδος ἀκεῖσθαι*
*μολπαῖσι βροτούς· ἵνα δ' εὔδειπνοι*
*δαῖτες, τί μάτην τείνουσι βοήν;*
*τὸ παρὸν γὰρ ἔχει τέρψιν ἀφ' αὑτοῦ*
*δαιτὸς πλήρωμα βροτοῖσιν.*
*ΧΟ.* *ἀχὰν ἄιον πολύστονον γόων,*
*λιγυρὰ δ' ἄχεα μογερὰ βοᾷ*
*τὸν ἐν λέχει προδόταν κακόνυμφον·*
*θεοκλυτεῖ δ' ἄδικα παθοῦσα*
*τὰν Ζηνὸς ὁρκίαν Θέμιν,*
*ἅ νιν ἔβασεν*
*Ἑλλάδ' ἐς ἀντίπορον*
*δι' ἅλα μύχιον ἐφ' ἁλμυρὰν*
*πόντου κλῇδ' ἀπέραντον.*

---

189 *προσφέρων BE* | *ὁρμηθῇ* Brunck] *ὁρμαθῇ* libri 191 *πρόσθεν BE* | *ἁμάρτης BL οι* sup. *η* scr. *b* 192 *ἐπὶ μὲν θαλίαις* om. *S* (*ἐπί τ' εἰλαπίναις* in *ἐπὶ μὲν θαλίαις* mut. et *ἐπί τ' εἰλαπίναις* add. *l*) 193 *ἐπί*] *ἐπεί E* | *καὶ* om. *E*, minio inter vers. add. 194 *ηὗροντ' ὄλβου* F. Leo] *εὕροντο βίου* libri 196 *εὕρετο* libri 199 *ἀκεῖσθαι B* corr. *b* 200 *μολπῇσι B* | *βροτοῖς B* corr. $B^1$ 201 *βοήν B*] *βοάν r* 204 *ἀχὰν* Dindorf] *ἰαχὰν* libri | *πολυστόνων* $a^2$ | *γόον E ου* sup. *ον* scr. $E^1$ *γό** L γόων l* 205 *μογερὰ* $Eba^2l$] *μογερᾷ r* 207 *δ' ἄδικα Eal*] *δέ τ' ἄδικα r* (**** ἄδικα L δὲ τἄδικα P*). *δέ τ'* ortum putat ex *δ'*, cui superscr. *τ'*, R. Prinz, fort. *δ' ἕτερα παθοῦσα* 208 *τὰν* delet Christ | *Ζανὸς* Brunck | *** μιν B θέμιν* $B^1$ 210 *εἰς BP* 211 *ἅλα a ὃ* (= *ὃς*) sup. *λα* scr. $a^1$, rescr. al. m. | *μύχιον* Lenting] *νύχιον* libri. idem vitium Hesiod. Theog. 991. 212 *κλῇδ'* Brunck] *κληῖδ' l κληίδ' r* | *ἀπεράντου* Milton

ΜΗΔΕΙΑ.

*Κορίνθιαι γυναῖκες, ἐξῆλθον δόμων,*
*μή μοί τι μέμψησθ'· οἶδα γὰρ πολλοὺς βροτῶν*
*σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο,*
*τοὺς ἐν θυραίοις, οἳ δ' ἀφ' ἡσύχου ποδὸς*
*δύσκλειαν ἐκτήσαντο καὶ ῥᾳθυμίαν.*
*δίκη γὰρ οὐκ ἔνεστιν ὀφθαλμοῖς βροτῶν,*
*ὅστις πρὶν ἀνδρὸς σπλάγχνον ἐκμαθεῖν σαφῶς*
*στυγεῖ δεδορκώς, οὐδὲν ἠδικημένος.*
*χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει·*
*οὐδ' ἀστὸν ᾔνεσ' ὅστις αὐθάδης γεγὼς*
*πικρὸς πολίταις ἐστὶν ἀμαθίας ὕπο.*
*ἐμοὶ δ' ἄελπτον πρᾶγμα προσπεσὸν τόδε*
*ψυχὴν διέφθαρκ'· οἴχομαι δὲ καὶ βίου*
*χάριν μεθεῖσα κατθανεῖν χρῄζω, φίλαι.*
*ἐν ᾧ γὰρ ἦν μοι πάντα, γιγνώσκω καλῶς,*
*κάκιστος ἀνδρῶν ἐκβέβηχ' οὑμὸς πόσις.*
*πάντων δ' ὅσ' ἔστ' ἔμψυχα καὶ γνώμην ἔχει*
*γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν·*
*ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ*
*πόσιν πρίασθαι δεσπότην τε σώματος*
*λαβεῖν· ἐκείνου γὰρ τόδ' ἄλγιον κακόν·*
*κἀν τῷδ' ἀγὼν μέγιστος, ἢ κακὸν λαβεῖν*

---

215 *μέμψησθ' L*] *μέμψοισθ' P μέμφησθ' Ea μέμφοισθ' B* 216 *ὀμμάτων τ' BE* (*τ'* postea inser. *B*[1]) 217 *τοὺς* Rich. Meister] *τοὺς δ'* libri 218 *δύσκλειαν*] *δύσνοιαν* R. Prinz, cui *δύσκλειαν* corruptum videtur ex *δυσκολίαν*, qua glossa genuinum expulsum sit vocabulum, cl. schol.: *ἄλλοι δὲ ἐπὶ ἡσυχίας ἰδιοπραγμονοῦντες ὑπόνοιαν ἔσχον δυσκολίας καὶ ἀργίας* 219 *ἔνεστιν BL*, lemma scholii, gnomolog. Eurip. cod. Marc. 507 (cf. O. Hense act. soc. phil. Lips. VI p. 335)] *ἔνεστ' ἐν B*[1]*L*[1]*r* (**στ' ἐν E*, sup. ras. *ἐνε* minio scr.) | *ὀφθαλμοῖσι BE* 220 *ἐκμάθοι L θεῖν* sup. *θοι* scr. *L*[1] *ἐκμάθῃ* Eustathius in Il. p. 415 | *σαφῶς* versui sequenti add. *E* 222 ante v. nota Medeae in *B* 224 *πολίταις Sb*[s]] *πολίτης* (*αις* sup. *ης* scr. m. 1) *a πολίτης r* 225 *ἄελπον B* corr. *B*[1] 228 *γιγνώσκω* Canter] *γιγνώσκειν Ea γινώσκειν r γιγνώσκεις* Musgrave. schol.: *οἱ δὲ ὑποκριταὶ οὐ συμπεριφερόμενοι τῷ τρόπῳ λέγουσι „γινώσκειν καλῶς"* 229 *ἐκβέβηκὁὑμός B* 231 *φυτόν* (*γρ. γένος* minio superscr.) *E* 232 *δεῖ* om. *E* 234 *ἐκείνου* scripsi] *κακοῦ* libri | *τόδ' C*] *τοῦδ' ἔτ' L τοῦδε τ' P τοῦτ' BE τοῦτό γ' a* Stob. fl. 73, 27 (*τοῦ γ'* cod. A Stobaei) | versum delet R. Prinz 235 *λαβεῖν Sb*[s]] *λάβῃ r*

[τὸν δόντα τ' αὐτῷ θυγατέρ' ἥ τ' ἐγήματο],
σιγᾶν. γυνὴ γὰρ τἄλλα μὲν φόβου πλέα
κακή τ' ἐς ἀλκὴν καὶ σίδηρον εἰσορᾶν,
ὅταν δ' ἐς εὐνὴν ἠδικημένη κυρῇ,
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.
ΧΟ. δράσω τάδ'· ἐνδίκως γὰρ ἐκτίσῃ πόσιν,
Μήδεια. πενθεῖν δ' οὔ σε θαυμάζω τύχας.
ὁρῶ δὲ καὶ Κρέοντα, τῆσδ' ἄνακτα γῆς,
στείχοντα, καινῶν ἄγγελον βουλευμάτων.

ΚΡΕΩΝ.

σὲ τὴν σκυθρωπὸν καὶ πόσει θυμουμένην,
Μήδειαν; εἶπον τῆσδε γῆς ἔξω περᾶν
φυγάδα λαβοῦσαν δισσὰ σὺν σαυτῇ τέκνα,
καὶ μή τι μέλλειν· ὡς ἐγὼ βραβεὺς λόγου
τοῦδ' εἰμὶ κοὐκ ἄπειμι πρὸς δόμους πάλιν,
πρὶν ἄν σε γαίας τερμόνων ἔξω βάλω.
ΜΗ. αἰαῖ· πανώλης ἡ τάλαιν' ἀπόλλυμαι.
ἐχθροὶ γὰρ ἐξιᾶσι πάντα δὴ κάλων,
κοὐκ ἔστιν ἄτης εὐπρόσοιστος ἔκβασις.
ἐρήσομαι δὲ καὶ κακῶς πάσχουσ' ὅμως·
τίνος μ' ἕκατι γῆς ἀποστέλλεις, Κρέον;
ΚΡ. δέδοικά σ', οὐδὲν δεῖ παραμπέχειν λόγους,
μή μοί τι δράσῃς παῖδ' ἀνήκεστον κακόν.
συμβάλλεται δὲ πολλὰ τοῦδε δείματος·
σοφὴ πέφυκας καὶ κακῶν πολλῶν ἴδρις,
λυπῇ δὲ λέκτρων ἀνδρὸς ἐστερημένη.
κλύω δ' ἀπειλεῖν σ', ὡς ἀπαγγέλλουσί μοι,

---

262 damnavit Lenting | *δόντα γ' S* | *ἥ* Porsonus] *ἣν* libri | *τε γήματο E* 264 *κακή τ'* Tyrwhitt] *κακὴ δ'* libri 265 *κύρῇ* (sic m. 1) *E κύρηι a* corr. *a*[2] 266 *ἄλλ*** mut. in *ἄλλη L* 267 *δράσω Pb*[s]] *δράσον Ea δρᾶσον r* 268 *θαυμάσω a* 269 *δὲ καὶ*] *δέ σοι* Herwerden 270 *καίν** B καινὸν B*[1] *ῶ* sup *ὸ* scr. *b* 273 *λαβοῦσα BL ν* add. *bL*[1] | *σαυτῇ L*] *αὑτῇ r* (*αὐτῇ b*) | 275 *δό*** B δόμους B*[1] 276 *βάλλω B* corr. *B*[1] 277 *αἶ αἶ* libri (*αἶ αἶ L*) | *πανόλης B* corr. *b* 278 *δὴ* om. *E* 279 *εὐπρόσωπος* Nauck *εὐπόριστος* Herwerden, fort. *εὐρπόσορμος* 280 *εἰρήσομαι Ea* | *πάσχουσ'*] *λέγουσ' E* 281 *γῆς*] *τῆσδε γῆς B* 282 *παραμπίσχειν S* (*L περι αμπίσχειν P*) cum lemmate scholii in *B* 284 om. *L* in marg. infer. suppl. *L*[1] | *δείματος*] *δείγματα* Wieseler 287 *ἀπειλεῖν σ' L* et, ud vid., *a*[2]] *ἀπειλεῖν BEP ἀπειλεῖς a ἀπαγγέλουσι BP λ* sup. *λ* scr. *p*

*τὸν δόντα καὶ γήμαντα καὶ γαμουμένην*
*δράσειν τι. ταῦτ' οὖν πρὶν παθεῖν φυλάξομαι.*
*κρεῖσσον δέ μοι νῦν πρός σ' ἀπεχθέσθαι, γύναι,*
*ἢ μαλθακισθένθ' ὕστερον μεταστένειν.*

*ΜΗ.* *φεῦ φεῦ.*
*οὐ νῦν με πρῶτον, ἀλλὰ πολλάκις, Κρέον,*
*ἔβλαψε δόξα μεγάλα τ' εἴργασται κακά.*
*χρὴ δ' οὔποθ' ὅστις ἀρτίφρων πέφυκ' ἀνὴρ*
*παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς·*
*χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν ἀργίας*
*φθόνον πρὸς ἀστῶν ἀλφάνουσι δυσμενῆ.*
*σκαιοῖσι μὲν γὰρ καινὰ προσφέρων σοφὰ*
*δόξεις ἀχρεῖος κοὐ σοφὸς πεφυκέναι·*
*τῶν δ' αὖ δοκούντων εἰδέναι τι ποικίλον*
*κρείσσων νομισθεὶς λυπρὸς ἐν πόλει φανῇ.*
*ἐγὼ δὲ καὐτὴ τῆσδε κοινωνῶ τύχης.*
*σοφὴ γὰρ οὖσα, τοῖς μέν εἰμ' ἐπίφθονος,*
*[τοῖς δ' ἡσυχαία, τοῖς δὲ θατέρου τρόπου,]*
*σοὶ δ' αὖ προσάντης, [εἰμὶ δ' οὐκ ἄγαν σοφή.]*
*[σὺ δ' αὖ φοβῇ με] μή τι πλημμελὲς πάθῃς·*
*οὐχ ὧδ' ἔχει μοι, μὴ τρέσῃς ἡμᾶς, Κρέον,*
*ὥστ' ἐς τυράννους ἄνδρας ἐξαμαρτάνειν.*
*σὺ γὰρ τί μ' ἠδίκηκας; ἐξέδου κόρην*
*ὅτῳ σε θυμὸς ἦγεν. ἀλλ' ἐμὸν πόσιν*
*μισῶ· σὺ δ', οἶμαι, σωφρονῶν ἔδρας τάδε.*
*καὶ νῦν τὸ μὲν σὸν οὐ φθονῶ καλῶς ἔχειν·*

---

290 *πρός σ'*] *πρόσ'* *B* | *ἀπεχθέσθαι* Elmsley] *ἀπέχθεσθαι* *BSa*[2] *ἀπέχεσθαι* *Ea* *ἀπηχθῆσθαι* olim Nauck 291 *μεταστένειν* Nauck] *μέγα στένειν* libri et Plut. de tuenda san. 5 p. 124, de vit. pud. 4 p. 530 292 *με* om. *E* (inter vers. add. al. man.) *γε* Hirzel 293 *δόξα*] *γλῶσσα* Stobaei fl. 36, 3 296 *ἄλλης*] *ἀλκῆς* *E* 297 *πρὸς*] *παρ'* Aristot. rhet. II 21 298 *σκαιοῖς* *S* | *σοφά*] *ἔπη* *a*[2] et denuo *a*[3] 301 *λυπρὸς ἐν πόλει*] *ἐν πόλει λυπρὸς* *S* 304 om. *E*, margini adscriptus est minio (in voc. *δὲ*, *θατέρου* ', atramento add. *E*[2]). versum e v. 808 temere huc translatum esse monuit Pierson 305 sq. *σοὶ* scripsi seclusis verbis *σὺ δ' αὖ φοβῇ με*] *τοῖς* libri | verba *εἰμὶ . . σοφή* delevit ut e v. 583 invecta R. Prinz (integrum v. 305 damnat H. Hirzel) 306 *δ' οὖν* *ES* | *πλημμελὲς* *L* *πάθῃς*; *a* 307 *ἔχει μοι* *Sa*] *ἔχοιμι* *r* 308 *ὥστ'*] *ὡς* *E* 309 *σὺ γὰρ τί μ'* *S*] *τί γὰρ σύ μ'* *r*

νυμφεύετ', εὖ πράσσοιτε· τήνδε δὲ χθόνα
ἐᾶτέ μ' οἰκεῖν. καὶ γὰρ ἠδικημένοι
σιγησόμεσθα, κρεισσόνων νικώμενοι.
ΚΡ. λέγεις ἀκοῦσαι μαλθάκ', ἀλλ' ἔσω φρενῶν
ὀρρωδία μοι μή τι βουλεύῃς κακόν,
τοσῷδε δ' ἧσσον ἢ πάρος πέποιθά σοι·
γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὔτως ἀνήρ,
ῥᾴων φυλάσσειν ἢ σιωπηλὸς σοφός.
ἀλλ' ἔξιθ' ὡς τάχιστα, μὴ λόγους λέγε·
ὡς ταῦτ' ἄραρε, κοὐκ ἔχεις τέχνην ὅπως
μενεῖς παρ' ἡμῖν οὖσα δυσμενὴς ἐμοί.
ΜΗ. μή, πρός σε γονάτων τῆς τε νεογάμου κόρης.
ΚΡ. λόγους ἀναλοῖς· οὐ γὰρ ἂν πείσαις ποτέ.
ΜΗ. ἀλλ' ἐξελᾷς με κοὐδὲν αἰδέσῃ λιτάς;
ΚΡ. φιλῶ γὰρ οὐ σὲ μᾶλλον ἢ δόμους ἐμούς.
ΜΗ. ὦ πατρίς, ὥς σου κάρτα νῦν μνείαν ἔχω.
ΚΡ. πλὴν γὰρ τέκνων κἄμοιγε φίλτατον πολύ.
ΜΗ. φεῦ φεῦ, βροτοῖς ἔρωτες ὡς κακὸν μέγα.
ΚΡ. ὅπως ἄν, οἶμαι, καὶ παραστῶσιν τύχαι.
ΜΗ. Ζεῦ, μὴ λάθοι σε τῶνδ' ὃς αἴτιος κακῶν.
ΚΡ. ἕρπ', ὦ ματαία, καί μ' ἀπάλλαξον πόνων.
ΜΗ. πονοῦμεν ἡμεῖς κοὐ πόνων κεχρήμεθα.
ΚΡ. τάχ' ἐξ ὀπαδῶν χειρὸς ὠσθήσῃ βίᾳ.
ΜΗ. μὴ δῆτα τοῦτό γ', ἀλλά σ' αἰτοῦμαι, Κρέον,
ΚΡ. ὄχλον παρέξεις, ὡς ἔοικας, ὦ γύναι.
ΜΗ. φευξούμεθ'· οὐ τοῦθ' ἱκέτευσά σου τυχεῖν.
ΚΡ. τί δ' αὖ βιάζῃ κοὐκ ἀπαλλάσσῃ χερός.
ΜΗ. μίαν με μεῖναι τήνδ' ἔασον ἡμέραν

---

313 πράσσετε *S* (πράσσοιτε *l*) | δὲ] δὴ *Sb*[a] 317 βουλεύῃς Elmsley] βουλεύσῃς *B* sup. σῃς scr. ῃ *b* βουλεύσῃς *r* 318 δ'] γ' *S* 319 ὧς *B* | αὗτως *ES* 322 ἄρηρε *l* | ἔχει *B* σ sup. ει scr. *b* 323 μενεῖς *Sb*[a]] μένῃς (σὺ sup.) *r* 324 προσ *L* 325 ἂν πείσῃς *b* 329 πλεῖν *B* ἦν superscr. *b* καὶ πλέον superscr. al. man. | τέκνωι *B* ο sup. ω scr. *B*[1] | κἄμοιγε Bothe] ἔμοιγε libri | ἔμοιγε post φίλτατον ponit *B* | πολύ] πόλις *a*[2] (non *E*) 331 παραστῶσι *BE* 332 ζεὺς *B* corr. *B*[1] | λάθῃ *S* cum Zonara ann. X 20 (οι sup. η scr. *p*) 334 πόνων *L* οις sup. ων scr. *L*[1] 335 ὠσθήσῃ *EL*] ὠθήσῃ *r* 336 τοῦτό γ'] τοῦτ' *L* αἰτοῦμαι] fort. ἄντομαι, cfr. Alc. 1098 338 ἱκέτευσα σοῦ libri ut vid. 339 αὖ] οὖν *P* | χερός Wilamowitz] χθονός libri

καὶ ξυμπερᾶναι φροντίδ' ᾗ φευξούμεθα,
παισίν τ' ἀφορμὴν τοῖς ἐμοῖς, ἐπεὶ πατὴρ
οὐδὲν προτιμᾷ μηχανήσασθαι τέκνοις.
οἴκτειρε δ' αὐτούς· καὶ σύ τοι παίδων πατὴρ
πέφυκας· εἰκὸς δ' ἐστὶν εὔνοιάν σ' ἔχειν.
τοὐμοῦ γὰρ οὔ μοι φροντίς, εἰ φευξούμεθα,
κείνους δὲ κλαίω συμφορᾷ κεχρημένους.

ΚΡ. ἥκιστα τοὐμὸν λῆμ' ἔφυ τυραννικόν,
αἰδούμενος δὲ πολλὰ δὴ διέφθορα.
καὶ νῦν ὁρῶ μὲν ἐξαμαρτάνων, γύναι,
ὅμως δὲ τεύξῃ τοῦδε· προυννέπω δέ σοι,
εἴ σ' ἡ 'πιοῦσα λαμπὰς ὄψεται θεοῦ
καὶ παῖδας ἐντὸς τῆσδε τερμόνων χθονός,
θανῇ· λέλεκται μῦθος ἀψευδὴς ὅδε.
[νῦν δ', εἰ μένειν δεῖ, μίμν' ἐφ' ἡμέραν μίαν·
οὐ γάρ τι δράσεις δεινὸν ὧν φόβος μ' ἔχει.]

ΧΟ. [δύστανε γύναι,]
φεῦ φεῦ, μελέα τῶν σῶν ἀχέων.
ποῖ ποτε τρέψῃ; τίνα πρὸς ξενίαν
ἢ δόμον ἢ χθόνα σωτῆρα κακῶν
[ἐξευρήσεις];
ὡς εἰς ἄπορόν σε κλύδωνα θεός,
Μήδεια, κακῶν ἐπόρευσε.

ΜΗ. κακῶς πέπρακται πανταχῇ· τίς ἀντερεῖ;
ἀλλ' οὔτι ταύτῃ ταῦτα, μὴ δοκεῖτέ πω.
ἔτ' εἴσ' ἀγῶνες τοῖς νεωστὶ νυμφίοις
καὶ τοῖσι κηδεύσασιν οὐ σμικροὶ πόνοι.
δοκεῖς γὰρ ἄν με τόνδε θωπεῦσαί ποτε,

---

341 ξυμπεράναι *B* | ᾗ] οἷ Elmsley 342 παισί τ' *Ba*[2] | γρ. παισίν τε φορβήν *a*[1] in marg. 343 προτιμᾷ, μηχανήσασθαί τινα Earle 344. 345 post 347 collocat R. Prinz 345 spurium censet O. Menzer | δ' om. *c* | δέ σφιν Vitelli 351 σοι] σε *E* 354 θαν * *L* θανῇ *l* 355. 356 eiecit Nauck 356 δράσεις *ES*] δράσαις *r* | schol.: Δίδυμος μετὰ τοῦτο φέρει τὸ „σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος“ καὶ μέμφεται τοῖς ὑποκριταῖς ὡς ἀκαίρως αὐτὸν τάσσουσιν 357 om. *S*, delevit Seidler 359 προ̄ * ξενίαν *a* προξενίαν *P* 360 δόμων *S* (δόμον *l*) 361 delevi („non male abesset ἐξευρήσεις“ Elmsley) 363 ἐπόρευσεν *L* 364 πανταχοῦ Christ. pat. 1063 365 πως *B* που Christ. pat. 253 (μὴ σύ που δόκει) 367 σμικροὶ *S*] μικροὶ *r* 368 ἄν om. *E* | ποτε] ποτ' ἄν *S*

*εἰ μή τι κερδαίνουσαν ἢ τεχνωμένην;*
*οὐδ᾽ ἂν προσεῖπον οὐδ᾽ ἂν ἡψάμην χεροῖν.*
*ὃ δ᾽ ἐς τοσοῦτον μωρίας ἀφίκετο,*
*ὥστ᾽ ἐξὸν αὐτῷ τἄμ᾽ ἑλεῖν βουλεύματα*
*γῆς ἐκβαλόντι, τήνδ᾽ ἐφῆκεν ἡμέραν*
*μεῖναί μ᾽, ἐν ᾗ τρεῖς τῶν ἐμῶν ἐχθρῶν νεκροὺς*
*θήσω, πατέρα τε καὶ κόρην πόσιν τ᾽ ἐμόν.*
*πολλὰς δ᾽ ἔχουσα θανασίμους αὐτοῖς ὁδούς,*
*οὐκ οἶδ᾽ ὁποίᾳ πρῶτον ἐγχειρῶ, φίλαι,*
*πότερον ὑφάψω δῶμα νυμφικὸν πυρί,*
*ἢ θηκτὸν ὤσω φάσγανον δι᾽ ἥπατος,*
*σιγῇ δόμους ἐσβᾶσ᾽ ἵν᾽ ἔστρωται λέχος.*
*ἀλλ᾽ ἕν τί μοι πρόσαντες· εἰ ληφθήσομαι*
*δόμους ὑπερβαίνουσα καὶ τεχνωμένη,*
*θανοῦσα θήσω τοῖς ἐμοῖς ἐχθροῖς γέλων.*
*κράτιστα τὴν εὐθεῖαν, ᾗ πεφύκαμεν*
*σοφοὶ μάλιστα, φαρμάκοις αὐτοὺς ἑλεῖν.*
*εἶεν·*
*καὶ δὴ τεθνᾶσι· τίς με δέξεται πόλις;*
*τίς γῆν ἄσυλον καὶ δόμους ἐχεγγύους*
*ξένος παρασχὼν ῥύσεται τοὐμὸν δέμας;*
*οὐκ ἔστι. μείνασ᾽ οὖν ἔτι σμικρὸν χρόνον,*
*ἢν μέν τις ἡμῖν πύργος ἀσφαλὴς φανῇ,*
*δόλῳ μέτειμι τόνδε καὶ σιγῇ φόνον·*
*ἢν δ᾽ ἐξελαύνῃ ξυμφορά μ᾽ ἀμήχανος,*
*αὐτὴ ξίφος λαβοῦσα, κεἰ μέλλω θανεῖν,*
*κτενῶ σφε, τόλμης δ᾽ εἶμι πρὸς τὸ καρτερόν.*

---

373 *ἐκβάλλοντι B ἐκβα•όντι L, ἐκβαλόντι* $L^1$ | *ἐφῆκεν* Nauck] *ἀφῆκεν* libri  374 *ἐχθρῶν* om. *E*, minio inter vers. add.  375 *τε* om. *B*  377 *οἶδα ποῖα* (?) corr. in *οἶδ᾽ ὁποία L* | *ὁποῖα B ὁποίᾳ* $B^1$ *ι* subscr. et *ν* superscr. *b ν* del. m. rec.  378 *ἐφάψω E*  380 schol.: *ὧδε καλῶς κεῖται. Δίδυμος σημειοῦται ὅτι κακῶς οἱ ὑποκριταὶ τάσσουσιν ἐπὶ τῶν δύο τὸ „σιγῇ δόμους εἰσβᾶσα“*, cfr. ad v. 356  382 *δόμους*] fort. *πύλας*, cfr. Alc. 829 | versum delet Herwerden  383 *θανοῦσ᾽ ὀφλήσω* Nauck  384 *τὴν εὐθεῖαν*] *τὴν σοφίαν* (gloss. *τὴν τέχνην* minio superscr.) *E*  385 *σοφοὶ* J. Tate et A. Dalzel] *σοφαὶ* libri | *ἑλεῖν*] *κτανεῖν* $Sb^a$ (*γρ. ἑλεῖν l* in mrg.)  386 *πόλις*] *δόμος E*  388 *ξένῃ* Halbertsma | *τοὐμὸν δέμας*] *δέμας τόδε* Christ. pat. 890 fort. recte  390 *πῦργος BaL*  392 *συμφορά ES*

*οὐ γὰρ μὰ τὴν δέσποιναν ἣν ἐγὼ σέβω*
*μάλιστα πάντων καὶ ξυνεργὸν εἱλόμην,*
*Ἑκάτην, μυχοῖς ναίουσαν ἑστίας ἐμῆς,*
*χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.*
*πικροὺς δ' ἐγώ σφιν καὶ λυγροὺς θήσω γάμους,*
*πικρὸν δὲ κῆδος καὶ φυγὰς ἐμὰς χθονός.*
*ἀλλ' εἶα· φείδου μηδὲν ὧν ἐπίστασαι,*
*Μήδεια, βουλεύουσα καὶ τεχνωμένη·*
*ἕρπ' ἐς τὸ δεινόν· νῦν ἀγὼν εὐψυχίας.*
*ὁρᾷς ἃ πάσχεις· οὐ γέλωτά δεῖ σ' ὀφλεῖν*
*τοῖς Σισυφείοις τοῖσδ' Ἰάσονος γάμοις*
*γεγῶσαν ἐσθλοῦ πατρὸς Ἡλίου τ' ἄπο.*
*ἐπίστασαι δέ· πρὸς δὲ καὶ πεφύκαμεν*
*γυναῖκες, ἐς μὲν ἔσθλ' ἀμηχανώταται,*
*κακῶν δὲ πάντων τέκτονες σοφώταται.*

*ΧΟ.* *ἄνω ποταμῶν ἱερῶν χωροῦσι παγαί,* stroph.
*καὶ δίκα καὶ πάντα πάλιν στρέφεται.*
*ἀνδράσι μὲν δόλιαι βουλαὶ θεῶν τ'*
*οὐκέτι πίστις ἄραρε.*
*τὰν δ' ἐμὰν εὔκλειαν ἔχειν βιοτὰν*
*στρέψουσι φᾶμαι·*
*ἔρχεται τιμὰ γυναικείῳ γένει·*
*οὐκέτι δυσκέλαδος φάμα γυναῖκας ἕξει.*

---

395 sq. verba *σέβω μάλιστα πάντων καὶ ξυνεργόν* om. *E* 399 *σφιν* (superscr. *σι λείπει*) *B* *σφι E* 400 *ἐμὰς φυγὰς L φυγὰς ἐμὰς* $la^3$ et post rasuram *P φυγὰς ἐμᾶς r* 401 *εἶα S*] *εἶα r* 403 *τὰ δεινὰ* Christ. pat. 481 404 *πάσχεις; L* | *οὐ*] *καὶ L* unde *κού* Hartung | *ὀφλεῖν* Elmsley] *ὄφλειν* libri 405 *τοῖσδ'* Herwerden] *τοῖς τ'* libri 407—9 in suspicionem vocavit Hartung Iph. Aul. p. 33 408 *ἐσμέν* libri, quod *ἐς μέν* et *ἐσμέν* esse potest 410 Zenobius II, 56. Firmus epist. 5 in Muratori anecd. graec. p. 285. — (*ἱερῶν* om.) Diog. Laert. VI, 2, 36. schol. Theocr. I, 133. schol. Luciani p. 68 Jacobitz. Suidas s. v. *ἄνω ποταμῶν*. Theodorus Metoch. p. 578. cf. Hesychius s. v. *ἄνω ποταμῶν* | *παγαί B η* sup. *αγ* scr. $B^1$ (*παγαί* versui sequenti addiderat *B* del. et antecedenti versui *πῆγαι* adiecit *b*) *παγαί a η* sup. *α* scr. $a^2$] *πηγαί r* 411 *πάντα πάλιν*] *πάλιν πάντα S* 412 sq. fort. *δόλιοι* | *τ'* quod retractaverat Elmsley, proposuit Lenting] *δ'* libri 414 *ἄρηρε l ἄρ*ρεν E ἄραρεν* $E^1$ 416 *στρέψουσι* Elmsley] *στρέφουσι* libri | *φάμαι B η* sup. *ά* scr. $B^1$ *α* sup. *αι b φάμαι E*

*μοῦσαι δὲ παλαιγενέων λήξουσ' ἀοιδᾶν* antistr.
*τὰν ἐμὰν ὑμνεῦσαι ἀπιστοσύναν.*
*οὐ γὰρ ἐν ἁμετέρᾳ γνώμᾳ λύρας*
*ὤπασε θέσπιν ἀοιδὰν*
*Φοῖβος, ἁγήτωρ μελέων· ἐπεὶ ἀντ-*
*άχησ' ἂν ὕμνον*
*ἀρσένων γέννᾳ. μακρὸς δ' αἰὼν ἔχει*
*πολλὰ μὲν ἁμετέραν ἀνδρῶν τε μοῖραν εἰπεῖν.*

*σὺ δ' ἐκ μὲν οἴκων πατρίων ἔπλευσας* stroph.
*μαινομένᾳ κραδίᾳ, διδύμους ὁρίσασα πόντου*
*πέτρας· ἐπὶ δὲ ξένᾳ*
*ναίεις χθονί, τᾶς ἀνάνδρου*
*κοίτας ὀλέσασα λέκτρον,*
*τάλαινα, φυγὰς δὲ χώρας*
*ἄτιμος ἐλαύνῃ.*

*βέβακε δ' ὅρκων χάρις, οὐδ' ἔτ' αἰδὼς* antistr.
*Ἑλλάδι τᾷ μεγάλᾳ μένει, αἰθερία δ' ἀνέπτα.*
*σοὶ δ' οὔτε πατρὸς δόμοι,*
*δύστανε, μεθορμίσασθαι*
*μόχθων πάρα, τῶν τε λέκτρων*
*ἄλλα βασίλεια κρείσσων*
*δόμοισιν ἐπέστα.*

---

421 *λήξουσ'* Heath] *λήξουσιν* libri | *ἀοιδὰν B ῶ* sup. *ὰν* scr. *B*[1] rescr. *b ἀοιδῶν* corr. in *ἀοιδὰν L* | *παλαιγενέων δὲ σοφῶν λήξουσι μοῦσαι* Stadtmueller 422 *ὑμνεῦσαι EaS*] *ὑμνέουσαι B ὑμνεῦσ' l ὑμνοῦσαι* Eustathius in Il. p. 634 | *εὐπιστοσύναν B* corr. *b* 423 *γνώμᾳ a γενεᾷ* superscr. *a*[2] 425 *ἔπνευσε a ὤπασε* superscr. *a*[2] 426 *ἀγήτωρ BP* | *ἀντάχησ' ἂν* Scaliger] *ἀντάχησα B ν* sup. *α* ult. add. *b ἀντάχησαν* (*η* sup. *τα* minio scr.) *E ἀντάχησαν a εν* sup. *αν* scr. *a*[2] *ἀντάχησαν S* 427 *ὕμνοις B γρ. ὕμνον b*[s] *ὕμνον a οι* sup. *ον* scr. *a*[2] *ὕμνοι* Eustathius l. l. 429 *γέννα B ι* subscr. *b γένναι E ᾳ* sup. *αι* scr. *E*[1] *γρ. γέννα* minio suprascr. *γέννα S μὲν γέννα l* | *μακρὸς*] *ὁ μακρὸς Ea* 431 *πατρίων* Aldina] *πατρώων* libri 433 *διδύμους La*] *διδύμας r* 434 *ξένᾳ* Aldina] *ξείνᾳ* libri (*ξεῖνα B ξείνᾳ b ξεῖνα* mut. in *ξείνα L*) 435 *τὰς B*˜ add. *b* 439 *οὐδ' ἔτ' L*] *οὐδέ τ' rl* 440 *μένει*] *μίμνει ES* 443 *παρα E παρὰ S πάρα p* | *τῶν τε* Elmsley (*σῶν τε* Porson)] *τῶνδε* libri 444 *ἄλλα* Heath] *ἀλλὰ* libri 445 *δόμοισιν Ea*] *δόμοι *** L δόμοις rl* | *ἐπέστα S*] *ἐπέστη Ea ἀνέστη B δόμοις ἐπανέστα* Kirchhoff

*πασῶν, ἀναίδει'· εὖ δ' ἐποίησας μολών·*
*ἐγώ τε γὰρ λέξασα κουφισθήσομαι*
*ψυχὴν κακῶς σε καὶ σὺ λυπήσῃ κλύων.*
*ἐκ τῶν δὲ πρώτων πρῶτον ἄρξομαι λέγειν.*
*ἔσωσά σ', ὡς ἴσασιν Ἑλλήνων ὅσοι*
*ταὐτὸν συνεισέβησαν Ἀργῷον σκάφος,*
*πεμφθέντα ταύρων πυρπνόων ἐπιστάτην*
*ζεύγλαισι καὶ σπεροῦντα θανάσιμον γύην·*
*δράκοντά θ', ὃς πάγχρυσον ἀμπέχων δέρος*
*σπείραις ἔσῳζε πολυπλόκοις ἄυπνος ὤν,*
*κτείνασ' ἀνέσχον σοὶ φάος σωτήριον.*
*αὐτὴ δὲ πατέρα καὶ δόμους προδοῦσ' ἐμοὺς*
*τὴν Πηλιῶτιν εἰς Ἰωλκὸν ἱκόμην*
*σὺν σοί, πρόθυμος μᾶλλον ἢ σοφωτέρα,*
*Πελίαν τ' ἀπέκτειν', ὥσπερ ἄλγιστον θανεῖν,*
*παίδων ὕπ' αὐτοῦ, πάντα δ' ἐξεῖλον φόβον.*
*καὶ ταῦθ' ὑφ' ἡμῶν, ὦ κάκιστ' ἀνδρῶν, παθὼν*
*προύδωκας ἡμᾶς, καινὰ δ' ἐκτήσω λέχη,*
*παίδων γεγώτων· εἰ γὰρ ἦσθ' ἄπαις ἔτι,*
*συγγνώστ' ἂν ἦν σοι τοῦδ' ἐρασθῆναι λέχους.*
*ὅρκων δὲ φρούδη πίστις, οὐδ' ἔχω μαθεῖν*
*ἢ θεοὺς νομίζεις τοὺς τότ' οὐκ ἄρχειν ἔτι,*
*ἢ καινὰ κεῖσθαι θέσμι' ἀνθρώποις τὰ νῦν,*
*ἐπεὶ σύνοισθά γ' εἰς ἔμ' οὐκ εὔορκος ὤν.*
*φεῦ δεξιὰ χείρ, ἧς σὺ πόλλ' ἐλαμβάνου,*
*καὶ τῶνδε γονάτων, ὡς μάτην κεχρώσμεθα*
*κακοῦ πρὸς ἀνδρός, ἐλπίδων δ' ἡμάρτομεν.*
*ἄγ'· ὡς φίλῳ γὰρ ὄντι σοι κοινώσομαι,*
*δοκοῦσα μὲν τί πρός γε σοῦ πράξειν καλῶς;*

---

472 *δὲ 'ποιήσας L ἐποίησας P δ' ἐποίησας lp* | *μολὼν Ba* 475 *τῶνδε BL* 478 *πεμφθάντα E* 479 *ζεύγλῃσι S ζεύγν*αισι E* 480 *θ'*] *δ' BP* | *ἀμφέπων* Aldina | *δέρος Lb*[a]] *δέρας r* 484 *πηλιώτην B* 487 *ὑφ' αὐτοῦ* Elmsley | *δ'*] *τ' S* | *φόβον*] *δόμον S* et *a*[1] in marg. 489 *καινὰ B καὶ νέα* (quod nil nisi glossa) *b*[a] 491 *σύγγνωστ' ἂν ἦν σοι S* (*Lp σύγγνωστ' ἄν σοι P*)] *συγγνωστὸν ἦν σοι r* 493 *ἤ B ἦ b*[a] *εἰ* Reiske | *νομίζω* schol. Aeschin. p. 350 Sch. 494 *θέσμι' ES* cum schol. Aeschin.] *θέσμι' ἐν B θέσμ' ἐν a* | *ἀνθρώποισι E ἐν βροτοῖς* Weil 497 lex. Messan. in Mus. Rhen. 1892 p. 410 *χρῴζω σὺν τῷ ῑ ὡς πλῴζω· Εὐριπίδης Μηδείᾳ* 498 *ἐλπίδος δ' E* 500 *μὲν τί BE*] *μέν τι r* (in *L* corr. ex *μέντοι*) | *a*[1] in marg. *γρ. δοκοῦσα μή τι πρός*

ὅμως δ'· ἐρωτηθεὶς γὰρ αἰσχίων φανῇ.
νῦν ποῖ τράπωμαι; πότερα πρὸς πατρὸς δόμους,
οὓς σοὶ προδοῦσα καὶ πάτραν ἀφικόμην;
ἢ πρὸς ταλαίνας Πελιάδας; καλῶς γ' ἂν οὖν
δέξαιντό μ' οἴκοις ὧν πατέρα κατέκτανον.
ἔχει γὰρ οὕτω· τοῖς μὲν οἴκοθεν φίλοις
ἐχθρὰ καθέστηχ', οὓς δέ μ' οὐκ ἐχρῆν κακῶς
δρᾶν, σοὶ χάριν φέρουσα πολεμίους ἔχω.
τοιγάρ με πολλαῖς μακαρίαν ἀν' Ἑλλάδα
ἔθηκας ἀντὶ τῶνδε· θαυμαστὸν δέ σε
ἔχω πόσιν καὶ πιστὸν ἡ τάλαιν' ἐγώ,
εἰ φεύξομαί γε γαῖαν ἐκβεβλημένη,
φίλων ἔρημος, σὺν τέκνοις μόνη μόνοις,
καλόν γ' ὄνειδος τῷ νεωστὶ νυμφίῳ,
πτωχοὺς ἀλᾶσθαι παῖδας ἥ τ' ἔσωσά σε.
ὦ Ζεῦ, τί δὴ χρυσοῦ μὲν ὃς κίβδηλος ᾖ
τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ,
ἀνδρῶν δ' ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι;

*ΧΟ.* δεινή τις ὀργὴ καὶ δυσίατος πέλει,
ὅταν φίλοι φίλοισι συμβάλωσ' ἔριν.

*ΙΑ.* δεῖ μ', ὡς ἔοικε, μὴ κακὸν φῦναι λέγειν,
ἀλλ' ὥστε ναὸς κεδνὸν οἰακοστρόφον
ἄκροισι λαίφους κρασπέδοις ὑπεκδραμεῖν
τὴν σὴν στόμαργον, ὦ γύναι, γλωσσαλγίαν.
ἐγὼ δ', ἐπειδὴ καὶ λίαν πυργοῖς χάριν,

---

501 δ' om. *BE* 502 πατρὸς om. *L*, add. *l* 503 ἀφικόμην] ἅμ' ἑσπόμην Naber ἐφεσπόμην R. Prinz, fort. ἀπῳχόμην 504 γ' ἂν οὖν *Sb*] τ' ἂν οὖν *BE* τὰ νῦν *a* 505 πατέρ' ἀπέκτανον *E* 506 οὕτως Herwerden 507 οὓς] οἷς *E* 509 ἀν' ἑλλάδα *a*] ἑλλάδα Herodianus de schem. ap. Walzium VIII p. 590 et Zonaeus ib. p. 679 καθ' ἑλλάδα *BE* ἑλληνίδων *Sb*[a] cum Alexandro de schem. ib. p. 451 511 πιστὸν] σεμνὸν Alexander σεπτὸν Nauck, fort. κεδνὸν 512 εἰ] ἢ Elmsley | γε *C* et cod. Havn. Herodiani] τε *BEa* δὲ *S* 513 φίλων] δόμων Herodianus et Zonaeus | μόνοις μόνη Zonaeus et libri aliquot Herodiani 514 τῷ — νυμφίῳ *aPl*] τῶν — νυμφίων *BE* (ι sub utroque ω scr. *b*) *L* 516 ᾖ] ἦν Clemens Alexandr. strom. VI p. 265 et Stobaeus fl. 2, 16 518 χρῆ *E* χρὴ *E*[1] χρῆν (sic m. 1) *L* 523 ναὸς *B* η sup. α scr. *B*[1] (non *b*) νηὸς *S*

*Κύπριν νομίζω τῆς ἐμῆς ναυκληρίας*
*σώτειραν εἶναι θεῶν τε κἀνθρώπων μόνην.*
*σοὶ δ' ἔστι μὲν νοῦς λεπτός, ἀλλ' ἐπίφθονος*
*λόγος διελθεῖν, ὡς Ἔρως σ' ἠνάγκασε*
*τόξοις ἀφύκτοις τοὐμὸν ἐκσῶσαι δέμας.*
*ἀλλ' οὐκ ἀκριβῶς αὐτὸ θήσομαι λίαν·*
*ὅπῃ γὰρ οὖν ὤνησας, οὐ κακῶς ἔχει.*
*μείζω γε μέντοι τῆς ἐμῆς σωτηρίας*
*εἴληφας ἢ δέδωκας, ὡς ἐγὼ φράσω.*
*πρῶτον μὲν Ἑλλάδ' ἀντὶ βαρβάρου χθονὸς*
*γαῖαν κατοικεῖς καὶ δίκην ἐπίστασαι*
*νόμοις τε χρῆσθαι μὴ πρὸς ἰσχύος χάριν·*
*πάντες δέ σ' ᾔσθοντ' οὖσαν Ἕλληνες σοφὴν*
*καὶ δόξαν ἔσχες· εἰ δὲ γῆς ἐπ' ἐσχάτοις*
*ὅροισιν ᾤκεις, οὐκ ἂν ἦν λόγος σέθεν.*
*εἴη δ' ἔμοιγε μήτε χρυσὸς ἐν δόμοις*
*μήτ' Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος,*
*εἰ μὴ 'πίσημος ἡ τύχη γένοιτό μοι.*
*τοσαῦτα μέν σοι τῶν ἐμῶν πόνων πέρι*
*ἔλεξ'· ἅμιλλαν γὰρ σὺ προὔθηκας λόγων.*
*ὃ δ' ἐς γάμους μοι βασιλικοὺς ὠνείδισας,*
*ἐν τῷδε δείξω πρῶτα μὲν σοφὸς γεγώς,*
*ἔπειτα σώφρων, εἶτα σοὶ μέγας φίλος*
*καὶ παισὶ τοῖς ἐμοῖσιν· ἀλλ' ἔχ' ἥσυχος.*
*ἐπεὶ μετέστην δεῦρ' Ἰωλκίας χθονὸς*
*πολλὰς ἐφέλκων συμφορὰς ἀμηχάνους,*
*τί τοῦδ' ἂν εὕρημ' ηὗρον εὐτυχέστερον*
*ἢ παῖδα γῆμαι βασιλέως φυγὰς γεγώς;*
*οὐχ, ᾗ σὺ κνίζῃ, σὸν μὲν ἐχθαίρων λέχος,*

---

527 sq. *ναυκληρίας σώτειραν*] *σωτηρίας ναύκληρον* Nauck 530 *σ'* om. *S*, add. *lp* | *ἠνάγκασε* *BE*¹*a*] *ἠνάγκασεν* *ES* 531 *τόξοις ἀφύκτοις* *BEa* (*l* in mrg.)] *πόνων ἀφύκτων* *Sb*ˢ, cfr. Hipp. 1422 532 *αὐτὰ* *S* 533 *ὅπῃ* (ὡς superscr.) *L* | *οὖν* om. *EP* add. *p* *οὖν μ'* F. Gu. Schmidt 537 *δίκῃ τ'* Elmsley 538 schol.: *τὸ χάριν γράφεται θράσει*] *κράτος* Blaydes 539 *ᾔσθοντ'* *B* corr. *b* 541 *λόγοις* *B* 545 *μέν σοι* *S*] *μέντοι* *r* 547 *ὃ* scripsi] *ἃ* libri 549 *φίλοις* *B* corr. *b* 550 *ἡσύχως* *BE* 551 *μετέστη* *B* *ν* add. *b* 552 *ἀφέλκων* *E* 553 *τοῦτ' εὕρημ'* *B* corr. *b* | *εὗρον* libri | *ἀτυχέστερον* *B* corr. *b* 554 *γεγὼς φυγάς* *B* 555 *ἐχθραίνων* *a*

καινῆς δὲ νύμφης ἱμέρῳ πεπληγμένος,
οὐδ' εἰς ἅμιλλαν πολύτεκνον σπουδὴν ἔχων·
ἅλις γὰρ οἱ γεγῶτες οὐδὲ μέμφομαι·
ἀλλ' ὡς τὸ μὲν μέγιστον οἰκοῖμεν καλῶς
καὶ μὴ σπανιζοίμεσθα, γιγνώσκων ὅτι
πένητα φεύγει πᾶς τις ἐκποδὼν φίλος,
παῖδας δὲ θρέψαιμ' ἀξίως δόμων ἐμῶν
σπείρας τ' ἀδελφοὺς τοῖσιν ἐκ σέθεν τέκνοις
ἐς ταὐτὸ θείην καὶ ξυναρτήσας γένος
εὐδαιμονοίην. σοί τε γὰρ παίδων τί δεῖ;
ἐμοί τε λύει τοῖσι μέλλουσιν τέκνοις
τὰ ζῶντ' ὀνῆσαι. μῶν βεβούλευμαι κακῶς;
οὐδ' ἂν σὺ φαίης, εἴ σε μὴ κνίζοι λέχος.
ἀλλ' ἐς τοσοῦτον ἥκεθ' ὥστ' ὀρθουμένης
εὐνῆς γυναῖκες πάντ' ἔχειν νομίζετε,
ἢν δ' αὖ γένηται ξυμφορά τις ἐς λέχος,
τὰ λῷστα καὶ κάλλιστα πολεμιώτατα
τίθεσθε. χρῆν γὰρ ἄλλοθέν ποθεν βροτοὺς
παῖδας τεκνοῦσθαι, θῆλυ δ' οὐκ εἶναι γένος·
χοὔτως ἂν οὐκ ἦν οὐδὲν ἀνθρώποις κακόν.
ΧΟ. Ἰᾶσον, εὖ μὲν τούσδ' ἐκόσμησας λόγους·
ὅμως δ' ἔμοιγε, κεἰ παρὰ γνώμην ἐρῶ,
δοκεῖς προδοὺς σὴν ἄλοχον οὐ δίκαια δρᾶν.
ΜΗ. ἦ πολλὰ πολλοῖς εἰμι διάφορος βροτῶν.
ἐμοὶ γὰρ ὅστις ἄδικος ὢν σοφὸς λέγειν
πέφυκε, πλείστην ζημίαν ὀφλισκάνει·
γλώσσῃ γὰρ αὐχῶν τἄδικ' εὖ περιστελεῖν,
τολμᾷ πανουργεῖν· ἔστι δ' οὐκ ἄγαν σοφός.
ὡς καὶ σὺ μή νυν εἰς ἔμ' εὐσχήμων γένῃ

---

560 σπανιζόμεσθα *B* σπανιζοίμεθα *S* | γιγνώσκων *EbS*] γινώσκων *r* 561 φεύγῃ *B* | φίλων Elmsley 562 δὲ] τε *S* 564 συναρτήσας *S* | versum delet Nauck 565 εὐδαιμονοῖμεν Elmsley 566 μέλλουσιν *El*] μέλλουσι *r* 567 τὰ σ' ὄντ' Kvičala 568 σε] σοι *E* | κνίζει *S* 569—571 in textu omissos in marg. add. *B*[1] 571 δ' αὖ] δὲ *E* δ* *P* δ' αὖ *P*[1] | γένοιται mut. in γένηται *L* | συμφορά *S* 573 χρῆν *S* (ἐχρῆν *b*[s])] χρὴν *a* χρὴ *r* | γὰρ] ἄρ' Porsonus | ἄλλοθεν πόθεν *L* 574 τεκνοῦσθαι] πεπᾶσθαι Nauck 575 χοὔτως] οὕτως δ' *S* 576 μ*** *L* μὲν *l* 577 ἐρῶ] λέγω *S* 579 ἢ *E* 582 τἄδικα δ' εὖ *E* 584 σύ· μὴ *L* | νυν Elmsley] νῦν libri | εὐσχήμων *B*

λέγειν τε δεινός. ἓν γὰρ ἐκτενεῖ σ' ἔπος·
χρῆν σ', εἴπερ ἦσθα μὴ κακός, πείσαντά με
γαμεῖν γάμον τόνδ', ἀλλὰ μὴ σιγῇ φίλων.
ΙΑ. καλῶς γ' ἄν, οἶμαι, τῷδ' ὑπηρέτεις λόγῳ,
εἴ σοι γάμον κατεῖπον, ἥτις οὐδὲ νῦν
τολμᾷς μεθεῖναι καρδίας μέγαν χόλον.
ΜΗ. οὐ τοῦτό σ' εἶχεν, ἀλλὰ βάρβαρον λέχος
πρὸς γῆρας οὐκ εὔδοξον ἐξέβαινέ σοι.
ΙΑ. εὖ νυν τόδ' ἴσθι, μὴ γυναικὸς εἵνεκα
γῆμαί με λέκτρα βασιλέων ἃ νῦν ἔχω,
ἀλλ', ὥσπερ εἶπον καὶ πάρος, σῶσαι θέλων
σὲ καὶ τέκνοισι τοῖς ἐμοῖς ὁμοσπόρους
φῦσαι τυράννους παῖδας, ἔρυμα δώμασι.
ΜΗ. μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος
μηδ' ὄλβος ὅστις τὴν ἐμὴν κνίζοι φρένα.
ΙΑ. οἶσθ' ὡς μέτευξαι καὶ σοφωτέρα φανῇ;
τὰ χρηστὰ μή σοι λυπρὰ φαινέσθω ποτέ,
μηδ' εὐτυχοῦσα δυστυχὴς εἶναι δόκει.
ΜΗ. ὕβριζ', ἐπειδὴ σοὶ μὲν ἔστ' ἀποστροφή,
ἐγὼ δ' ἔρημος τήνδε φευξοῦμαι χθόνα.
ΙΑ. αὐτὴ τάδ' εἵλου· μηδέν' ἄλλον αἰτιῶ.
ΜΗ. τί δρῶσα; μῶν γαμοῦσα καὶ προδοῦσά σε;
ΙΑ. ἀρὰς τυράννοις ἀνοσίους ἀρωμένη.
ΜΗ. καὶ σοῖς ἀραία γ' οὖσα τυγχάνω δόμοις.
ΙΑ. ὡς οὐ κρινοῦμαι τῶνδέ σοι τὰ πλείονα.
ἀλλ', εἴ τι βούλει παισὶν ἢ σαυτῆς φυγῇ
προσωφέλημα χρημάτων ἐμῶν λαβεῖν,
λέγ'· ὡς ἕτοιμος ἀφθόνῳ δοῦναι χερὶ

---

585 ἐκτενεῖ σ' *ES* (*L* *κτενεῖ σ' *P*) *a*¹ in marg. cum schol. Hom. ap. Cramer. anecd. Paris. III p. 225 et Eustathio in Il. p. 672] κτενεῖ σ' *B* σε κτενεῖ *a* οὖν κτενεῖ σ' *p*   588 οἶμαι Nauck] οὖν σὺ *BE* οὖν μοι *S* οὖν *a* | ὑπηρέτης *B* corr. *B*¹ ἐξυπηρέτεις *a*   593 νῦν et οὕνεκα libri   594 βασιλέων Elmsley] βασιλέως libri   596 τοῖσι σοῖς Bothe | ὁμοσπόροις *B* corr. *b*   597 ἔρυμα] ἕρμα Usener | δώμασιν *L*   599 κνίζοι *aP* cum Stobaeo fl. 93, 5] κνίζει *r* (in *E* dubium utrum κνίζει an κνίζοι, sed illud verisimilius)   600 μέτευξαι Elmsley] μετεύξῃ libri   601 φαίνεσθαι et 602 δοκεῖν Reiske   604 φεύξομαι *d* quod probat Dindorf   605 μηδὲν corr. in μηδέν' *L*   608 ἀραῖα γ' *E*   610 τι *Sb* (et fort. *a*)] τε *BEa*¹ | σαυτῇ φυγῇ *E* σαυτῇ φυγῆς *L*   611 πρόσωφέλιμα *B* corr. *b* προσωφέλημα *E*   612 χειρὶ *E*

ξένοις τε πέμπειν σύμβολ', οἳ δράσουσί σ' εὖ·
καὶ ταῦτα μὴ θέλουσα μωρανεῖς, γύναι·
λήξασα δ' ὀργῆς κερδανεῖς ἀμείνονα.
ΜΗ. οὔτ' ἂν ξένοισι τοῖσι σοῖς χρησαίμεθ' ἄν,
οὔτ' ἄν τι δεξαίμεσθα μηδ' ἡμῖν δίδου·
κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.
ΙΑ. ἀλλ' οὖν ἐγὼ μὲν δαίμονας μαρτύρομαι,
ὡς πᾶν ὑπουργεῖν σοί τε καὶ τέκνοις θέλω·
σοὶ δ' οὐκ ἀρέσκει τἀγάθ', ἀλλ' αὐθαδίᾳ
φίλους ἀπωθῇ· τοιγὰρ ἀλγυνῇ πλέον.
ΜΗ. χώρει· πόθῳ γὰρ τῆς νεοδμήτου κόρης
αἱρῇ χρονίζων δωμάτων ἐξώπιος.
νύμφευ'· ἴσως γάρ· σὺν θεῷ δ' εἰρήσεται·
γαμεῖς τοιοῦτον ὥστε σ' ἀρνεῖσθαι γάμον.

ΧΟ. ἔρωτες ὑπὲρ μὲν ἄγαν stroph.
ἐλθόντες οὐκ εὐδοξίαν
οὐδ' ἀρετὰν παρέδωκαν
ἀνδράσιν· εἰ δ' ἅλις ἔλθοι
Κύπρις, οὐκ ἄλλα θεὸς εὔχαρις οὕτως.
μήποτ', ὦ δέσποιν', ἐπ' ἐμοὶ
χρυσέων τόξων ἐφείης
ἱμέρῳ χρίσασ' ἄφυκτον οἰστόν.

στέγοι δέ με σωφροσύνα, antistr.
δώρημα κάλλιστον θεῶν·
μηδέ ποτ' ἀμφιλόγους ὀρ-
γὰς ἀκόρεστά τε νείκη

---

613 δράσουσι σ' *SaE*[2]] δράσουσιν *B* δράσουσι* *E* al. man. in marg. δράσουσι σ' εὖ atramento pallido scr. 617 μήδ' *S*] μήθ' *L*[1] μήθ' *r* 618 δῶρον *ES* δῶρ' *L*[1] 620 πᾶν scripsi, cfr. Soph. O. R. 265 et Eur. Hipp. 284] πάνθ' *EaL* πάντ' *r* 621 αὐταθ*α *B* αὐταθία *B*[1] ι subscr. *b* 626 ὥστ' ἀναίνεσθαι R. Prinz (ὥς σ' ἀναίνεσθαι Camper) 631 οὐκ *S*] οὐκ (γρ. οὐκ minio superscr.) *E* οὐκ *B* οὐκ *b* (in marg. γρ. οὐκ scr. m. rec.) οὐκ' *a* | ἄλλα *Ea* η sup. λα scr. *E'a*[1] ἀλλὰ *B* corr. *b* ἄλλη mut. in ἄλλα *L* | οὕτω *L* 632 μήποτ'] μήδέ ποτ' *L* et lemma scholii. literas μήποτ' ὦ δέ in ras. scr. *E*[1] 633 ἐφίης *BL* (ει sup. η scr. *l*) cum Eustathio in Il. p. 568 ἀφείης Naber 634 ὀϊστόν *EaL* 635 στέγοι scripsi] στέργοι libri cum Stobaeo fl. 5, 19, cfr. El. 407 637 ἀμφὶ λόγους *B* corr. b

*θυμὸν ἐκπλήξασ' ἑτέροις ἐπὶ λέκτροις*
*προσβάλοι δεινὰ Κύπρις, ἀ-*
*πτολέμους δ' εὐνὰς σεβίζουσ'*
*ὀξύφρων κρίνοι λέχη γυναικῶν.*

*ὦ πατρίς, ὦ δώματα, μὴ* stroph.
*δῆτ' ἄπολις γενοίμαν*
*τὸν ἀμηχανίας ἔχουσα*
*δυσπέρατον αἰῶν',*
*οἰκτρότατον ἀχέων.*
*θανάτῳ θανάτῳ πάρος δαμείην*
*ἁμέραν τάνδ' ἐξανύσασα· μό-*
*χθων δ' οὐκ ἄλλος ὕπερθεν ἢ*
*γᾶς πατρίας στέρεσθαι.*

*εἴδομεν, οὐκ ἐξ ἑτέρων* antistr.
*μῦθον ἔχω φράσασθαι·*
*σὲ γὰρ οὐ πόλις, οὐ φίλων τις*
*ᾤκτισεν παθοῦσαν*
*δεινότατα παθέων.*
*ἀχάριστος ὄλοιθ', ὅτῳ πάρεστιν*
*μὴ φίλους τιμᾶν καθαρὰν ἀνοί-*
*ξαντα κλῇδα φρενῶν· ἐμοὶ*
*μὲν φίλος οὔποτ' ἔσται.*

---

640 *προσβάλλοι L* (*προσβάλλοιμ' ὦ l*) *προσβάλοιμι EP* | *ἀπτολέμους ESa*[1]*b*] *ἀπολέμους Bal* 641 sq. *δ'* om. *S* | *σεβίζουσ' l*] *σεβίζουσα r* *σέβουσιν ξυμφρόνων κραίνοι* Holzner, fort. *σέβουσα ξυνόφρων κρίνοι* | *κρίνοι* (sup. *ο* scr. *ε*) *P κρίνει L κρίνοι l* 643 *δώματα* Nauck] *δώμα** L* (*δῶμα τ' ἐμόν l*) *δῶμα r* 645 *ἀμαχανίας* Elmsley 646 *αἰῶνα S* 647 *οἰκτρότατον* Musgrave] *οἰκτροτάτων* libri 648 alterum *θανάτῳ* om. *L* 649 *τάνδ' ἁμέραν L* corr. *l* | *ἐξανύσαι b* (fortasse, quia *B*[1] ante *ἁμέραν* interpretandi causa scr. *πρίν*) *ἁμέραν μὴ τάνδ' ἀνύσασα* Rauchenstein 650 *δ' οὐκ*] *οὐκ a τίς* Elmsley 651 *πατρώας σέβεσθαι B* 654 *μῦθον* Nauck] *μύθων* libri (*l* in ras.) | *ἔχω*] *ἔχομεν l* in ras. 655 *σὲ γὰρ οὐ φίλων τις οὐ πόλις S* 657 *ᾤκτισεν* Musgrave] *ᾤκτειρεν S ᾤκτειρε r* (*οἰκτερεῖ* Nauck) 658 *δεινότατα L ον* sup. alterum *α* scr. *l* 659 *πάρεστιν Sa*] *πάρεστι BE* *παρέσται l παρέστη* Badham 660 *καθαρᾶν* Badham | *ἀνοίξαντι Sa*[2]
661 sq. *κλῇδα* Brunck] *κληῗδα L κληιδα P κληίδα lp κληῗδα r* | *κἀμοὶ φίλος οὐκ ἔσται l*

ΑΙ. τί χρῆμα δράσας; φράζε μοι σαφέστερον.
ΜΗ. γυναῖκ' ἐφ' ἡμῖν δεσπότιν δόμων ἔχει.
ΑΙ. οὔ που τετόλμηκ' ἔργον αἴσχιστον τόδε;
ΜΗ. σάφ' ἴσθ'· ἄτιμοι δ' ἐσμὲν οἱ πρὸ τοῦ φίλοι.
ΑΙ. πότερον ἐρασθεὶς ἢ σὸν ἐχθαίρων λέχος;
ΜΗ. μέγαν γ' ἔρωτα· πιστὸς οὐκ ἔφυ φίλοις
ΑΙ. ἴτω νυν, εἴπερ, ὡς λέγεις, ἐστὶν κακός.
ΜΗ. ἀνδρῶν τυράννων κῆδος ἠράσθη λαβεῖν.
ΑΙ. δίδωσι δ' αὐτῷ τίς; πέραινέ μοι λόγον.
ΜΗ. Κρέων, ὃς ἄρχει τῆσδε γῆς Κορινθίας.
ΑΙ. συγγνωστὰ μὲν γὰρ ἦν σε λυπεῖσθαι, γύναι.
ΜΗ. ὄλωλα· καὶ πρός γ' ἐξελαύνομαι χθονός.
ΑΙ. πρὸς τοῦ; τόδ' ἄλλο καινὸν αὖ λέγεις κακόν.
ΜΗ. Κρέων μ' ἐλαύνει φυγάδα γῆς Κορινθίας.
ΑΙ. ἐᾷ δ' Ἰάσων; οὐδὲ ταῦτ' ἐπῄνεσα.
ΜΗ. λόγῳ μὲν οὐχί, καρτερεῖν δὲ βούλεται.
ἀλλ' ἄντομαί σε τῆσδε πρὸς γενειάδος
γονάτων τε τῶν σῶν ἱκεσία τε γίγνομαι,
οἴκτειρον οἴκτειρόν με τὴν δυσδαίμονα
καὶ μή μ' ἔρημον ἐκπεσοῦσαν εἰσίδῃς,
δέξαι δὲ χώρᾳ καὶ δόμων ἐφέστιον.
[οὕτως ἔρως σοι πρὸς θεῶν τελεσφόρος
γένοιτο παίδων, καὐτὸς ὄλβιος θάνοις.]
εὕρημα δ' οὐκ οἶσθ' οἷον ηὕρηκας τόδε·
παύσω δέ σ' ὄντ' ἄπαιδα καὶ παίδων γονὰς
σπεῖραί σε θήσω· τοιάδ' οἶδα φάρμακα.

693 schol.: σεσημείωται ὁ στίχος, ὅτι καὶ ἐν Πελιάσιν ἐστίν 695 οὔ που Witzschel] ἦ (ἢ *E*) που libri 696 σάφ' οἶσθ' *E* | προτοῦ *B* προτοῦ *EL* 698. 99 suspecti 698 πιστὸς δ' *B* 699 νυν *L*] νῦν *r* | ἐστὶ *BE* 703 μὲν γὰρ *S* γὰρ *r* μέν τἄρ' Hermann κάρτ' ἄρ' Kirchhoff, fort. συγγνωστά τἄρα σ' ἦν λελυπῆσθαι | λυπεῖσθαι] λελυπῆσθαι *E* 705 αὖ λέγεις] ἀγγέλλεις *E* ἀγγελεῖς Christ. pat. 138 706 γῆς Κορινθίας glossam ex 702 petitam putat Hartung (τῆσδ' ἔξω χθονός Aldina) 708 μὲν, οὐχὶ, καρτερεῖν *L* | γρ. καρδίᾳ δὲ βούλεται *a*[1] in mrg. *b*[s] 710 τῶν om. *BaP* | τε (post ἱκεσία) om. *P* eras. in *a* 712 ἐσίδῃς *aP* 713 δόμων scripsi] δόμοις libri 714 et 715 delevit L. Dindorf, cfr. Christ. pat. 778 714 σοὶ libri 715 θάνοις *S* (*P* θάνεις *L* οι sup. ει scr. *L*[1])] θάνῃς *r* 716 οἷον *L* | εὕρηκας libri 717 παύσω σ' ἄτεκνον ὄντα Kuiper

*ΑΙ.* πολλῶν ἕκατι τήνδε σοι δοῦναι χάριν,
γύναι, πρόθυμός εἰμι, πρῶτα μὲν θεῶν,
ἔπειτα παίδων ὧν ἐπαγγέλλῃ γονάς·
ἐς τοῦτο γὰρ δὴ φροῦδός εἰμι πᾶς ἐγώ.
οὕτω δ' ἔχει μοι· σοῦ μὲν ἐλθούσης χθόνα,
πειράσομαί σου προξενεῖν δίκαιος ὤν.
[τοσόνδε μέντοι σοι προσημαίνω, γύναι·
ἐκ τῆσδε μὲν γῆς οὔ σ' ἄγειν βουλήσομαι,
αὐτὴ δ' ἐάνπερ εἰς ἐμοὺς ἔλθῃς δόμους,
μενεῖς ἄσυλος κοὔ σε μὴ μεθῶ τινι.]
ἐκ τῆσδε δ' αὐτὴ γῆς ἀπαλλάσσου πόδα·
ἀναίτιος γὰρ καὶ ξένοις εἶναι θέλω.
*ΜΗ.* ἔσται τάδ'· ἀλλὰ πίστις εἰ γένοιτό μοι
τούτων, ἔχοιμ' ἂν πάντα πρὸς σέθεν καλῶς.
*ΑΙ.* μῶν οὐ πέποιθας; ἢ τί σοι τὸ δυσχερές;
*ΜΗ.* πέποιθα· Πελίου δ' ἐχθρός ἐστί μοι δόμος
Κρέων τε. τούτοις ὁρκίοισι μὲν ζυγεὶς
ἄγουσιν οὐ μεθεῖ' ἂν ἐκ γαίας ἐμέ·
λόγοις δὲ συμβὰς καὶ θεῶν ἀνώμοτος
φίλος γένοι' ἂν κἀπικηρυκεύματα
οὐκ ἂν πίθοιο· τἀμὰ μὲν γὰρ ἀσθενῆ,
τοῖς δ' ὄλβος ἐστὶ καὶ δόμος τυραννικός.
*ΑΙ.* πολλὴν ἔλεξας ἐν λόγοις προμηθίαν·
ἀλλ', εἰ δοκεῖ σοι, δρᾶν τάδ' οὐκ ἀφίσταμαι.

---

719 Aegei notam om. *B* add. *b* 721 ὧν *C* ὧ* *L*] ὧν μ' *rl* | ἐπαγγέλῃ *B* 723 ἔχει μοι *Lab*[s]] ἔχοιμι *ra*[2] 724 πειράσ*μαι *L* πειράσομαι *l* | σου] 'γὼ Porson 725—28 uncinis inclusit Kirchhoff, alii malunt quattuor versus 723. 724. 729. 730 abicere 725 τοσόνδε *a* τοσόνγε *r* (τὸ σόν γε *L*) | προσημανῶ *a* 733 ἢ] εἰς *L* 735 τούτοις scripsi] τούτοισι δ' *Ba* τούτοις δ' *r* | ζυγοῖς (ut vid.) corr. in ζυγεὶς *L* 736 μεθεῖ' *L*] μεθεὶς *aP* με*** *B* (μεθ' ἧς *C*) μεθῇς *Eb* 737 ἀνώμοτος *d*] '*νώμοτος (i. e. ἀνώμοτος) *L* ἐνώμοτος *l* ἐνώμοτος *a* ἄνω (vel ἀνα) sup. ἐνω scr. *a*[2] ἐνώμοτος *r* 738 κἀπικηρυκεύματα cum Didymo schol. τῇ δὲ εὐθείᾳ ἀντὶ δοτικῆς κέχρηται· ἔδει γὰρ εἰπεῖν· καὶ τοῖς ἐπικηρυκεύμασιν οὐκ ἂν πίθοιο. Δίδυμος δέ φησιν ἐλλείπειν τὴν διά, ἵν' ᾖ· καὶ διὰ τὰ ἐπικηρυκεύματα] κἀπικηρυκεύμασιν *EaS* κἀπὶ κηρυκεύμασι *r* κἀπὶ κηρυκεύμασιν *p* 739 οὐκ ἂν] ὀκνῶν F. Leo (τάχ' ἂν Jacobs et Wyttenbach, κείνων Schoemann πίθοι σε Lenting οὐκ ἂν παρεῖο Stadtmueller) 741 ἔλεξας] ἔδειξας Sigonius (teste Elmsleio) et Valckenaer | ἐν λόγοις *S*] ὦ γύναι *r* (*l* in mrg.), fort. καὶ σοφὴν

ἐμοί τε γὰρ τάδ' ἐστὶν ἀσφαλέστατα,
σκῆψίν τιν' ἐχθροῖς σοῖς ἔχοντα δεικνύναι,
τὸ σόν τ' ἄραρε μᾶλλον· ἐξηγοῦ θεούς.
ΜΗ. ὄμνυ πέδον Γῆς πατέρα θ' Ἥλιον πατρὸς
τοὐμοῦ θεῶν τε συντιθεὶς ἅπαν γένος.
ΑΙ. τί χρῆμα δράσειν ἢ τί μὴ δράσειν; λέγε.
ΜΗ. μήτ' αὐτὸς ἐκ γῆς σῆς ἔμ' ἐκβαλεῖν ποτε,
μήτ' ἄλλος ἤν τις τῶν ἐμῶν ἐχθρῶν ἄγειν
χρῄζῃ, μεθήσειν ζῶν ἑκουσίῳ τρόπῳ.
ΑΙ. ὄμνυμι Γαίας δάπεδον Ἡλίου τε φῶς
θεούς τε πάντας ἐμμενεῖν ἅ σου κλύω.
ΜΗ. ἀρκεῖ· τί δ' ὅρκῳ τῷδε μὴ 'μμένων πάθοις;
ΑΙ. ἃ τοῖσι δυσσεβοῦσι γίγνεται βροτῶν.
ΜΗ. χαίρων πορεύου· πάντα γὰρ καλῶς ἔχει.
κἀγὼ πόλιν σὴν ὡς τάχιστ' ἀφίξομαι,
πράξασ' ἃ μέλλω καὶ τυχοῦσ' ἃ βούλομαι.
ΧΟ. ἀλλά σ' ὁ Μαίας πομπαῖος ἄναξ
πελάσειε δόμοις, ὧν τ' ἐπίνοιαν
σπεύδεις κατέχων πράξειας, ἐπεὶ
γενναῖος ἀνήρ,
Αἰγεῦ, παρ' ἐμοὶ δεδόκησαι.
ΜΗ. ὦ Ζεῦ Δίκη τε Ζηνὸς Ἡλίου τε φῶς,
νῦν καλλίνικοι τῶν ἐμῶν ἐχθρῶν, φίλαι,
γενησόμεσθα κεἰς ὁδὸν βεβήκαμεν·
[νῦν δ' ἐλπὶς ἐχθροὺς τοὺς ἐμοὺς τίσειν δίκην·]
οὗτος γὰρ ἁνὴρ ᾗ μάλιστ' ἐκάμνομεν
λιμὴν πέφανται τῶν ἐμῶν βουλευμάτων·

---

743 ἀσφαλέστερα *S* (*P* ἀσφαλέστ*** *L* ἀσφαλέστατα *l* ερα sup. ατα scr. l) *b*[s], cfr. Christ. pat. 782 745 τὸ σὸν δ' ἄρηρε *S* (ἄραρε *l*) 746 ὄμνυμι *E* cum Eustathio in Il. p. 436 | γρ. ἡλίου θ' ἁγνὸν σέβας in marg. *a*[1]*l* 747 θεὸν mut. in θεῶν *L* 748 δράσ* *E* ειν sup. ras. scr. *E*[1] | μὴ δρᾶσαι *Pb*[s] 751 χρῄζ* *BL* χρῄζῃ *bL*[1] | ζῶν *S* (*P* **ν *L* γῆς *l* γρ. ζῶν superscr. *l*) *b*[s]] γῆς *r* 752 Γαίας Badham] γαῖαν libri (γαῖ** *E* αν sup. ras. scr. *E*[1]) | δάπεδον Ἡλίου τε φῶς Badham] λαμπρὸν ἡλίου τε φῶς *ES* λαμπρόν θ' ἡλίου φάος *B* λαμπρὸν ἡλίου φάος *a* 753 ἐμμενεῖν G. H. Schaefer] ἐμμένειν libri 755 βροτοῖς *S* et Christ. pat. 789 758 τυχοῦσ' ἃ] τυχοῦσ' ὧν *EP* 759 schol.: ταῦτα ἔνιοι τῷ χορῷ, ἔνιοι τῇ Μηδείᾳ προσνέμουσιν 767 seclusit Bothe 768 ἁνὴρ Porson] ἀνὴρ libri | μάλιστ* κάμνομεν *E* μάλιστ' ἐκάμνομεν *E*[2] 769 πέφασται *B*

ἐκ τοῦδ' ἀναψόμεσθα πρυμνήτην κάλων,
μολόντες ἄστυ καὶ πόλισμα Παλλάδος.
ἤδη δὲ πάντα τἀμά σοι βουλεύματα
λέξω· δέχου δὲ μὴ πρὸς ἡδονὴν λόγους.
πέμψασ' ἐμῶν τιν' οἰκετῶν Ἰάσονα
ἐς ὄψιν ἐλθεῖν τὴν ἐμὴν αἰτήσομαι·
μολόντι δ' αὐτῷ μαλθακοὺς λέξω λόγους,
ὡς καὶ δοκεῖ μοι ταῦτα καὶ καλῶς ἔχει,
[γάμους τυράννων οὓς προδοὺς ἡμᾶς ἔχει
καὶ ξύμφορ' εἶναι καὶ καλῶς ἐγνωσμένα·]
παῖδας δὲ μεῖναι τοὺς ἐμοὺς αἰτήσομαι,
οὐχ ὡς λιποῦσα πολεμίας ἐπὶ χθονός,
[ἐχθροῖσι παῖδας τοὺς ἐμοὺς καθυβρίσαι,]
ἀλλ' ὡς δόλοισι παῖδα βασιλέως κτάνω.
πέμψω γὰρ αὐτοὺς δῶρ' ἔχοντας ἐν χεροῖν
[νύμφῃ φέροντας, τήνδε μὴ φεύγειν χθόνα,]
λεπτόν τε πέπλον καὶ πλόκον χρυσήλατον·
κἄνπερ λαβοῦσα κόσμον ἀμφιθῇ χροΐ,
κακῶς ὀλεῖται πᾶς θ' ὃς ἂν θίγῃ κόρης·
τοιοῖσδε χρίσω φαρμάκοις δωρήματα.
ἐνταῦθα μέντοι τόνδ' ἀπαλλάσσω λόγον·
ᾤμωξα δ' οἷον ἔργον ἔστ' ἐργαστέον
τοὐντεῦθεν ἡμῖν· τέκνα γὰρ κατακτενῶ
τἄμ'· οὔτις ἔστιν ὅστις ἐξαιρήσεται·
δόμον τε πάντα συγχέασ' Ἰάσονος
ἔξειμι γαίας, φιλτάτων παίδων φόνον
φεύγουσα καὶ τλᾶσ' ἔργον ἀνοσιώτατον.
οὐ γὰρ γελᾶσθαι τλητὸν ἐξ ἐχθρῶν, φίλαι.

---

774 ἐμὸν τιν' *E* 777 ταὐτὰ Barnes 778 damnavit Reiske, 778. 79 Porson 779 ξύμφ∗ρ' *B* ξύμφορ' *B*[1] | καλῶς εἰργασμένα *S* 780 παῖδας *E* ο sup. αι scr. *E*[1] 781 λιποῦσ' ἂν Elmsley λίπω σφε Burges 782 e 1060. 61 confictum del. Brunck 784 αὐτοὺς (ου corr. *b*) *B* αὐτῇ Valckenaer 785. 86 inverso ordine leguntur in *E*, minio sup. 785 α 786 β 787 γ scr. | 785 om. *C* proscripsit Valckenaer | τήνδε μή] γράφεται δῆθεν μή schol. | φυγεῖν *ES* 786 πλόκον] στέφος *E* 790 μέν σοι Christ. pat. 837, cfr. schol. μέχρι μὲν τούτου ἀποτερματίζω σοι καὶ ἵστημι τὸν λόγον σιωπῶσα | post 790 unius versus spatium vacuum, in quo ≈ ab al. man. scr. *E* 792 τουνθένδ' ἐν *B* γρ. τεῦ sup. θεν scr. *b* | κατακτενῶ *EP*] κατακτανῶ *r*

*ἴτω· τί μοι ζῆν κέρδος; οὔτε μοι πατρὶς*
*οὔτ' οἶκος ἔστιν οὔτ' ἀποστροφὴ κακῶν.*
*ἡμάρτανον τόθ' ἡνίκ' ἐξελίμπανον*
*δόμους πατρῴους, ἀνδρὸς Ἕλληνος λόγοις*
*πεισθεῖσ', ὃς ἡμῖν σὺν θεῷ τίσει δίκην.*
*οὔτ' ἐξ ἐμοῦ γὰρ παῖδας ὄψεταί ποτε*
*ζῶντας τὸ λοιπὸν οὔτε τῆς νεοζύγου*
*νύμφης τεκνώσει παῖδ', ἐπεὶ κακὴν κακῶς*
*θανεῖν σφ' ἀνάγκη τοῖς ἐμοῖσι φαρμάκοις.*
*μηδείς με φαύλην κἀσθενῆ νομιζέτω*
*μηδ' ἡσυχαίαν, ἀλλὰ θατέρου τρόπου,*
*βαρεῖαν ἐχθροῖς καὶ φίλοισιν εὐμενῆ·*
*τῶν γὰρ τοιούτων εὐκλεέστατος βίος.*
ΧΟ. *ἐπείπερ ἡμῖν τόνδ' ἐκοίνωσας λόγον,*
*σέ τ' ὠφελεῖν θέλουσα καὶ νόμοις βροτῶν*
*ξυλλαμβάνουσα δρᾶν σ' ἀπεννέπω τάδε.*
ΜΗ. *οὐκ ἔστιν ἄλλως· σοὶ δὲ συγγνώμη λέγειν*
*τάδ' ἐστί, μὴ πάσχουσαν, ὡς ἐγώ, κακῶς.*
ΧΟ. *ἀλλὰ κτανεῖν σὸν σπέρμα τολμήσεις, γύναι;*
ΜΗ. *οὕτω γὰρ ἂν μάλιστα δηχθείη πόσις.*
ΧΟ. *σὺ δ' ἂν γένοιό γ' ἀθλιωτάτη γυνή.*
ΜΗ. *ἴτω· περισσοὶ πάντες οὑν μέσῳ λόγοι.*
*ἀλλ' εἷα χώρει καὶ κόμιζ' Ἰάσονα·*
*ἐς πάντα γὰρ δὴ σοὶ τὰ πιστὰ χρώμεθα.*
*λέξῃς δὲ μηδὲν τῶν ἐμοὶ δεδογμένων,*

---

798—810 ab hac fabula alienos putat H. Hirzel (807—10 damnat L. Dindorf) 798 *ζῆν S*] *ζῆν ἔτι r* | *γρ. δὲ καὶ οὔτε μοι πατήρ* $a^1$ in marg. 799 *γρ. ἀπαλλαγή* superscr. $a^1 b$ 802 *τίσει*] *δώσει S* 804 *νεόζυγος* Blaydes („aeque bene legeretur *νεοζυγοῦς* aut *νεόζυγος*" Elmsley) 805 *παῖδ' B γρ. δας* superscr. *b*] *σπέρμ'* F. Gu. Schmidt | *κακὴν κακῶς* $Eab^s$] *κακῶς κακὴν r* 808 *τόπου L* 811 *ἐκοινώσω E* 813 *συλλαμβάνουσα* (ξ sup. σ scr. m. 1) *E* 814 *σοὶ Sab*] *σοὶ E* sup. *οἱ* scr. *ὲ* $E^1$ *σὺ B σὲ* $a^s$ | *συγγνώμη B* sup. *υ* scr. *οἱ* $B^1$ *συγγνώμην E* 815 *πάσχουσαν B σῃ* sup. *σαν* scr. *b* 816 *σὸν σπέρμα S*] *σὼ* (sup. ω ˜ eras.) *παῖδε* (αἶ ex ἁι corr. m. 1) *B σὼ* (ω ex ου corr. m. 1) *παῖδε E σὼ παῖδε* $a^2$ *σὸν παῖδα a* 817 *δηχθείη B ει* sup. *δηχ* scr. *b* 818 *γένοιό γ'*] *γένοι' B γύναι* $Lb^s$ 819 *περὶ σοὶ E περισσοὶ* in marg. scr. m. rec. | *οὑν μέσῳ E*] *ούμμέσω B ὀύμμέσωι a οἱ* sup. *ὀύ* scr. $a^2$ *ὀύμέσω P υν* sup. *ὑμ* scr. *p ο** μέσω L ὀὶν μέσω l ὀύν* superscr. *l* 820 *εἷα S*] *εἶα r* 822 *λέξῃς* Elmsley] *λέξεις* libri

*εἴπερ φρονεῖς εὖ δεσπόταις γυνή τ' ἔφυς.*

*ΧΟ.* *Ἐρεχθεῖδαι τὸ παλαιὸν ὄλβιοι* stroph.
*καὶ θεῶν παῖδες μακάρων ἱερᾶς*
*χώρας ἀπορθήτου τ' ἀποφερβόμενοι*
*κλεινοτάταν φορβάν, αἰεὶ διὰ λαμπροτάτου*
*βαίνοντες ἁβρῶς αἰθέρος, ἔνθα ποθ' ἁγνὰς*
*ἐννέα Πιερίδας Μούσας λέγουσι*
*ξανθὰν Ἁρμονίαν φυτεῦσαι·*

*τοῦ καλλινάου τ' ἀπὸ Κηφισοῦ ῥοὰς* antistr.
*τὰν Κύπριν κλῄζουσιν ἀφυσσαμέναν*
*χώραν καταπνεῦσαι μετρίας ἀνέμων*
*ἡδυπνόους αὔρας· αἰεὶ δ' ἐπιβαλλομέναν*
*χαίταισιν εὐώδη ῥοδέων πλόκον ἀνθέων*
*τᾷ σοφίᾳ παρέδρους πέμπειν ἔρωτας,*
*παντοίας ἀρετᾶς ξυνεργούς.*

*πῶς οὖν ἱερῶν ποταμῶν* stroph.
*ἢ πόλις ἢ φίλων*
*πόμπιμός σε χώρα*
*τὰν παιδολέτειραν ἕξει,*
*τὰν οὐχ ὁσίαν μετ' ἄλλων;*
*σκέψαι τεκέων πλαγάν,*
*σκέψαι φόνον οἷον ἀρῇ.*

---

824 *Ἐρεχθεῖδαι* Elmsley] *ἐρεχθεῖδαι* libri 826 *τ' ἄπο, φερβόμενοι a*[2] cum schol. 827 sq. *φορβάν* scripsi] *σοφίαν* libri, cfr. Suppl. 31 | *αἰεὶ Pl*] *ἀεὶ r* 830 *ἔνθ' ἄποθ' E* 831 *λέγουσι μούσας Pl* 835 *τοῦ* del. *l* | *ἀπὸ*] *ἐπὶ* S*b*[s] | *κηφισσοῦ EP* | *ῥοαῖς* (superscr. al. m.) *E*] *ῥοαῖς a ὢν* sup. *αἷς* scr. *a*[2] *ῥοαῖς r* 836 *κληΐζουσιν BE* | *ἀφυσσαμέναν BaP*] *ἀφυσαμέναν r* (*ἀφυσαμένην* in marg. *L*) 837 inter *χώραν* et *καταπνεῦσαι* quaedam excidisse suspicatur Kirchhoff *χώραν τε κηπεύειν καταπνεῖν τ' ἀνέμων* Barthold *μετρίας* explicandi causa super *ἡδυπνόους* scriptum fuisse ratus (*χώραν κατάρδειν καὶ καταπνεῖν ἀνέμων* ego coniciebam) 840 *ἡδυπνόους S*] om. *r* (post *αὔρας* add. *b*) | *αἰεὶ l* in ras.] *ἀεὶ* (*ε* ex al. litera corr. m. 1) *E* *ἀεὶ r* 841 *ῥοδίων B* corr. *B*[1] 845 *ἀρετὰς S* 847 *ἢ πόλις ἢ φίλων S*] *ἢ φίλων ἢ πόλις r* | *ἢ πόλις*] *ἡ πόλις b* 848 *πόμπιμον bla*[2] *χώραν B ν* del. *b* 850 *μετ' ἄλλων*] *μεθ' ἁγνῶν* Elmsley 852 *ἀρῇ* scripsi (Porson et *αἱρεῖ* et *αἴρει* proponebat)] *αἱρῇ* libri

*μή, πρὸς γονάτων σε πάντως*
*πάντῃ θ' ἱκετεύομεν,*
*τέκνα φονεύσῃς.*

*πόθεν θράσος ἢ φρεσὶν ἢ* antistr.
*χειρὶ τέκνων σέθεν*
*καρδίᾳ τε λήψῃ*
*δεινὰν προσάγουσα τόλμαν;*
*πῶς δ' ὄμματα προσβαλοῦσα*
*τέκνοις ἄδακρυν μοῖραν*
*σχήσεις φόνου; οὐ δυνάσῃ,*
*παίδων ἱκετᾶν πιτνόντων,*
*τέγξαι χέρα φοινίαν*
*τλάμονι θυμῷ.*

ΙΑΣΩΝ.

*ἥκω κελευσθείς· καὶ γὰρ οὖσα δυσμενὴς*
*οὔ τἂν ἁμάρτοις τοῦδέ γ', ἀλλ' ἀκούσομαι*
*τί χρῆμα βούλει καινὸν ἐξ ἐμοῦ, γύναι.*
*ΜΗ.* *Ἰᾶσον, αἰτοῦμαί σε τῶν εἰρημένων*
*συγγνώμον' εἶναι· τὰς δ' ἐμὰς ὀργὰς φέρειν*
*εἰκός σ', ἐπεὶ νῷν πόλλ' ὑπείργασται φίλα.*
*ἐγὼ δ' ἐμαυτῇ διὰ λόγων ἀφικόμην*
*κἀλοιδόρησα· σχετλία, τί μαίνομαι*
*καὶ δυσμεναίνω τοῖσι βουλεύουσιν εὖ,*
*ἐχθρὰ δὲ γαίας κοιράνοις καθίσταμαι*
*πόσει θ', ὃς ἡμῖν δρᾷ τὰ συμφορώτατα,*

---

853 sq. *πάντως πάντῃ θ'* Verrall] *πάντως πάντες BEa*, *πάντες πάντως S*, sed *πάντως πάντες l* *πάντως πάντῃ σ'* Nauck *πάντῃ πάντως* Herwerden 855 *φονεύσῃς* Brunck] *μὴ φονεύσῃς* libri 856 *πόθεν*] *πῶς δὲ l* | *φρεσὶν* Beck] *φρενὸς* libri 858 *τε λήψῃ*] *σὺ λήψῃ* Kayser, fort. *πεπάσῃ* 859 *προσάγουσαν B* corr. b 860 *ὄμματα ESb*] *ὄμμα E*[1]*r* (*ὄμματ* ͣ *E* *α* superscriptum eras. et *τ* in *π* mut. *E*[1]) | *προσλαβοῦσα B* *γρ. βαλοῦσα* superscr. *b* *προβαλοῦσα S* *προσβαλοῦσα l* 862 *φόνου BE*] *φόνον rb* *ω* sup. *ου* scr. *b* *φόνῳ* cum sequentibus coniungit ed. Brubach. | *οὐ*] *ἦ* Musgrave | *δυνάσῃ BEa*[1]] *δυνήσῃ Sab*[s]] 863 *ἱκέταν B* corr. *b* | *πιτνόντων BS*] *πιτνώντων rb*[s] 864 *χέρα l*] *χεῖρα r* (*ει* rescr. *b*) | *φοινίαν l*] *φοίνιον L* *φονίαν BEa* *φόνιον Pb*[s] 865 *τλάμονι S*] *τλήμονι r* 867 *οὔ τἂν* Porson] *οὐκ ἂν* libri | *ἁμάρτῃς S* | *τοῦδέ γ' S* et Christ. pat. 1988] *τοῦδε τ' Ea* *τοῦδ' ἔτ' B* 869 *ἰάσων B* corr. *b* 871 *εἰκός γ' S* | *νῷν S*] *νῶϊν r* 874 *βουλεύσασιν P* 876 **μῖν B* *ἡμῖν B*[1]

      ὄψιν τέρειναν τήνδ' ἔπλησα δακρύων.
*ΧΟ.* κἀμοὶ κατ' ὄσσων χλωρὸν ὡρμήθη δάκρυ·
      καὶ μὴ προβαίη μεῖζον ἢ τὰ νῦν κακόν.
*ΙΑ.* αἰνῶ, γύναι, τάδ', οὐδ' ἐκεῖνα μέμφομαι·
      εἰκὸς γὰρ ὀργὰς θῆλυ ποιεῖσθαι γένος
      γάμους παρεμπολῶντος ἀλλοίους πόσει.
      ἀλλ' ἐς τὸ λῷον σὸν μεθέστηκεν κέαρ,
      ἔγνως δὲ τὴν νικῶσαν ἀλλὰ τῷ χρόνῳ
      βουλήν· γυναικὸς ἔργα ταῦτα σώφρονος.
      ὑμῖν δέ, παῖδες, οὐκ ἀφροντίστως πατὴρ
      πολλὴν ἔθηκε σὺν θεοῖς προμηθίαν·
      οἶμαι γὰρ ὑμᾶς τῆσδε γῆς Κορινθίας
      τὰ πρῶτ' ἔσεσθαι σὺν κασιγνήτοις ἔτι.
      ἀλλ' αὐξάνεσθε· τἄλλα δ' ἐξεργάζεται
      πατήρ τε καὶ θεῶν ὅστις ἐστὶν εὐμενής·
      ἴδοιμι δ' ὑμᾶς εὐτραφεῖς ἥβης τέλος
      μολόντας, ἐχθρῶν τῶν ἐμῶν ὑπερτέρους.
      αὕτη, τί χλωροῖς δακρύοις τέγγεις κόρας
      [στρέψασα λευκὴν ἔμπαλιν παρηίδα]
      κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον;
*ΜΗ.* οὐδέν· τέκνων τῶνδ' ἐννοουμένη πέρι.
*ΙΑ.* τί δῆτα λίαν τοῖσδ' ἐπιστένεις τέκνοις; 929

905 τέρειναν Barnes] τερείνην *E* τερεινήν *r* 906 χλωρὸν] θερμὸν Chr. pat. 479 | ὡρμήθη *L* 907 μεῖζον] μᾶσσον Cobet | τὰ Elmsley] τὸ libri 908 τάδ'] fort. τόδ' | οὐ* *a* οὐδ' *a*[1] οὐκ *ES*, cfr. Christ. pat. 796 910 γάμου *B* ς add. *B*[1] | παρεμπολῶντι δευτέρους πόσει Heimsoeth ex scholio τῷ ἀνδρὶ ἐμπορευομένῳ δευτέρους γάμους, at hoc ad nihil aliud quam ἀλλοίους pertinere monet Dindorf, fort. παρεμπολῶντι λαθραίους πόσει | ἀλλοίου *B* ς add. *b* | schol.: ἰδίως δὲ εἴρηκε πόσει ἀντὶ τοῦ πόσιος. οἱ δὲ ὑποκριταὶ ἀγνοήσαντες γράφουσιν ἀντὶ τοῦ πόσει ἐμοῦ, ὅπερ οὐ δεῖ 911 μεθέστηκε *B* καθέστηκεν *E* 912 τῷ *Sab*[s]] νῦν *r* σὺν Porson 913 interpolatum censet Lenting 915 προμηθίαν] σωτηρίαν *S* 918 τἄλλα *S*] τάλλα *El* τᾶλλα *r* 919 τε corr. *b* quid *B* scripserit, dubium 920 ἥβης *B* 921 μολῶντας *B* 922 αὔτὴ (' et ` add. *E*] αὐτὴ *r* τί γοῦν Christ. pat. 730 i. e. τί οὖν 923 delevit Hartung, cfr. 1006, 1148 924—27 iterum scripti sunt in imo marg. in *L* 924 ἀσμένη *B* 926—28 post 931 transposuit Th. Ladewig in ordine versuum a libris tradito primus offendit Burges (cf. Aeschyl. Suppl. ed. Burges p. 97) class. journ. 1810 III p. 611, qui 928 post 931 collocari vult 929 δῆτα λίαν *S*] δή, τάλαινα *r* δῆτα λοιπὸν Christ. pat. 737 | τοῖσδ'] τοῖσ *E* τοῖσδ *E*[1] (' post δ minio add.) σοῖς *a*

ΜΗ. ἔτικτον αὐτούς· ζῆν δ' ὅτ' ἐξηύχου τέκνα,
ἐσῆλθέ μ' οἶκτος εἰ γενήσεται τάδε.
ΙΑ. θάρσει νυν· εὖ τὰ τῶνδε θήσεται πατήρ.
ΜΗ. δράσω τάδ'· οὔτοι σοῖς ἀπιστήσω λόγοις·
γυνὴ δὲ θῆλυ κἀπὶ δακρύοις ἔφυ.
ἀλλ' ὧνπερ εἵνεκ' εἰς ἐμοὺς ἥκεις λόγους,
τὰ μὲν λέλεκται, τῶν δ' ἐγὼ μνησθήσομαι.
ἐπεὶ τυράννοις γῆς μ' ἀποστεῖλαι δοκεῖ,
κἀμοὶ τάδ' ἐστὶ λῷστα, γιγνώσκω καλῶς,
μήτ' ἐμποδὼν σοὶ μήτε κοιράνοις χθονὸς
ναίειν· δοκῶ γὰρ δυσμενὴς εἶναι δόμοις·
ἡμεῖς μὲν ἐκ γῆς τῆσδ' ἀπαροῦμεν φυγῇ,
παῖδες δ' ὅπως ἂν ἐκτραφῶσι σῇ χερί,
αἰτοῦ Κρέοντα τήνδε μὴ φεύγειν χθόνα.
ΙΑ. οὐκ οἶδ' ἂν εἰ πείσαιμι, πειρᾶσθαι δὲ χρή.
ΜΗ. σὺ δ' ἀλλὰ σὴν κέλευσον αἰτεῖσθαι πατρὸς
[γυναῖκα παῖδας τήνδε μὴ φεύγειν χθόνα.]
ΙΑ. μάλιστα, καὶ πείσειν γε δοξάζω σφ' ἐγώ.
ΜΗ. εἴπερ γυναικῶν ἐστι τῶν ἄλλων μία.
συλλήψομαι δὲ τοῦδέ σοι κἀγὼ πόνου·
πέμψω γὰρ αὐτῇ δῶρ' ἃ καλλιστεύεται
τῶν νῦν ἐν ἀνθρώποισιν, οἶδ' ἐγώ, πολὺ
[λεπτόν τε πέπλον καὶ πλόκον χρυσήλατον]
παῖδας φέροντας. ἀλλ' ὅσον τάχος χρεὼν

---

930 ζῆν mut. in ζῆν δ' *L* | ἐξηύχου Scaliger] ἐξηύχουν libri 931 τάδε] fort. τόδε 926 νυν *L*] νύν *P* νῦν *r* | εὖ τὰ τῶνδε θήσεται πατήρ (= $\overline{πηρ}$) R. Prinz] εὖ γὰρ τῶνδ' ἐγὼ θήσω πέρι *B* (θήσω in θήσομαι corr. et γρ. θήσω superscr. *b*) *EL* εὖ γὰρ νῦν τῶνδ' ἐγὼ θήσω πέρι *P* εὖ γὰρ τῶνδε θήσομαι πέρι *d* εὖ γὰρ τῶνδε νῦν θήσομαι πέρι *a* θάρσει, γύναι· τὰ τῶνδ' ἐγὼ θήσω καλῶς Stadtmueller 927 οὔτι *S* 928 θῆλυ in ras. *B*[1] θῆλυς *E* | δακρύοις in ras. *B*[1] 932 εἵνεκ'] οὕνεκ' libri (οὕνεκ' *B*) 933 δ' ἐγὼ] δὲ νῦν Herwerden | μνησθήσομαι (γρ. μεμνήσομαι minio superscr.) *E* versum delet Verrall 934 ἀποστέλλειν *S* (ἀποστεῖλαι *l*) 935 γιγνώσκω *Sa*] γινώσκω *r* 938 ἀπαροῦμεν Elmsley] ἀπαίρομεν libri 939 παῖδας δ' Brunck | ἐκτραφῶσιν *E* 942 fort. κέλευε συνδεῖσθαι 943 delevit Barthold (verba τήνδε μὴ φεύγειν e v. 940 huc repetita esse monuit Brunck, cfr. 785, 971) 945 Iasoni tribuunt libri excepto *B* in quo est Medeae, cfr. schol. πάντα σοι πεισθήσεται ἡ Γλαύκη | ἄλλων] πολλῶν Nauck 948 οἶδ' *E* 949 eiecit Bothe, cfr. 786 | τε] δε *E* τ sup. δ scr. al. m. | καὶ πλόκον om. *E* καὶ στέφος add. al. man. in marg. | πλόκον] στέφος *S*

*κόσμον κομίζειν δεῦρο προσπόλων τινά.*
*εὐδαιμονήσει δ' οὐχ ἕν, ἀλλὰ μυρία,*
*ἀνδρός τ' ἀρίσου σοῦ τυχοῦσ' ὁμευνέτου*
*κεκτημένη τε κόσμον ὅν ποθ' Ἥλιος*
*πατρὸς πατὴρ δίδωσιν ἐκγόνοισιν οἷς.*
*λάζυσθε φερνὰς τάσδε, παῖδες, ἐς χέρας*
*καὶ τῇ τυράννῳ μακαρίᾳ νύμφῃ δότε*
*φέροντες· οὔτοι δῶρα μεμπτὰ δέξεται.*
ΙΑ. *τί δ', ὦ ματαία, τῶνδε σὰς κενοῖς χέρας;*
*δοκεῖς σπανίζειν δῶμα βασιλικὸν πέπλων,*
*δοκεῖς δὲ χρυσοῦ; σῷζε, μὴ δίδου τάδε.*
*εἴπερ γὰρ ἡμᾶς ἀξιοῖ λόγου τινὸς*
*γυνή, προθήσει χρημάτων, σάφ' οἶδ' ἐγώ.*
ΜΗ. *μή μοι σύ· πείθειν δῶρα καὶ θεοὺς λόγος·*
*χρυσὸς δὲ κρείσσων μυρίων λόγων βροτοῖς.*
*κείνης ὁ δαίμων, κεῖνα νῦν αὔξει θεός,*
*νέα τυραννεῖ· τῶν δ' ἐμῶν παίδων φυγὰς*
*ψυχῆς ἂν ἀλλαξαίμεθ', οὐ χρυσοῦ μόνον.*
*ἀλλ', ὦ τέκν', εἰσελθόντε πλησίους δόμους*
*πατρὸς νέαν γυναῖκα, δεσπότιν δ' ἐμήν,*
*ἱκετεύετ', ἐξαιτεῖσθε μὴ φεύγειν χθόνα,*
*κόσμον διδόντες· τοῦδε γὰρ μάλιστα δεῖ,*
*ἐς χεῖρ' ἐκείνην δῶρα δέξασθαι τάδε.*
*ἴθ' ὡς τάχιστα· μητρὶ δ' ὧν ἐρᾷ τυχεῖν*
*εὐάγγελοι γένοισθε πράξαντες καλῶς.*

ΧΟ. *νῦν ἐλπίδες οὐκέτι μοι παίδων ζόας,* stroph.
*οὐκέτι· στείχουσι γὰρ ἐς φόνον ἤδη.*
*δέξεται νύμφα χρυσέων ἀναδεσμᾶν*

---

953 om. *E* in marg. minio add. | *τ' BE*] *γ' S* om. *a* | *σοῦ τυχοῦσ'*] fort. *συντυχοῦσ'* | *ὁμευνέτου BS* (*ὁμευνέτου l*) 955 *πατὴρ πατρὸς S* | *οἷς*] *οἶσι B* | *ἐκγόνοις ἔχειν* (vel *γέρας*) Stadtmueller 956 *χέρα Ba* *ς* add. *b* 957 *τυράννων a* | *νύμφῃ δότε*] *δότε νύμφι*[η] (sic) *E* 958 *οὔτι L* 959 *ματαῖα B* corr. *B*[1] 960 *βασιλικὸν* Wunder] *βασιλείων Pb* *βασίλειον r* 963 *προθήσῃ* superscr. *προτιμη* .. *L* | *ἐγώ*] *ὅτι L* 964 *λόγος*] *ἔπος* vel *φάτις* Sybel 966 *ἄξει E* 968 *ψυχαῖς B* *γρ. ῆς* superscr. *b* 969 *εἰσελθόντες BE* | *πλησίους S*] *πλουσίους rl* 970 *δ'* Elmsley] *τ'* libri 971 *φυγεῖν S* 972 *διδόντες*] *φέροντες L* 973 *ἐκείνης Sb* 976 *ζόας* Porson] *ζωᾶς* libri 977 *εἰς S* | *οἶδε L* *ἤδη l* 978 *ἀναδεσμᾶν* Elmsley] *ἀναδέσμων* libri (*ἀναδεσμῶν* Porson)

δέξεται δύστανος ἄταν·
ξανθᾷ δ' ἀμφὶ κόμᾳ θήσει τὸν Ἅιδα
κόσμον αὐτὰ χεροῖν λαβοῦσα.

πείσει χάρις ἀμβρόσιός τ' αὐγὰ πέπλων antistr.
χρυσότευκτόν τε στέφανον περιθέσθαι·
νερτέροις δ' ἤδη πάρα νυμφοκομῆσαι.
τοῖον εἰς ἕρκος πεσεῖται
καὶ μοῖραν θανάτου δύστανος· ἄταν δ'
οὐχ ὑπὲκ φεύξεται.

σὺ δ', ὦ τάλαν, ὦ κακόνυμφε κηδεμὼν τυράν-
νων, stroph.
παισὶν οὐ κατειδὼς
ὄλεθρον βιοτᾷ προσάγεις ἀλόχῳ
τε σᾷ στυγερὸν θάνατον.
δύστανε, μοίρας ὅσον παροίχῃ.

μεταστένομαι δὲ σὸν ἄλγος, ὦ τάλαινα παίδων antistr.
μᾶτερ, ἃ φονεύσεις
τέκνα νυμφιδίων ἕνεκεν λεχέων,
ἅ σοι προλιπὼν ἀνόμως
ἄλλᾳ ξυνοικεῖ πόσις συνεύνῳ.

---

979 *δύστανος* Aldina *δύστηνος BEa ἁ δύστανος S* 980 *Ἅιδα* Brunck] *ἀΐδα* libri 981 *αὐτὰ Sb*ˢ] *αὐτὴ BE* om. *a* | *χερ* C* unde *χερί* Barthold | *λαβοῦσα* delet Nauck 983 sq. *τ'* om. *Ba* add. *b* | *πέπλων BEal πέπλον Sb*ˢ *πέπλους* Reiske *πέπλον* Elmsley, sed praestare videtur *χρυσοτεύκτου τε στεφάνου* quod proposuit Klotz vel *χρυσότευκτός τε στέφανος* ex coniectura Hermanni | *χρυσότευκτον C*] *χρυσεότευκτον r* | *τε* om. libri, add. Reiske 985 *δ'* om. *BE* | *πάρα νυμφοκομῆσαι* Lehrs (*πάρα νυμφοκομήσει* Aldina)] *παρανυμφοκομήσει BE πάρα* (in L ex *παρὰ*) *νυμφοκοσμήσει Lb παρανυμφοκοσμήσει E*¹*aP* (in *E* minio superscr. *γρ. χωρὶς τοῦ σ̄*) 987 post *θανάτου* nescio quae manus recentior adscripsit *προσλήψεται* in *B* 988 *ὑπεκφεύξεται L*] *ὑπεφεύξεται P ὑπερφεύξεται r* | post *φεύξεται* lacunam indicat Schoene, at vide ad v. 981 993 *ὄλεθρον L*] *ὀλέθριον r* | *βιοτᾷ ab*ˢ] *βιοτὰν ra*² 994 *σὰν L* | *στυγερὸν θάνατον*] *στυγερᾷ στυγερόν E* 996 fort. *καταστένομαι*, cfr. ad. Hec. 214 ubi *κατακλαίομαι* pro *μετακλαίομαι* proposuit Schaefer 998 *φονεύεις B* 999 *νυμφίων* (*δι* minio sup. *φι* scr.) *E* | *εἵνεκε B* 1001 *ἄλλᾳ* Matthiae] *ἄλλῃ* libri

ΠΑΙΔΑΓΩΓΟΣ.

δέσποιν᾽, ἀφεῖνται παῖδες οἵδε σοι φυγῆς,
καὶ δῶρα νύμφη βασιλὶς ἀσμένη χεροῖν
ἐδέξατ᾽· εἰρήνη δὲ τἀκεῖθεν τέκνοις.
ἔα.
τί συγχυθεῖσ᾽ ἕστηκας ἡνίκ᾽ εὐτυχεῖς;
[τί σὴν ἔστρεψας ἔμπαλιν παρηίδα
κοὐκ ἀσμένη τόνδ᾽ ἐξ ἐμοῦ δέχῃ λόγον;]
ΜΗ. αἰαῖ.
ΠΑΙ. τάδ᾽ οὐ ξυνῳδὰ τοῖσιν ἐξηγγελμένοις.
ΜΗ. αἰαῖ μάλ᾽ αὖθις. ΠΑΙ. μῶν τιν᾽ ἀγγέλλων τύχην
οὐκ οἶδα, δόξης δ᾽ ἐσφάλην εὐαγγέλου;
ΜΗ. ἤγγειλας οἶ᾽ ἤγγειλας· οὐ σὲ μέμφομαι.
ΠΑΙ. τί δαὶ κατηφὲς ὄμμα καὶ δακρυρροεῖς;
ΜΗ. πολλή μ᾽ ἀνάγκη, πρέσβυ· ταῦτα γὰρ θεοὶ
κἀγὼ κακῶς φρονοῦσ᾽ ἐμηχανησάμην.
ΠΑΙ. θάρσει· κάτει τοι καὶ σὺ πρὸς τέκνων ἔτι.
ΜΗ. ἄλλους κατάξω πρόσθεν ἡ τάλαιν᾽ ἐγώ.
ΠΑΙ. οὔτοι μόνη σὺ σῶν ἀπεζύγης τέκνων·
κούφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς.
ΜΗ. δράσω τάδ᾽· ἀλλὰ βαῖνε δωμάτων ἔσω
καὶ παισὶ πόρσυν᾽ οἷα χρὴ καθ᾽ ἡμέραν.
ὦ τέκνα τέκνα, σφῷν μὲν ἔστι δὴ πόλις
καὶ δῶμ᾽, ἐν ᾧ λιπόντες ἀθλίαν ἐμὲ

---

1002 ante v. nota παιδγ. in *BS*, πρε. in *r* (cfr. v. 49), 1005, 1009, 1012 etc. παιδγ. in *S*, πρε. in *Ea*, in *B* 1005 πρε. praefixum. quam notam ceteris locis praebeat *B*, mihi non satis constat 1002 σοι scripsi] σοὶ libri 1004 *ακεῖθεν *B* τἀκεῖθεν *B*[1] τὰ κεῖθεν *a* | τέκνοις] δόμοις *C* 1005 ἔα paedagogo tribuit *C*, Medeae ceteri libri | ἕστηκας *Ba* corr. *b* 1006 sq. delevit Valckenaer, cfr. 923 sq. et 1148 | ἔτρεψας *aC* 1008 αἰαῖ] αἲ αἲ *Pa* αἶ αἶ *L* αἲ αἲ αἲ αἲ *B* αἲ αἲ αἲ *E* 1008 ξυνωδᾶ *B* 1009 αἲ αἲ libri (αἶ αἶ *L*) | ἀγγέλλων *Eap*] ἀγγέλων *B* ἀγγέλω *S* 1010 δ᾽ om. *B* add. *b* 1011 οἶ᾽] οἷον *B* οἷα *b* οἷ* corr. in οἶ᾽ *L* 1012 δαὶ *EaLp* (᾽ in *E* minio add.)] δὲ *BP* δ᾽ αὖ Chr. pat. 731 | κατηφὲς Cobet] κατηφεῖς libri | δακρυροεῖς *B* 1015 κάτει Porson] κρατ** *B* κρατεῖς *B*[1]*r* | τέκνων] τὰ τέκν᾽ Kvičala (σὰ τέκν᾽ Barthold), cfr. schol. καὶ γὰρ εἰ φεύγειν μέλλεις, ἀλλ᾽ οὖν τῇ τῶν παίδων ὑποστάσει καὶ ζωῇ πάλιν συμβιώσῃ 1017 σῶν] τῶνδ᾽ *E* 1018 χρὴ] δεῖ *E* 1019 ἄλλα *B* 1020 καθημέραν *BE* 1021 lineola praefixa in *L* | ἔστι δὴ] ἔστιν ἡ *E*

*οἰκήσετ' αἰεὶ μητρὸς ἐστερημένοι·*
*ἐγὼ δ' ἐς ἄλλην γαῖαν εἶμι δὴ φυγάς,*
*πρὶν σφῷν ὄνασθαι κἀπιδεῖν εὐδαίμονας,*
*πρὶν λουτρὰ καὶ γυναῖκα καὶ γαμηλίους*
*εὐνὰς ἀγῆλαι λαμπάδας τ' ἀνασχεθεῖν.*
*ὢ δυστάλαινα τῆς ἐμῆς αὐθαδίας.*
*ἄλλως ἄρ' ὑμᾶς, ὦ τέκν', ἐξεθρεψάμην,*
*ἄλλως δ' ἐμόχθουν καὶ κατεξάνθην πόνοις,*
*στερρὰς ἐνεγκοῦσ' ἐν τόκοις ἀλγηδόνας.*
*ἦ μήν ποθ' ἡ δύστηνος εἶχον ἐλπίδας*
*πολλὰς ἐν ὑμῖν γηροβοσκήσειν τ' ἐμὲ*
*καὶ κατθανοῦσαν χερσὶν εὖ περιστελεῖν,*
*ζηλωτὸν ἀνθρώποισι· νῦν δ' ὄλωλε δὴ*
*γλυκεῖα φροντίς. σφῷν γὰρ ἐστερημένη*
*λυπρὸν διάξω βίοτον ἀλγεινόν τ' ἐμοί.*
*ὑμεῖς δὲ μητέρ' οὐκέτ' ὄμμασιν φίλοις*
*ὄψεσθ', ἐς ἄλλο σχῆμ' ἀποστάντες βίου.*
*φεῦ φεῦ· τί προσδέρκεσθέ μ' ὄμμασιν, τέκνα;*
*τί προσγελᾶτε τὸν πανύστατον γέλων;*
*αἰαῖ· τί δράσω; καρδία γὰρ οἴχεται,*
*γυναῖκες, ὄμμα φαιδρὸν ὡς εἶδον τέκνων.*
*οὐκ ἂν δυναίμην· χαιρέτω βουλεύματα*
*[τὰ πρόσθεν· ἄξω παῖδας ἐκ γαίας ἐμούς].*
*τί δεῖ με πατέρα τῶνδε τοῖς τούτων κακοῖς*
*λυποῦσαν αὐτὴν δὶς τόσα κτᾶσθαι κακά;*
*οὐ δῆτ' ἔγωγε. χαιρέτω βουλεύματα.*

---

1023 *αἰεὶ Sa*] *ἀεὶ r* 1026 *λουτρὰ* Burges] *λέκτρα* libri. *λέκτρ' ἀγῆλαι* (deletis verbis *καὶ γυναῖκα καὶ γαμηλίους εὐνὰς*) Bothe 1027 *ἀνασχεθεῖν BE*] *ἀνασχέθειν rb* | post 1027 unius versus spatium vacuum, in quo minio scr. ⩯⩯⩯ *E* 1030 delet ut ex Tro. 760 repetitum Osann, cum versum Troadum delere maluerit Valckenaer | *δ'* eras. in *L* 1031 *στερὰς B* 1032 sq. fort. *ἐλπίδα πολλὴν* 1035 ***λωλε B δ' ὄλωλε B*[1] | *δὴν B* 1037 *ἐμοί*] *ἀεί* (cfr. Christ. pat. 785 *διάξω λυπρὸν εἰς μακρὸν βίον*) vel *ἐγώ* F. Guil. Schmidt 1038 *ὄμμασι BE* 1040 *προσδέρκεσθέ μ' ESa*[2]] *προσδέρκεσθ' ἐμ' a προσδέρκεσθ' B* | *ὄμμασι BE* | *τέκνα Sa*] *φίλοις r* (superscr. *l*) 1042 *αἲ αἲ* libri (*αἶ αἶ L*) 1043 *φαιδρὸν*] *τερπνὸν aC* 1045 delevit olim Nauck 1046 *δεῖ*] fort. *χρή* | *με* om. *E* 1048 *γρ. δὲ καὶ παύομαι βουλευμάτων* schol. in *a* | *βουλεύματα*] fort. *τολμήματα*, cfr. Or. 1064, nisi v. 1044 spurius

*καίτοι τί πάσχω; βούλομαι γέλωτ' ὀφλεῖν*
*ἐχθροὺς μεθεῖσα τοὺς ἐμοὺς ἀζημίους;*
*τολμητέον τάδ'. ἀλλὰ τῆς ἐμῆς κάκης,*
*τὸ καὶ προσέσθαι μαλθακοὺς λόγους φρενί.*
*χωρεῖτε, παῖδες, ἐς δόμους. ὅτῳ δὲ μὴ*
*θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν,*
*αὐτῷ μελήσει· χεῖρα δ' οὐ διαφθερῶ.*
*ἆ ἆ.*
*μὴ δῆτα, θυμέ, μὴ σύ γ' ἐργάσῃ τάδε·*
*ἔασον αὐτούς, ὦ τάλαν, φεῖσαι τέκνων·*
*καὶ μὴ μεθ' ἡμῶν ζῶντες εὐφρανοῦσί με.*
*μὰ τοὺς παρ' Ἅιδῃ νερτέρους ἀλάστορας,*
*οὔτοι ποτ' ἔσται τοῦθ' ὅπως ἐχθροῖς ἐγὼ*
*παῖδας παρήσω τοὺς ἐμοὺς καθυβρίσαι.*
[*πάντως σφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρή,*
*ἡμεῖς κτενοῦμεν οἵπερ ἐξεφύσαμεν.*]
*πάντως πέπρωται ταῦτα κοὐκ ἐκφεύξεται·*
*καὶ δὴ 'πὶ κρατὶ στέφανος, ἐν πέπλοισι δὲ*
*νύμφη τύραννος ὄλλυται, σάφ' οἶδ' ἐγώ.*
*ἀλλ' εἶμι γὰρ δὴ τλημονεστάτην ὁδὸν*
[*καὶ τούσδε πέμψω τλημονεστέραν ἔτι*],
*παῖδας προσειπεῖν βούλομαι. δότ', ὦ τέκνα,*
*δότ' ἀσπάσασθαι μητρὶ δεξιὰν χέρα.*
*ὦ φιλτάτη χείρ, φίλτατον δέ μοι κάρα*
*καὶ σχῆμα καὶ πρόσωπον εὐγενὲς τέκνων,*
*εὐδαιμονοίτην ἀλλ' ἐκεῖ· τὸ δ' ἐνθάδε*

---

1049 *ὀφλεῖν* Elmsley] *ὄφλειν* libri 1052 *προσέσθαι* Badham] *προέσθαι* libri | *φρενί* *S* (cum schol. in *BE*)] *φρενός rl* 1054 *θύμασιν S*] *δώμασιν rl* 1056—80 ut variationem praecedentium ablegat Bergk, cfr. 1053 cum 1069 sqq. 1056 *ἆ ἆ* (*ὦ ὦ* minio superscr.) *E* | *μὴ σύ γ' S*] *μήποτ' r* | *τάδε Sab*[s]] *τόδε r* 1058 *καὶ μὴ* Barthold] *ἐκεῖ* libri | *με B*] *σε r* 1059 *ᾅδῃ Ba*] *ᾅδην rb*[s] 1060 *ποτ'*] *πόθ' B* *γρ. πῶς b*[s] *θ'* (*πο* minio superscr.) *E* | *τοῦθ'*] *τόδ' B γρ. τοῦτ' ὁ b*[s] 1062. 63 e 1240. 41 huc invectos esse intellexit Pierson 1063 *κτενοῦμεν E*[1]*S*] *κτ*νοῦμεν E κτανοῦμεν r* 1064 *πέπρωται Lb*[s]] *πέπρακται r* 1065 *δὲ*] *τε S* 1067 *γὰρ δὴ τλημονεστάτην*] *νῦν τληπαθεστάτην* Etym. m. cod. Flor. in Miller. mélanges de litt. grecque p. 247 1068 seclusit Pierson 1070 *ἀσπάσασθε B* | *μητρὶ B τε* sup. *ι* scr. et ` in ´ mut. *b* 1071 *κάρα*] *στόμα S* et Christ. pat. 1322 1073 *εὐδαιμονοίτην* Elmsley] *εὐδαιμονοῖτον* libri | *τὸ δ'* Herwerden] *τὰ δ'* libri (*τάδ' B τὰ δ' b*)

*εἴθ' ἡδὺ βροτοῖς εἴτ' ἀνιαρὸν*
*παῖδες τελέθουσ' οὐχὶ τυχόντες*
*πολλῶν μόχθων ἀπέχονται·*
*οἷσι δὲ τέκνων ἔστιν ἐν οἴκοις*
*γλυκερὸν βλάστημ', ἐσορῶ μελέτῃ*
*κατατρυχομένους τὸν ἅπαντα χρόνον,*
*πρῶτον μὲν ὅπως θρέψουσι καλῶς*
*βίοτόν θ' ὁπόθεν λείψουσι τέκνοις·*
*ἔτι δ' ἐκ τούτων εἴτ' ἐπὶ φλαύροις*
*εἴτ' ἐπὶ χρηστοῖς*
*μοχθοῦσι, τόδ' ἐστὶν ἄδηλον.*
*ἓν δὲ τὸ πάντων λοίσθιον ἤδη*
*πᾶσιν κατερῶ θνητοῖσι κακόν·*
*καὶ δὴ γὰρ ἅλις βίοτόν θ' ηὗρον*
*σῶμά τ' ἐς ἥβην ἤλυθε τέκνων*
*χρηστοί τ' ἐγένοντ'· εἰ δὲ κυρήσαι*
*δαίμων οὗτος, φροῦδος ἐς Ἅιδην*
*θάνατος προφέρων σώματα τέκνων.*
*πῶς οὖν λύει πρὸς τοῖς ἄλλοις*
*τήνδ' ἔτι λύπην ἀνιαροτάτην*
*παίδων ἕνεκεν*
*θνητοῖσι θεοὺς ἐπιβάλλειν;*

*ΜΗ.* *φίλαι, πάλαι τοι προσμένουσα τὴν τύχην*

---

libri (τ' in ras. scr. *l*) *γὰρ* Barthold | *ἀπειροσύνην*] *ἀπειροσύναν* (*αν* compendio scr.) *B* *αν* sup. *αν* scr. *b* *ἀπειροσύναν r* | *διαπειροσύνης* D. Bernardakis 1096 *οὐχὶ*] *οὐχ οἱ EP* | *τυχόντες a* *μαθόντες* superscr. *a*² 1098 *οἷσι BL*] *οἷσιν r* 1099 *ἐσορῶ Sb*¹] *ὁρῶ r* 1101 *ὅπως*] *ὅπως ἂν S* (*ἂν* del. *l*) | *θρέψουσι* Brunck] *θρέψωσι* libri 1102 *βίον θ' B* corr. *b* 1003 sq. *εἴτ' ἐπὶ χρηστοῖς εἴτ' ἐπὶ φλαύροις L*, sed *χρηστοῖς* et *φλαύροις* in erasis scripta sunt (habuerat scilicet eadem quae ceteri) | *φλαύροις*] *φαύλοις El* 1106 *πᾶσιν a*] *πᾶσι r* | *κακόν Sa*] *κακῶν* (*ὀν* sup. *ῶν* scr. m. 1) *E* *κακῶν Ba*² 1107 *βίοτόν θ' Lb*] *βίοτον r* *βιοτὴν* Lenting | *εὗρον* libri 1108 *σώματ' ES* (*σῶμα τ' l*) | *ἦλθε S* (*ἤλυθε l*) 1109 *κυρήσαι b*³] *κυρῆσαι Ea* et mut. ab alia manu in *κυρήσει L* (*ἐντύχῃ* superscr. *l*) *κυρήσας B* *κυρήσει τύχῃ συμβαίη P* | *εἰ δὲ κυρήσει δαίμων ὀλοός* (vel *ὠμός*), *φροῦδος κτέ.* R. Prinz, fort. *εἰ δὲ κυρήσαι, δαίμων οὗτος φροῦδος ἐς Ἅιδην θαλερῶν* (*θαλερῶν* proposuit F. Gu. Schmidt) *προφέρων σώματα τέκνων* | *οὗτος BEaPl*] *οὕτω L* *γρ. οὕτως b*³ | *ἐς Pl*] *εἰς r* | *Ἅιδην* Elmsley] *ἀΐδην BEa* *ἀΐδαν S* *Ἅιδου* Earle, cfr. Tro. 442 1113 *ἔτι ELb*¹] *ἐπὶ r* 1114 *ἕνεκε B* *ἕνεκ* L* *εν* sup. *κ* scr. *l* 1116 *τοι*] *δὴ a* (Elmsley)

*καραδοκῶ τἀκεῖθεν οἷ 'ποβήσεται.*
*καὶ δὴ δέδορκα τόνδε τῶν Ἰάσονος*
*στείχοντ' ὀπαδῶν· πνεῦμα δ' ἠρεθισμένον*
*δείκνυσιν ὥς τι καινὸν ἀγγελεῖ κακόν.*

ΑΓΓΕΛΟΣ.

*[ὦ δεινὸν ἔργον παρανόμως εἰργασμένη,]*
*Μήδεια, φεῦγε φεῦγε, μήτε ναΐαν*
*λιποῦσ' ἀπήνην μήτ' ὄχον πεδοστιβῆ.*
*ΜΗ. τί δ' ἄξιόν μοι τῆσδε τυγχάνει φυγῆς;*
*ΑΓΓ. ὄλωλεν ἡ τύραννος ἀρτίως κόρη*
*Κρέων θ' ὁ φύσας φαρμάκων τῶν σῶν ὕπο.*
*ΜΗ. κάλλιστον εἶπας μῦθον, ἐν δ' εὐεργέταις*
*τὸ λοιπὸν ἤδη καὶ φίλοις ἐμοῖς ἔσῃ.*
*ΑΓΓ. τί φής; φρονεῖς μὲν ὀρθὰ κοὐ μαίνῃ, γύναι,*
*ἥτις τυράννων ἑστίαν ᾐκισμένην*
*χαίρεις κλύουσα κοὐ φοβῇ τὰ τοιάδε;*
*ΜΗ. ἔχω τι κἀγὼ τοῖσδε σοῖς ἐναντίον*
*λόγοισιν εἰπεῖν· ἀλλὰ μὴ σπέρχου, φίλος,*
*λέξον δ' ὅπως ὤλοντο· δὶς τόσον γὰρ ἂν*
*τέρψειας ἡμᾶς, εἰ τεθνᾶσι παγκάκως.*
*ΑΓΓ. ἐπεὶ τέκνων σῶν ἦλθε δίπτυχος γονὴ*
*σὺν πατρὶ καὶ παρῆλθε νυμφικοὺς δόμους,*
*ἥσθημεν οἵπερ σοῖς ἐκάμνομεν κακοῖς*
*δμῶες· δι' οἴκων δ' εὐθὺς ἦν πολὺς λόγος*

---

1117 *τἀ'κεῖθεν B τὰ κεῖθεν a* fort. recte | *οἷ*] *ἢ* i. e. *ᾗ C* | *'ποβήσεται* Lenting] *'προβήσεται a προβήσεται r* 1118 *καὶ δή*] *καίτοι S* | *τῶν ab*' cum Chr. pat. 125] *τὸν r* 1119 *ὀπαδῶν b*[a] cum Chr. pat. 125] *ὀπαδόν r* | *πνεῦμα δ'* Hermann] *πνεῦμα τ'* libri (*πνεύματ' C*) 1120 *δείκνυσιν Ea*] *δείκνυσι δ' r* | *κακόν* suspectum, *παρών* Chr. pat. 127 *ἀγγελοῦντ' ἔπος* Nauck *ἀγγελεῖ κλύειν* Stadtmueller 1121 om. *Ca* marg. adscr. *a*[3] damnavit Lenting | *ἀγγ. S*] *θεράπων* (compendio scriptum) *r* fort. rectius, cfr. 1119 et 1139, eaedem notae 1125. 1129. 1136 | *παρανόμως τ' Ba* | *εἰργασμένον B* corr. *b* 1122 fort. *ναῖον* 1126 *θ'*] *δ' B* 1127 *εὐεργέτης* ut. vid. corr. in *εὐεργέταις L* 1129 *φῇς B* | *μὲν*] fort. *ἐς*, cfr. Soph. frg. 555 1130 *τυράννων B* ' sup. *υ* et *ον* sup. *ων* scr. *b* | *ἑστίαν S*] *οἰκίαν r* | *ᾐκισμένη ES* (in *E ην* sup. *νη* minio scr.) 1132 *τοῖσδε* Lascaris] *τοῖς γε* libri (*τοῖσι C*) 1134 *δ' ὅπως*] *δὲ πῶς S* 1135 *τέρψειαν B ας* sup. *αν* scr. *b* 1137 *καὶ παρῆλθε*] *δῶρ' ἔχοντε* Stadtmueller (*ἔχουσα* mavult Barthold) 1138 *ἤσθημεν B* corr. *b* 1139 *οἴκων* Weil ex schol. *πολὺς ἦν ὁ λόγος κατὰ τὴν οἰκίαν διαλελύσθαι ὑμᾶς*] *ὤτων* libri | *πολὺς* om. *a*

σὲ καὶ πόσιν σὸν νεῖκος ἐσπεῖσθαι τὸ πρίν.
κυνεῖ δ' ὃ μέν τις χεῖρ', ὃ δὲ ξανθὸν κάρα
παίδων· ἐγὼ δὲ καὐτὸς ἡδονῆς ὕπο
στέγας γυναικῶν σὺν τέκνοις ἅμ' ἑσπόμην.
δέσποινα δ' ἣν νῦν ἀντὶ σοῦ θαυμάζομεν,
πρὶν μὲν τέκνων σῶν εἰσιδεῖν ξυνωρίδα,
πρόθυμον εἶχ' ὀφθαλμὸν εἰς Ἰάσονα·
ἔπειτα μέντοι προυκαλύψατ' ὄμματα
λευκήν τ' ἀπέστρεψ' ἔμπαλιν παρηίδα,
παίδων μυσαχθεῖσ' εἰσόδους· πόσις δὲ σὸς
ὀργὰς ἀφῄρει καὶ χόλον νεάνιδος
λέγων τάδ'· οὐ μὴ δυσμενὴς ἔσῃ φίλοις,
παύσῃ δὲ θυμοῦ καὶ πάλιν στρέψεις κάρα,
φίλους νομίζουσ' οὕσπερ ἂν πόσις σέθεν,
δέξῃ δὲ δῶρα καὶ παραιτήσῃ πατρὸς
φυγὰς ἀφεῖναι παισὶ τοῖσδ' ἐμὴν χάριν;
ἡ δ' ὡς ἐσεῖδε κόσμον, οὐκ ἠνέσχετο,
ἀλλ' ᾔνεσ' ἀνδρὶ πάντα, καὶ πρὶν ἐκ δόμων
μακρὰν ἀπεῖναι πατέρα καὶ παῖδας σέθεν,
λαβοῦσα πέπλους ποικίλους ἠμπίσχετο,
χρυσοῦν τε θεῖσα στέφανον ἀμφὶ βοστρύχοις
λαμπρῷ κατόπτρῳ σχηματίζεται κόμην,
ἄψυχον εἰκὼ προσγελῶσα σώματος.
κἄπειτ' ἀναστᾶσ' ἐκ θρόνων διέρχεται
στέγας, ἁβρὸν βαίνουσα παλλεύκῳ ποδί,
δώροις ὑπερχαίρουσα, πολλὰ πολλάκις
τένοντ' ἐς ὀρθὸν ὄμμασιν σκοπουμένη.

---

1141 *κυνεῖ* Brunck] *κύνει* libri 1143 *ἑσπόμην* *L* 1144 *δέσποινα δ'* ex *δέσποιναν* corr. *B*[1] 1147 *προκαλύψατ'* *B* corr. *b* 1149 *μυσαχθεῖσ* *B* corr. *b* 1150 *ὀργάς τ'* *S* | *χόλον νεάνιδος* *Sa*] *νεάνιδος χόλον* *r* 1151 *οὐ* *BL* *ἔσῃ* om. *L* 1152 *στρέψῃς* *L* 1156 *ὡς* *S*] *ὥς τ'* *E* *ὥστ'* *r* | fort. *οὐ κατέσχετο*, cfr. Soph. O. R. 782 1158 *παῖδας*] *τέκνα* *BE* | *σέθεν* om. *L* add. *l* | „mirari subit Euripidem non potius *πατέρα σὺν τέκνοις σέθεν, τέκνα καὶ πόσιν σέθεν* vel tale quid dedisse quam *πατέρα καὶ παῖδας σέθεν*" Elmsley *πατέρα καὶ τέκν' ἀσμένη* Stadtmueller 1159 *ἠμπίσχετο* *C*] *ἠμπέσχετο* *rC*[2] 1160 *βοστρύχους* *L* 1161 *κόμην* *ESab*] *δέμας* *B* 1162 *εἰκὼ* *Eap*] *εἰκῶ* *ra*[2] | schol. *γράφεται π ρ ο σ β λ έ π ο υ σ α σ ώ μ α τ ο ς* 1164 *κινοῦσα πάλλευκον πόδα* *C*, unde *ἁβρῶς τιθεῖσα πάλλευκον πόδα* Stadtmueller | *παλεύκω* *L* *παυλεύκω* *P* 1166 *ὄμμασιν*] *ὄμμασι* libri

*τοὐνθένδε μέντοι δεινὸν ἦν θέαμ' ἰδεῖν·*
*χροιὰν γὰρ ἀλλάξασα λεχρία πάλιν*
*χωρεῖ τρέμουσα κῶλα καὶ μόλις φθάνει*
*θρόνοισιν ἐμπεσοῦσα μὴ χαμαὶ πεσεῖν.*
*καί τις γεραιὰ προσπόλων δόξασά που*
*ἢ Πανὸς ὀργὰς ἤ τινος θεῶν μολεῖν*
*ἀνωλόλυξε, πρίν γ' ὁρᾷ διὰ στόμα*
*χωροῦντα λευκὸν ἀφρόν, ὀμμάτων τ' ἀπὸ*
*κόρας στρέφουσαν, αἷμά τ' οὐκ ἐνὸν χροΐ·*
*εἶτ' ἀντίμολπον ἧκεν ὀλολυγῆς μέγαν*
*κωκυτόν. εὐθὺς δ' ἡ μὲν ἐς πατρὸς δόμους*
*ὥρμησεν, ἡ δὲ πρὸς τὸν ἀρτίως πόσιν,*
*φράσουσα νύμφης συμφοράς· ἅπασα δὲ*
*στέγη πυκνοῖσιν ἐκτύπει δραμήμασιν.*
*ἤδη δ' ἀνέλκων κῶλον ἐκπλέθρου δρόμου*
*ταχὺς βαδιστὴς τερμόνων ἂν ἥπτετο,*
*ἡ δ' ἐξ ἀναύδου καὶ μύσαντος ὄμματα*
*δεινὸν στενάξασ' ἡ τάλαιν' ἠγείρετο.*
*διπλοῦν γὰρ αὐτῇ πῆμ' ἐπεστρατεύετο·*
*χρυσοῦς μὲν ἀμφὶ κρατὶ κείμενος πλόκος*
*θαυμαστὸν ἵει νᾶμα παμφάγου πυρός,*
*πέπλοι δὲ λεπτοί, σῶν τέκνων δωρήματα,*
*λευκὴν ἔδαπτον σάρκα τῆς δυσδαίμονος.*
*φεύγει δ' ἀνᾴξασ' ἐκ θρόνων πυρουμένη,*
*σείουσα χαίτην κρᾶτά τ' ἄλλοτ' ἄλλοσε,*
*ῥῖψαι θέλουσα στέφανον· ἀλλ' ἀραρότως*

---

1167 *τοὐντεῦθεν μὲν τοι E* | *δεινὸν*] *φρικτὸν* Christ. pat. 1209 cfr. infra 1202  1168 *λεχρίαν B*  1169 *τρέχουσα S*  1173 *ὁρᾶι a ὁρᾶν a*[2] | *διὰ*] *κατὰ S*  1174 *τ' S*] *δ' r* | *ἀπὸ* Heath] *ἄπο* libri (*ἀπο a*), fort. *ὕπο*  1179 *συμφοράν S*  1180 *δραμήμασιν* Cobet] *δρομήμασιν* libri (*δρομήμασι E*), cfr. Or. 1005  1181 *ἐκπλέθρου* Reiske] *ἔκπλεθρον L*, *ἔκπλεθρον r*  1182 *ἂν ἥπτετο* Musgrave] *ἀνθήπτετο* libri  1183 *ὄμματα* Christ. pat. 906 et libri *VB* 1332] *ὄμματος* libri (*σώματος E*)  1184 *ἀπώλλυτο S* (*γρ. ἠγείρετο l* in marg.) cf. v. 227  1185 *ἐπεστρετεύετο S* corr. *p*  1186 *χρυσοὺς EL χρυσοῦς l* | *πλόκος*] *κόσμος B*  1187 *ἵει B*  1188 *δὲ S*] *τε r*  1189 *λευκὴν aC*] *λεπτὴν r*  1190 *ἀνᾴξασ'* scripsi, cfr. Iph. T. 315] *ἀναστᾶσ'* libri (*α* super *σ'* scr. m. 1 in *E*)] | *θρόνων*] *δόμων E*  1191 *σείουσαν B* | *κρᾶτ'* mut. in *κρᾶτά τ' L* | *ἄλλος τ' S ἄλλοτ' L*[1] *ἄλλοττ' P*  1192 *ῥῖψαι G.* H. Schaefer] *ῥίψαι* libri | *ἀρηρότως L*[1] *ἀραρρότως B*

σύνδεσμα χρυσοῦν εἶχε, πῦρ δ', ἐπεὶ κόμην
ἔσειε μᾶλλον, δὶς τόσως ἐλάμπετο.
πίτνει δ' ἐπ' οὖδας συμφορᾷ νικωμένη,
πλὴν τῷ τεκόντι κάρτα δυσμαθὴς ἰδεῖν·
οὔτ' ὀμμάτων γὰρ δῆλος ἦν κατάστασις
οὔτ' εὐφυὲς πρόσωπον, αἷμα δ' ἐξ ἄκρου
ἔσταζε κρατὸς συμπεφυρμένον πυρί,
σάρκες δ' ἀπ' ὀστέων ὥστε πεύκινον δάκρυ
γναθμοῖς ἀδήλοις φαρμάκων ἀπέρρεον,
δεινὸν θέαμα· πᾶσι δ' ἦν φόβος θιγεῖν
νεκροῦ. τύχην γὰρ εἴχομεν διδάσκαλον.
πατὴρ δ' ὁ τλήμων συμφορᾶς ἀγνωσίᾳ
ἄφνω παρελθὼν δῶμα προσπίτνει νεκρῷ·
ᾤμωξε δ' εὐθύς, καὶ περιπτύξας χέρας
κυνεῖ προσαυδῶν τοιάδ'· ὦ δύστηνε παῖ,
τίς σ' ὧδ' ἀτίμως δαιμόνων ἀπώλεσε;
τίς τὸν γέροντα τύμβον ὀρφανὸν σέθεν
τίθησιν; οἴμοι, συνθάνοιμί σοι, τέκνον.
ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο,
χρῄζων γεραιὸν ἐξαναστῆσαι δέμας
προσείχεθ' ὥστε κισσὸς ἔρνεσιν δάφνης
λεπτοῖσι πέπλοις, δεινὰ δ' ἦν παλαίσματα·
ὃ μὲν γὰρ ἤθελ' ἐξαναστῆσαι γόνυ,
ἡ δ' ἀντελάζυτ'. εἰ δὲ πρὸς βίαν ἄγοι,

---

1193 χρυσοῦν Herwerden] χρυσὸς libri | fort. πυρὶ | ἐπὶ B ἐπεὶ B[1] 1194 ἔσειε μᾶλλον scripsi] ἔσεισε, μᾶλλον libri | τόσως L] τόσως τ' E τοσῶς τ' Ba τόσον τ' b[3]a[2] τόσον (om. τ') P | ἐλλάμπετο E ἐθάλπετο Nauck 1195 πίτνει Elmsley] πιτνεῖ BEa πίπτει S | ἐπ' S et Christ. pat. 1089, 2102] ἐς r | οὖδας B 1201 γναθμοῖς ἀδήλων φαρμάκων S (L γναθμοῖς ἀδήλοις φαρμάκων l γναθμ** ἀδήλ** φαρμάκ** P γναθμῶν ἀδήλοις φαρμάκοις p) cfr. schol. γναθμοῖς ἀδήλοις: αἱ δὲ σάρκες τῶν γνάθων κατέρρεον ὑπὸ τῶν ἀδηλοποιῶν φαρμάκων. δοτικὴ δὲ ἀντὶ τῆς γενικῆς. γράφεται ⟨γναθμῶν ἀδήλοις φαρμάκοις⟩ 1202 δεινὸν] φρικτὸν Christ. pat. 1105, 1220 | θίγειν Ba 1205 παρελθὼν Nauck] προσελθὼν libri προσελθὼν σῶμα .. νεκροῦ Stadtmueller | προσπίτνει Elmsley] προσπιτνεῖ Sb[3] προσπίπτει r 1206 χέρας S] δέμας r 1207 κυνεῖ B] κύνει r | τοιάδε E | σὺ B γρ. παῖ b[3] 1208 τίς σ' Lab (vel B[1])] τις δ' E τίς r | ἀπώλεσεν L 1209 ὀρθανὸν E 1212 γηραιὸν B | γρ. πόδα ἢ γόνυ a[1] in marg. 1213 ἔρνεσιν E] ἔρνεσι r 1214 λεπνοῖσι E 1215 ἐξαρασπάσαι vel ἐξαπαλλάξαι Nauck | γόνυ B γρ. δέμας b[3] 1216 ἀντελάζυτ' S et lemma schol.] ἀντελάζετ' rp

σάρκας γεραιὰς ἐσπάρασσ' ἀπ' ὀστέων.
χρόνῳ δ' ἀπέστη καὶ μεθῆχ' ὁ δύσμορος
ψυχήν· κακοῦ γὰρ οὐκέτ' ἦν ὑπέρτερος.
κεῖνται δὲ νεκροὶ παῖς τε καὶ γέρων πατὴρ
πέλας, ποθεινὴ δακρύοισι συμφορά.
καί μοι τὸ μὲν σὸν ἐκποδὼν ἔστω λόγου·
γνώσῃ γὰρ αὐτὴ ζημίας ἀποστροφήν.
τὰ θνητὰ δ' οὐ νῦν πρῶτον ἡγοῦμαι σκιάν,
οὐδ' ἂν τρέσας εἴποιμι τοὺς σοφοὺς βροτῶν
δοκοῦντας εἶναι καὶ μεριμνητὰς λόγων
τούτους μεγίστην μωρίαν ὀφλισκάνειν.
θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων ἀνήρ·
ὄλβου δ' ἐπιρρυέντος εὐτυχέστερος
ἄλλου γένοιτ' ἂν ἄλλος, εὐδαίμων δ' ἂν οὔ.

ΧΟ. ἔοιχ' ὁ δαίμων πολλὰ τῇδ' ἐν ἡμέρᾳ
κακὰ ξυνάπτειν ἐνδίκως Ἰάσονι.
ὦ τλῆμον, ὥς σου συμφορὰς οἰκτείρομεν,
κόρη Κρέοντος, ἥτις εἰς Ἅιδου δόμους
οἴχῃ γάμων ἕκατι τῶν Ἰάσονος.

ΜΗ. φίλαι, δέδοκται τοὔργον ὡς τάχιστά μοι
παῖδας κτανούσῃ τῆσδ' ἀφορμᾶσθαι χθονὸς
καὶ μὴ σχολὴν ἄγουσαν ἐκδοῦναι τέκνα
ἄλλῃ φονεῦσαι δυσμενεστέρᾳ χερί.
πάντως σφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρή,
ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
ἀλλ' εἶ' ὁπλίζου, καρδία. τί μέλλομεν

---

1250 φίλοι τ'.. δυστυχής τ' Elmsley 1251 ἰὼ Ζᾶ Wakefield 1252 ἀκτὶς Ἀλίου] Ἀελίου κύκλος olim Weil | (κατείδετ' εἴδετε Heath, κατείργετ' εἴργετε Reiske) 1255 σᾶς γὰρ χρυσέας ἀπὸ γονᾶς Musgrave, τᾶς σᾶς γὰρ ἀπὸ χρυσέας γονᾶς Seidler, σᾶς γὰρ κἀπὸ χρυσέας γονᾶς Kirchhoff | ἀπὸ delet Hartung 1255 sqq. σᾶς γὰρ ἀπὸ χρυσέας, ἄναξ, ἔβλαστεν γονᾶς, θεῶν δ' αἷμά τοι πιτνεῖν olim Hermann, σᾶς οὖν χρυσέας γονᾶς ἔβλαστεν, θεῶν δ' αἷμ' ἄτῃ πίτνειν Kolster, σᾶς γὰρ χρυσέας ἔβλαστεν γονᾶς· θεῖον δ' αἷμα πίτνειν Heimsoeth 1256 θεῖον δ' αἷμα πίτνειν ex schol. Hartung, θεῶν δ' ἀμφ' αἵματι πίτνειν Schoene, πίτνειν δ' αἷμ' ἄμβροτον olim Weil, θεοῦ vel potius θεῶν δ' αἰδῶ πίτνειν Nauck, θεοῦ δ' αἷμα πίτνειν ⟨νέον⟩ Maehly | αἷμα φθίνειν Musgrave, αἷμα πίτνειν χαμαὶ Hermann 1256 sq. αἷμα πίτνειν φόβος ματέρος ὑπὸ χειρῶν (vel χθόν' ὑπὸ νερτέραν) Stadtmueller 1257 φόβος] φθόνος Paley, ἄγος Heimsoeth | φόβος ⟨χερὸς⟩ ὑπ' ἀνιέρου Kuiper | verba ὑπ' ἀνέρων lacunae explendae causa interpolata iudicat Leo 1259 φονὰν olim Nauck 1259 sq. ἔξελ' οἴκων φόνον..'Ερινύων ἀπ' ἀλαστόρων Badham | φονίαν τάλαινάν τ'] φονῶσαν δεινὰν Kirchhoff, φόνου σταλακτὰν (olim σταλεῖσαν φονίαν) Herwerden, πλανατὰν φονίαν (olim ἀλαίνοντα φονῶντ' Ἐρινῦν ὑπ' ἀλάστορον) Weil, τάλαιναν φονίαν (deleto τ') Bernardakis

1260 τ' delet Kolster | Ἐρινῦν Hartung | ἀπ' ἀλαστόρων olim Elmsley 1261 τέκνων] τόκων Hartung 1262 καὶ μάταν Aldina, μάταν ἄρα Musgrave, μάταν ἄρα Brunck 1265 δείλαιόν τι Musgrave | τί σε φρενῶν olim Hermann | φρενοβαρὴς Seidler, φρένα βαρὺς Hermann, φρενὶ βαρὺς Wolfg. Bauer | φρενῶν delent Kolster et Nauck 1265 sqq. δειλαία, τί σοι φρενῶν δυσμενὴς προσπιτνῶν χόλος χόλον ἀμείβεται; Bothe, δειλαία, τί σοι φρενῶν δυσμενὴς χόλος προσπίτνει, καὶ φόνος ἀμείβεται; Hartung, δειλαία, τί σοι δύσμηνις φρενῶν προσπίτνει χόλος, τὸν φόνος ἀμείβεται; Heimsoeth 1266 καὶ δυσμενὴς] δύσφρων olim Weil | καί σ' ἔτι δυσμενὴς Hermann, δίκας δυσμενὴς Schoene, καὶ δὴ δυσμενὴς Kolster, κἀεὶ δυσμενὴς Leo | δυσσεβὴς Nauck | φόνον supplebat olim Hermann 1266 sq. καὶ ⟨δὶς⟩ δυσμενῆ φόνον ἅμ' αἴρεται Maehly 1267 φόνος ἀμέργεται Nauck, φόνος ἅμ' ἕπεται Verrall 1268 χαλεπὰ] σχέτλια Heimsoeth | γὰρ] τοι Barthold 1269 μιάσματ', ἐπεὶ αἰὲν αὐτοφόνταις σύνοιδα Schrader, μιάσματ' ἐπὶ γαῖαν ἐκχέασιν σύνοιδα Heimsoeth, μιάσμαθ'· ἕπεται δ' ἅμ' αὐτοφόνταις κτέ. Leo,

μιάσματ' ἐπέγειραν αὐτοφόνταις κτέ. Badham, μιάσματ' ἐπέγειρεν αὐτοφόνταις κτέ. Weil, μιάσματ'· ἐπάγει γὰρ (ἐπάγοι δ' ἂν Stadtmueller) αὐτοφόνταις κτέ. Barthold, μιάσματ', ἔτι τ' αἰὲν αὐτοφόνταισιν οἶδα Verrall, μιάσματ' ἐπάγει φοναῖς αὐθένταις ξυνῳδὰ Metzger, μιάσματ' ⏑⏑ αἰάν' αὐτοφόνταις L. Schmidt, fort. μιάσματ' ἐπένειμεν αὐτοένταις κτέ. | ξύνοικα Musgrave, ξυναοιδὰ Hartung 1269 sq. μιάσματ' ἐπιγαῖ', αὐτοφόνταις ξυνῳδ' αὖ θεόθεν πίτνοντ' εἰνὶ δόμοις ἄχη olim Weil, μιάσματ' ἔπι γ' αἰὲν, αὐτοφόνταις . . πίτνει τ' ἐπὶ δόμοις ἄχη Sakorraphos | γαῖαν, αὐτοφόνταις τε ξύνοιδα θεόθεν . . ἐπὶ δόμους ἄχη Hogan

1270 πιτνοῦσ' Brunck, πίτνει τ' coniciebam | ἐπὶ] ἀμφὶ Heimsoeth | ἐπιδρομαῖς ἄχει Bothe 1271 *ΠΑΙΣ.* οἴμοι, τί δράσω; *ΠΑΙΣ.* ποῖ φύγω κτέ. O. Hense | ποῖ] πῇ Dawes 1271 sq. post 1274 collocat, hoc loco *ΠΑΙΔΕΣ.* αἰαῖ αἰαῖ interserens, Schenkl 1276 τέκνοις μοι δοκεῖ Weil, τέκνοις σοι δοκεῖ Earle 1277 sq. inter pueros distribuit Hermann

1280 ἅτις ὧν ἔτεκες τέκνων Bothe | ὧν ἔτεκες delet Porson 1281 μοίρᾳ] τόλμᾳ Nauck | ἔκτανες Mekler 1283 γυναῖκα φιλίας; Heath 1284 sq. delet Nauck 1285 ἐξέμηνε Sakorraphos 1287 δυσσεβῆ . . πόδα Musgrave 1288 sq. delet Verrall 1288 ὑπερβαίνουσα Nauck

1290 τί δέ ποτ' Seidler | ἔτι ⟨τί⟩δεινόν Bernardakis 1291 λέχος] γένος F. Gu. Schmidt | λέχη πολύπονα Bothe | fort. πουλύπονον (et 1280 ὧν) 1295 Μήδεια τοιάδ' Canter, Μήδει' ἔτ' ἐστίν Heimsoeth 1296 δεῖ γάρ νυν Barnes, δεῖ γὰρ πρὶν olim coniciebam | γῆς γε κρυφθῆναι Elmsley, γῆς ὑποκρυφῆναι Wieseler, γῆς καλυφθῆναι Weil, γῆς ἀποκρύψαι Barthold, γῆς κρυφῇ βῆναι Mekler 1297 βάθος] „non male legeretur πτυχάς“ Elmsley 1298 sqq. εἰ μή, τυράννων δῶμαθ' ἵνα δώσει δίκην, πέποιθ' κτέ. Hermann, εἰ μὴ τυράννων δώμασιν δώσειν . . πέποιθ' ἀποκτείνασά τε τυράννους κακῶν Lenting, εἰ μὴ τυράννων δώμασ' οὐ δώσειν δίκην . . κἄθῳος κτέ. Hartung, εἰ μὴ τυράννων μὴ δόμοις δώσειν δίκην πέποιθ' ἀποκτείνασά τε τυράννους κτέ. Kvičala, εἰ μὴ . . δώμασιν . . πέποιθε κἀποκτᾶσα κτέ. Ritschl, εἰ μή τι τολμῶν τῶνδε μὴ δώσειν δίκην πέποιθε καὶ κτείνασα κτέ. Heimsoeth 1299 sq. πέποιθα· ποῦ κτείνασα . . φεύξεται δόμων; Reisig | versus post 1295 collocat Schoene

1302 delet Barthold 1303 ἐγὼ δὲ Wolfg. Bauer 1304 sq. delet Nauck 1305 μήτρωσιν Radermacher 1309 παῖδες σέθεν τεθνᾶσι μητρῴᾳ χερὶ ex schol. (in quo quidem ordo verborum explicatur) Musgrave

1314—16 delet Stadtmueller 1315 sq. ἴδω τοὺς μὲν διπλοῦς κακῶς θανόντας Maehly 1316 καὶ τοὺς θανόντας τῆσδε τίσωμαι φόνῳ Hartung | τούς μοι Schoene | τὴν δὲ τίσωμαι δίκῃ Reiske, ἥν τε τίσομαι φόνῳ Sauppe, τὴν δὲ πινῶσαν φόνῳ Heimsoeth, τὴν δὲ τίσουσαν φόνον Weil, τὴν δὲ τίσουσαν δίκην Wolfg. Bauer, τὴν δὲ λυσσῶσαν φόνῳ Herwerden, τὴν δὲ τρὶς μαιφόνον Bernardakis |- φόνον Brunck | versum delet Schenkl 1317 πύλας] ὀπάς Verrall, πάγας Housman

1326 ἑκοῦσα Hirzel 1327 sq. ἥλιον ἔτι προσβλέπεις, deleto versu proximo, F. Gu. Schmidt

1330 ὅτ' ἔκνομόν σε Verrall 1332 ἥ τ' ἔθρεψέ σε Lenting 1333 τοῖόν σ' Kirchhoff, τοιόνδ' (olim τὸν ἐόν) Nauck, τοσόνδ' Schenkl,

*τότε σὸν* olim coniciebam, *τότ' οὖν* Stadtmueller 1338 *καὶ λέχους*] *νηλεῶς* F. Gu. Schmidt

1346 *τέχνην μιαιφόνε* Verrall

1351 *μακράν γ'* Brunck 1359 *πόρον* Musgrave, *πέτρον* Weil

1362 *σάφ' ἴσθι λύειν ἄλγος* Valckenaer | *λύει*] *μεῖον* F. Gu. Schmidt

1365 *οὔτοι νιν ἡ 'μὴ δεξιά γ' ἀπώλεσεν* Hermann (*δεξιὰ διώλεσεν* Wilamowitz) 1365 sq. delet Lenting 1366 *ἀλλ' ὕβρις ἡ σὴ χοὶ νεοδμῆτες γάμοι* Brunck 1367 *σφ' ἐπηξίωσας* Elmsley, *τέκν' ἠξίωσας* Stadtmueller 1369 *σοὶ δὲ πάντ' ἐστίν, κακή* Verrall

1370 sq. *οἷ δ'* .. *οἷ δ'* F. Gu. Schmidt 1371 *εἰσὶν οὑμοὶ* Hermann, *εἰσὶν εἰσὶ* Koechly 1374 *στυγῇ*] *κνίζῃ* F. Gu. Schmidt post 1375 lacunam statuit Kvíčala 1379 *φέρω σφ'* Barthold

1380 *αὑτοῦ* Verrall 1381 *τύμβον 'ξανασπῶν* J. L. Heiberg, *τύμβων ἀνασπῶν* Barthold | verba *γῇ δὲ τῇδε Σισύφου* et v. 1382 sq. ex priore Medea repetit Wolper 1382 *προστάξομεν* Naber 1387 *κάρα 'πὶ λειψάνῳ* Barthold, *κάρανα λειψάνῳ* Stadtmueller 1388 uncis inclusit Lenting 1388 *πικρὰς τελευτὰς τῶνδε νεογάμων γάμων* Herwerden | *γάμων τίνων* F. Gu. Schmidt 1389 sqq. delet Chr. Baier

1391 sq. verba *θεὸς ἢ δαίμων* fort. delenda concinnitatis causa, verba *καὶ ξειναπάτου* delet Hartung 1395 *δισσῶν ἄμορός γε* Brunck

1396 *μένε γῆρας* Heath, *μένε καὶ γήρασκ'* Porson

1399 (*φίλια χρῄζω σώματα* Brunck)

1413 *φύσας* ⟨*ὁ τάλας*⟩ *ὤφελον* ⟨*ὄσσοις*⟩ Elmsley 1413 sq. *ὤφελον ἐκ σοῦ* Musgrave 1415 sqq. delet Hartung

# EURIPIDIS

# FABULAE

EDIDERUNT

R. PRINZ ET N. WECKLEIN.

VOL. I. PARS II.

## ALCESTIS.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCXCIX.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

# Praefatio editionis primae.

Duarum codicum, quibus Alcestis nobis tradita est, familiarum testes digni, qui adhibeantur, sunt *B* [cod. Vatic. 909] et *S* [cod. archetypus deperditus librorum *L* (cod. Laur. 32, 2) et *P* (cod. Palat. inter Vaticanos 287)].* *B* et *P* excussit Hugo Hinckius, libri *L* collationem debeo liberalitati Hieronymi Vitellii. et Hinckius et Vitellius collationes diligentissime et accuratissime confecerunt. integram scripturae discrepantiam codicis *B* cum legentibus communicavi, codicis *S* omnes, quas indagare potui, lectiones attuli. de fide horum librorum in Alcestide idem statuendum, quod in Medea.

codex *a* (Parisin. 2713) in Alcestide et Andromacha textum a Byzantino grammatico interpolatum praebet ac fere prorsus consentit cum codicibus *d* (Florent. 31, 15) et *c* (Florent. 31, 10), quos passim inspexit Vitellius. grammatici transpositiones verborum, e quibus una (*πατὴρ γέρων* v. 820) usque ad hunc diem editores fefellit, et mutationes temerarias aeque ac librarii errores omnes annotare nefas duxi. hunc codicem et Havniensem (*C*), quem interdum veram lectionem exhibentem commemoravi, ipse contuli.

codicem Harleianum 5743 recentissimum, qui Alcestidis fragmentum, Rhesum, Troades continet, uno, quo intererat, loco (v. 1037) inspexit, qua est comitate, Carolus Dziatzko.

eis, quae in praefatione editionis Medeae de orthographia notavi, addendum est me in Alcestide librorum lectione non commemorata semper *θνῄσκω* pro *θνήσκω*, *οἰκτίρω* pro *οἰκτείρω* scripsisse.**

scr. Vratislaviae m. Octobri a. 1878.

R. Prinz.

* Librum *P* ex ipso *L* non ex communi archetypo derivatum esse, in praefatione Medeae editionis secundae expositum est.

** *οἰκτείρω* propter futurum *οἰκτερῶ* reliqui.

N. W.

# Notarum index.

*B* = cod. Vaticanus 909.
    $B^1$ = manus prima. *b* = manus secunda.

*S* = consensus librorum:
    *L* = cod. Laurentian. 32, 2.
        $L^1$ = manus prima. *l* = manus secunda et tertia.
    *P* = cod. Palatin. 287.
        $P^1$ = manus prima. *p* = manus recentior.

*a* = cod. Parisinus 2713.
    $a^1$ = manus prima. $a^2$ = manus secunda.
    $a^3$ = complures manus recentiores.

*C* = cod. Havniensis 417.
*c* = cod. Laurentianus 31, 10.
*d* = cod. Laurentianus 31, 15.
*r* = reliqui libri (solis *BSa* respectis).
* = litera vel accentus erasus.

# ΕΥΡΙΠΙΔΟΥ

# Α Λ Κ Η Σ Τ Ι Σ.

## Ὑπόθεσις Ἀλκήστιδος Δικαιάρχου.

Ἀπόλλων ᾐτήσατο παρὰ τῶν Μοιρῶν ὅπως ὁ Ἄδμητος τελευτᾶν μέλλων παράσχῃ τὸν ὑπὲρ ἑαυτοῦ ἑκόντα τεθνηξόμενον, ἵνα ἴσον τῷ προτέρῳ χρόνον ζήσῃ. καὶ δὴ Ἄλκηστις, ἡ γυνὴ τοῦ Ἀδμήτου, ἐπέδωκεν ἑαυτήν, οὐδετέρου τῶν γονέων ἐθελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν. μετ' οὐ πολὺ δὲ τῆς συμφορᾶς ταύτης γενομένης Ἡρακλῆς παραγενόμενος καὶ μαθὼν παρά τινος θεράποντος τὰ περὶ τὴν Ἄλκηστιν ἐπορεύθη ἐπὶ τὸν τάφον καὶ τὸν Θάνατον ἀποστῆναι ποιήσας ἐσθῆτι καλύπτει τὴν γυναῖκα, τὸν δὲ Ἄδμητον ἠξίου λαβόντα τηρεῖν. καὶ εἰληφέναι αὐτὴν πάλης ἆθλον ἔλεγε. μὴ βουλομένου δὲ ἐκείνου ἀποκαλύψας ἔδειξεν ἣν ἐπένθει.

## ⟨Ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις.⟩

Ἄλκηστις, ἡ Πελίου θυγάτηρ, ὑπομείνασα ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς τελευτῆσαι, Ἡρακλέους ἐπιδημήσαντος ἐν τῇ Θετταλίᾳ διασῴζεται, βιασαμένου τοὺς χθονίους θεοὺς καὶ ἀφελομένου

Lin. 1 *Δικαιάρχου L*] om. *r* 2 argumentum prius et alterius initium illatum scholiis in Platon. sympos. p. 179 (p. 312 ed. Duebner) et descriptum ab Eudocia p. 21. consentiunt schol. Plat. et Eudocia cum *B* uno loco (lin. 7) excepto | *ὁ* om. *S* 3 *τὸν ὑπὲρ ἑαυτοῦ ἑκόντα*] *τινὰ τὸν ὑπὲρ αὐτοῦ S* | *τεθνηξόμενον*] *ἀποθανεῖν a* 4 *ἴσον Ba* | *χρόνῳ Sa* | *δὴ* om. *S* 5 *τοῦ Ἀδμήτου* om. *S* | *μηδετέρου S* 6 *ἐθελήσαντος S*] *θελήσαντος r* 7 *ταύτης τῆς συμφορᾶς Ba* | *Ἡρακλῆς παραγενόμενος Sa* cum schol. Plat. et Eudocia] om. *B*, qui 8 post *Ἄλκηστιν* inserit *ἐντυχὼν ὁ ἡρακλῆς* 9 *καὶ τὸν*] *καὶ B* 11 *αὐτὴν τηρεῖν Ba* | *καὶ L*] om. *r* | *εἰληφέναι γὰρ Ba* | *ἔλεγεν Pa* 12 *ἀποκαλύψας S*] om. *Ba* 13 om. libri. *ἄλλως* praefixum apud schol. Platonis. Aristophanis grammatici alterum argumentum esse coniecit Wuestemann 14 — p. 4 lin. 14 om. *L*, haec habet *P*: *ἄλκηστις πελίου θυγάτηρ ὑπομείνασα τὸν ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς θάνατον ἐσώθη ἐπιξενωθεῖσα τῷ ἀδμήτῳ* (sequitur personarum index)

τὴν γυναῖκα. παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιία. τὸ δρᾶμα ἐποιήθη ιζ'. ἐδιδάχθη ἐπὶ Γλαυκίνου ἄρχοντος τὸ λ. πρῶτος ἦν Σοφοκλῆς, δεύτερος Εὐριπίδης Κρήσσαις, Ἀλκμέωνι τῷ διὰ Ψωφῖδος, Τηλέφῳ, Ἀλκήστιδι, ⟨τρίτος . .⟩. τὸ δὲ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταστροφήν. ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Φεραῖς, μιᾷ πόλει τῆς Θετταλίας. συνέστηκε δὲ ὁ χορὸς ἔκ τινων πρεσβυτῶν ἐντοπίων, οἳ [καὶ] παραγίνονται συμπαθήσοντες τῇ τῆς Ἀλκήστιδος συμφορᾷ. προλογίζει ὁ Ἀπόλλων. εἰσὶ δὲ χορηγοί.

Τὸ δὲ δρᾶμά ἐστι σατυρικώτερον, ὅτι εἰς χαρὰν καὶ ἡδονὴν καταστρέφει. παρὰ τοῖς τραγικοῖς ἐκβάλλεται ὡς ἀνοίκεια τῆς τραγικῆς ποιήσεως ὅ τε Ὀρέστης καὶ ἡ Ἄλκηστις, ὡς ἐκ συμφορᾶς μὲν ἀρχόμενα, εἰς εὐδαιμονίαν δὲ καὶ χαρὰν λήξαντα, ἅ ἐστι μᾶλλον κωμῳδίας ἐχόμενα.

---

lin. 1 in γυναῖκα desinit Eudocia, in μυθοποιία schol. Plat. | παρ' — καταστροφήν (lin. 5) om. *a* | τὸ δρᾶμα — καταστροφήν om. *C*, solus igitur servavit *B* | δράμα (sic semper) *B* 2 τὸ λ̄ *B*] ὀλυμπιάδος πε' ἔτει δευτέρῳ Dindorf | πρῶτος Dindorf] πρῶτον *B* 3 δεύτερος Dindorf] δεύτερον *B* | Ἀλκμέωνι ex Anecd. Oxon. vol. II p. 337, 4] ἀλκμαίονι *B* 4 διὰ Ψωφῖδος Dindorf] διαψωφίλω *B* | lacunam indicavit Kirchhoff 5 κατασκευὴν *B* καταστρο̄ (i. e. καταστροφήν) suprascr. *B*[1] | ἡ] ἡ μὲν *a* 6 συνέστηκε δὲ ὁ χορός] ὁ δὲ χορὸς συνέστηκεν *a* 7 καὶ delevit E. Schwartz 8 τῇ τῆς . . συμφορᾷ scripsi (τῇ . . συμφορᾷ Nauck)] τῆς . . συμφορᾶς *B* ταῖς . . συμφοραῖς *a* τῆς . . συμφορᾷ *C* 9 ὁ *B*] δὲ *a* | ἀπόλλων *a*] ἥλιος *B* | εἰσιδ' — ἐχόμενα (14) om. *a* | εἰσιδ' ἐχορηγοὶ *B* εἰσὶ δὲ χορηγοί: (spatio vacuo post δὲ relicto) *C* Εἰσίδοτος (i. e. Ἰσίδοτος) ἐχορήγει Dindorf, qui monet haec verba partem didascaliae ideoque post lacunam lin. 4 collocanda esse, Τεισίας ἐχορήγει Bergk 10 sqq. hanc appendicem diversi auctoris esse apparet 11 τοῖς τραγικοῖς] τοῖς κριτικοῖς *G.* Hermann τῶν γραμματικῶν anonymus apud Nauckium, deletis verbis παρὰ τοῖς τραγικοῖς inserit καὶ E. Schwartz, cfr. ad lin. 14 | ἀνοίκεια *C*] ἀνοικείας *B* 13 καταλήξαντα *C* 14 ἅ ἐστι Hermann] ἐστί *B* ἔστι δὲ *C* | post ἐχόμενα addit πολλὰ δὲ τοιαῦτα παρὰ τοῖς τραγικοῖς cl. schol. Or. 1691 E. Schwartz.

## Τὰ τοῦ δράματος πρόσωπα·

Ἀπόλλων.
Θάνατος.
χορός.
θεράπαινα.
Ἄλκηστις.
Ἄδμητος.
Εὔμηλος.
Ἡρακλῆς.
Φέρης.
θεράπων.

*ἐξιὼν ἐκ τοῦ οἴκου τοῦ Ἀδμήτου προλογίζει ὁ Ἀπόλλων ῥητορικῶς.*

---

Personarum index, qualem exhibui, est in *L*, qui *ἀλκήστιδος* post *θεράπαινα* addit] *ἀπόλλων. θάνατος. χορός. θεράπων. ἄλκηστις. ἄδμητος. εὔμηλος. ἡρακλῆς. φέρης* *Ba* (in *a* *φέρης* antecedit *ἡρακλῆς*) *ἀπόλλων. ἡρακλῆς. παῖς ἀλκήστιδος εὔμηλος. χάρων. φέρης. τροφός. θεράπων. ἄλκηστις. χορός. ἄδμητος* *P* verba *ἐξιὼν — ῥητορικῶς* sunt in *BP* (*τοῦ* ante *Ἀδμήτου* om. *P*), om. *r*.

*ἤδη δὲ τόνδε Θάνατον εἰσορῶ πέλας,*
*ἱερέα θανόντων, ὅς νιν εἰς Ἅιδου δόμους*
*μέλλει κατάξειν· σύμμετρος δ' ἀφίκετο,*
*φρουρῶν τόδ' ἦμαρ ᾧ θανεῖν αὐτὴν χρεών.*

ΘΑΝΑΤΟΣ.

*ἆ ἆ·*
*τί σὺ πρὸς μελάθροις; τί σὺ τῇδε πολεῖς,*
*Φοῖβ'; ἀδικεῖς αὖ τιμὰς ἐνέρων*
*ἀφοριζόμενος καὶ καταπαύων.*
*οὐκ ἤρκεσέ σοι μόρον Ἀδμήτου*
*διακωλῦσαι, Μοίρας δολίῳ*
*σφήλαντι τέχνῃ; νῦν δ' ἐπὶ τῇδ' αὖ*
*χέρα τοξήρη φρουρεῖς ὁπλίσας,*
*ἣ τόδ' ὑπέστη πόσιν ἐκλύσασ'*
*αὐτὴ προθανεῖν Πελίου παῖς.*

*ΑΠ.* *θάρσει· δίκην τοι καὶ λόγους κεδνοὺς ἔχω.*
*ΘΑ.* *τί δῆτα τόξων ἔργον, εἰ δίκην ἔχεις;*
*ΑΠ.* *σύνηθες αἰεὶ ταῦτα βαστάζειν ἐμοί.*
*ΘΑ.* *καὶ τοῖσδέ γ' οἴκοις ἐκδίκως προσωφελεῖν.*
*ΑΠ.* *φίλου γὰρ ἀνδρὸς συμφοραῖς βαρύνομαι.*
*ΘΑ.* *καὶ νοσφιεῖς με τοῦδε δευτέρου νεκροῦ;*
*ΑΠ.* *ἀλλ' οὐδ' ἐκεῖνον πρὸς βίαν σ' ἀφειλόμην.*
*ΘΑ.* *πῶς οὖν ὑπὲρ γῆς ἐστι κοὐ κάτω χθονός;*
*ΑΠ.* *δάμαρτ' ἀμείψας, ἣν σὺ νῦν ἥκεις μέτα.*
*ΘΑ.* *κἀπάξομαί γε νερτέραν ὑπὸ χθόνα.*
*ΑΠ.* *λαβὼν ἴθ'· οὐ γὰρ οἶδ' ἂν εἰ πείσαιμί σε.*
*ΘΑ.* *κτείνειν γ' ὃν ἂν χρῇ; τοῦτο γὰρ τετάγμεθα.*
*ΑΠ.* *οὔκ, ἀλλὰ τοῖς μέλλουσι θάνατον ἀμβαλεῖν.*

---

25 *ἱερῆ L* *ερέα* sup. *ερῆ* scr. *L*[1] *ἱερῆ r* | *θανόντων*] fort. *φθινόντων* 26 *σύμμετρος P*] *συμμέτρως r* 27 *ἦμαρ L*] *ἦμαρ r* 28 *ΘΑΝΑΤΟΣ*] *χρ̊* with *ά* above (i. e. *χάρων*) *P* eadem nota v. 43. 45 etc., nota *θα̊* (i. e. *θάνατος*) v. 39. 72 praefixa in *P* | *ἆ ἆ L ἆ ἆ ἆ ἆ l* 29 *σὺ πρὸς*] *σοι πρὸς B* 31 om. *P* damnat Nauck | *ἀφοριζόμενος*] fort. *νοσφιζόμενος* 33 *διακωλῦσαι Pla*] *διακωλύσαι r* 36 fort. *ἐκλύουσ'* 37 *αὐτὴ a*] *αὐτὴν r* 38 *τοι*] *τε S* 40 *αἰεὶ L*] *ἀεὶ r* 41 *ἐκδίκως S*] *ἐνδίκως r* 44 *βίαν Bal*] *βία S* 45 *ἕστηκ' οὐ B* corr. *b* | *κατὰ χθονός P* 46 *μέτα La*] *μετά r* 47 *νερτέραν Pl*] *νερτέρων r* 48 *πείσοιμι B* 49 *γ' ὃν B*] *ὃν r* | *χρῇ* G. H. Schaefer] *χρὴ* libri 50 *ἄλλα B* | *ἀμβαλεῖν* Bursian] *ἐμβαλεῖν* libri

ΘΑ. ἔχω λόγον δὴ καὶ προθυμίαν σέθεν.
ΑΠ. ἔστ' οὖν ὅπως Ἄλκηστις ἐς γῆρας μόλοι;
ΘΑ. οὐκ ἔστι· τιμαῖς κἀμὲ τέρπεσθαι δόκει.
ΑΠ. οὔτοι πλέον γ' ἂν ἢ μίαν ψυχὴν λάβοις.
ΘΑ. νέων φθινόντων μεῖζον ἄρνυμαι γέρας.
ΑΠ. κἂν γραῦς ὄληται, πλουσίως ταφήσεται.
ΘΑ. πρὸς τῶν ἐχόντων, Φοῖβε, τὸν νόμον τιθεῖς.
ΑΠ. πῶς εἶπας; ἀλλ' ἦ καὶ σοφὸς λέληθας ὤν;
ΘΑ. ὠνοῖντ' ἂν οἷς πάρεστι γηραιοὶ θανεῖν.
ΑΠ. οὔκουν δοκεῖ σοι τήνδε μοι δοῦναι χάριν;
ΘΑ. οὐ δῆτ'· ἐπίστασαι δὲ τοὺς ἐμοὺς τρόπους.
ΑΠ. ἐχθρούς γε θνητοῖς καὶ θεοῖς στυγουμένους.
ΘΑ. οὐκ ἂν δύναιο πάντ' ἔχειν ἃ μή σε δεῖ.
ΑΠ. ἦ μὴν σὺ πείσῃ καίπερ ὠμὸς ὢν ἄγαν·
τοῖος Φέρητος εἶσι πρὸς δόμους ἀνήρ,
Εὐρυσθέως πέμψαντος ἵππειον μετὰ
ὄχημα Θρῄκης ἐκ τόπων δυσχειμέρων,
ὃς δὴ ξενωθεὶς τοῖσδ' ἐν Ἀδμήτου δόμοις
βίᾳ γυναῖκα τήνδε σ' ἐξαιρήσεται.
κοὔθ' ἡ παρ' ἡμῶν σοι γενήσεται χάρις
δράσεις θ' ὁμοίως ταῦτ', ἀπεχθήσῃ τ' ἐμοί.
ΘΑ. πόλλ' ἂν σὺ λέξας οὐδὲν ἂν πλέον λάβοις·
ἡ δ' οὖν γυνὴ κάτεισιν εἰς Ἅιδου δόμους.
στείχω δ' ἐπ' αὐτήν, ὡς κατάρξωμαι ξίφει·
ἱερὸς γὰρ οὗτος τῶν κατὰ χθονὸς θεῶν
ὅτου τόδ' ἔγχος κρατὸς ἁγνίσῃ τρίχα.

ΧΟΡΟΣ.

τί ποθ' ἡσυχία πρόσθεν μελάθρων;
τί σεσίγηται δόμος Ἀδμήτου;

---

51 fort. λόγους propter v. 38 | δὴ] γε S 52 ἐς S] εἰς r 53 δοκεῖ B 54 οὔτοι B corr. b 55 γέρας Ba cum schol.] κλέος S 57 τιθεῖς] τιθεὶς P τίθης r 58 ἦ Pl] ἢ r | λέληθας BS (L ἐλήλυθας P) (a[1] superscr.)] πέφυκας a (B[1] superscr.) 59 ὠνοῖντ' L] ὤνοιντ' Pa ὄνοιντ' B ὄναιντ' l | οἷς S] οὓς r | γηραιοὶ] Hermann, γηραιοὺς libri 60 οὐκ οὖν a 64 πείσει F. Guil. Schmidt] παύσῃ libri 66 μέτα libri 73 ἡ δ' La] ἦδ' rl 74 κατάρξωμαι P et Macrobius V 19, 4] κατάρξομαι r 75 τῷ — θεῷ Macrobius 76 ὃ τοῦτο δ' B ὅτω τόδ' Macrobius | ἁγνίσει S 77 χορ. praef. S] ἡμιχ. r, cfr. schol. ἐκ γερόντων Φεραίων ὁ χορός. διαιρεῖται δὲ εἰς δύο ἡμιχόρια | πρόσθεν Blomfield] πρόσθε libri

*ἀλλ' οὐδὲ φίλων πέλας οὐδείς,*
*ὅστις ἂν εἴποι πότερον φθιμένην*
*χρὴ βασίλειαν πενθεῖν, ἢ ζῶσ'*
*ἔτι φῶς λεύσσει Πελίου τόδε παῖς*
*Ἄλκηστις, ἐμοὶ πᾶσί τ' ἀρίστη*
*δόξασα γυνὴ*
*πόσιν εἰς αὑτῆς γεγενῆσθαι.*

ΗΜΙΧΟΡΙΟΝ.

*κλύει τις ἢ στεναγμὸν ἢ* stroph.
*χειρῶν κτύπον κατὰ στέγας*
*ἢ γόον ὡς πεπραγμένων;*
*οὐ μὰν οὐδέ τις ἀμφιπόλων*
*στατίζεται ἀμφὶ πύλας.*
*εἰ γὰρ μετακύμιος ἄτας,*
*ὦ Παιάν, φανείης.*
*ΗΜΙΧ.* *οὔ τἂν φθιμένης γ' ἐσιώπων.*
*ΗΜΙΧ.* *νέκυς ἤδη.*
*ΗΜΙΧ.* *οὐ δὴ φροῦδός γ' ἐξ οἴκων.*
*ΗΜΙΧ.* *πόθεν; οὐκ αὐχῶ. τί σε θαρσύνει;*
*ΗΜΙΧ.* *πῶς ἂν ἔρημον τάφον Ἄδμητος*
* * * * * *
*κεδνῆς ἂν ἔπραξε γυναικός;*

*ΗΜΙΧ.* *πυλῶν πάροιθε δ' οὐχ ὁρῶ* antistr.
*πηγαῖον ὡς νομίζεται*

---

79 *ἡμιχ.* praefixum in libris del. Kirchhoff | *τις* ante *πέλας* inser. *l* *πέλας ἔστ' οὐδεὶς* Monk 80 *εἴποι Ba*] *εἶποι L* *ἐνέ* sup. *εἴ* scr. *l* *ἐννέποι P* 81 *χρὴ βασίλειαν πενθεῖν* Blomfield] *βασίλειαν πενθεῖν χρή* libri (*α* sup. *χρή*, *β* sup. *πενθεῖν* scr. *l*) 82 *λεύσσει Πελίου τόδε* Bothe] *τόδε λεύσσει* (*λεύσει BP*) *πελίου* libri *ἔτι παῖς Πελίου λεύσσει τόδε φῶς* Blomfield 85 *αὑτῆς G.* H. Schaefer] *αὐτῆς* libri 87 *χειρῶν* Nauck] *χερῶν* libri 88 *γόον L*] *γόων r* 89 hemichorii nota hic et 91 praefixa in libris (nisi quod *P* 91 notam om.), delevit Kirchhoff, qui quidem ab hemichoriis non nisi v. 93—97 et 105—111 cani putat 90 *στατίζεται* Hermann] *στατίζετ'* libri 91 *εἰ S*] *εἴ B* *εἶ a* 92 *ὦ* Matthiae] *ἰὼ* libri 93 *οὔ τἂν* Matthiae] *οὔτ' ἂν* libri | *φθιμένης* Monk] *φθιμένας* libri 94 *ΗΜΙΧ. νέκυς ἤδη. ΗΜΙΧ. οὐ δὴ φροῦδός γ' ἐξ οἴκων* Kirchhoff] *ἡμιχ. οὐ γὰρ δὴ φροῦδός γ' ἐξ οἴκων νέκυς ἤδη* (*ἤδη νέκυς P* *ἤδη* del. *l*) libri post 96 dipodiam anapaesticam excidisse coniecit Hartung 98 *πυλῶν*] fort. *δόμων* 99 *πηγαῖ' l*

*Φοίβου παῖς, προλιποῦσ'*
*ἦλθεν ἕδρας σκοτίους*
*Ἅιδα τε πύλας·*
*δμαθέντας γὰρ ἀνίστη,*
*πρὶν αὐτὸν εἷλε Διόβολον*
*πλῆκτρον πυρὸς κεραυνίου.*
*νῦν δὲ τίν' ἔτι βίου*
*ἐλπίδα προσδέχωμαι;*

*πάντα γὰρ ἤδη τετέλεσται βασιλεῦσι,*
*πάντων δὲ θεῶν ἐπὶ βωμοῖς*
*αἱμόρραντοι θυσίαι πλήρεις,*
*οὐδ' ἔστι κακῶν ἄκος οὐδέν.*

*ἀλλ' ἥδ' ὀπαδῶν ἐκ δόμων τις ἔρχεται*
*δακρυρροοῦσα, τίνα τύχην ἀκούσομαι;*
*πενθεῖν μέν, εἴ τι δεσπόταισι τυγχάνει,*
*συγγνωστόν· εἰ δ' ἔτ' ἐστὶν ἔμψυχος γυνὴ*
*εἴτ' οὖν ὄλωλεν εἰδέναι βουλοίμεθ' ἄν.*

ΘΕΡΑΠΑΙΝΑ.

*καὶ ζῶσαν εἰπεῖν καὶ θανοῦσαν ἔστι σοι.*
*ΧΟ.* *καὶ πῶς ἂν αὐτὸς κατθάνοι τε καὶ βλέποι;*
*ΘΕ.* *ἤδη προνωπής ἐστι καὶ ψυχορραγεῖ.*
*ΧΟ.* *ὦ τλῆμον, οἵας οἷος ὢν ἁμαρτάνεις.*
*ΘΕ.* *οὔπω τόδ' οἶδε δεσπότης, πρὶν ἂν πάθῃ.*
*ΧΟ.* *ἐλπὶς μὲν οὐκέτ' ἐστὶ σῴζεσθαι βίον;*
*ΘΕ.* *πεπρωμένη γὰρ ἡμέρα βιάζεται.*
*ΧΟ.* *οὔκουν ἐπ' αὐτῇ πράσσεται τὰ πρόσφορα;*
*ΘΕ.* *κόσμος γ' ἕτοιμος, ᾧ σφε συνθάψει πόσις.*

---

125 *σκοτίας B* 126 *ἅδα S*] *ἀΐδα r* 129 *πλᾶκτρον Pl* (*l* in ras. vocab. scr.) 130 *τίν' ἔτι βίου B*] *τίν' ἐπὶ βίου a τίνα βίου S βίου τίν' ἔτ'* Hartung fort. *τίνος θεῶν* 131 *προσδέχωμαι* Musgrave] *προσδέχομαι* libri 132 sq. locus corruptus | *βασιλεῦσιν La* 135 *οὐδ' S*] *ἀλλ' οὐδ' r* 136 *χορ.* praef. *B* | *ὀπαδῶν S* (*Pl ὀπαδός L*)] *ὀπαδῶν r* 140 *βουλοίμεθ' ἂν La*] *βουλοίμεθα r* 141 om. *B* add. man. rec. 142 *πῶς*] *πῶ B* | *αὐτὸς* libri *ὡὐτός* Aldina | *βλέποι Lap*] *βλέπει B βλέπ* P* 144. 145 post 149 collocandos putat O. Lueders (144—147 post 149 Tournier) 144 *ὦ*] *ὢ B* 145 *πάθῃ P*] *πάθοι r* 146 *μὲν*] *νιν* olim Nauck | *σώσασθαι S σώσεσθαι* Markland 148 *οὔκουν* Elmsley] *οὐκοῦν BL οὐκ οὖν r* | *αὐτοῖς S*

*ΧΟ.* ἴστω νυν εὐκλεής γε κατθανουμένη
γυνή τ' ἀρίστη τῶν ὑφ' ἡλίῳ μακρῷ.
*ΘΕ.* πῶς δ' οὐκ ἀρίστη; τίς δ' ἐναντιώσεται
τὸ μὴ οὐ γενέσθαι τήνδ' ὑπερβεβλημένην
γυναῖκα; πῶς δ' ἂν μᾶλλον ἐνδείξαιτό τις
πόσιν προτιμῶσ' ἢ θέλουσ' ὑπερθανεῖν;
καὶ ταῦτα μὲν δὴ πᾶσ' ἐπίσταται πόλις·
ἃ δ' ἐν δόμοις ἔδρασε θαυμάσῃ κλύων.
ἐπεὶ γὰρ ᾔσθεθ' ἡμέραν τὴν κυρίαν
ἥκουσαν, ὕδασι ποταμίοις λευκὸν χρόα
ἐλούσατ', ἐκ δ' ἑλοῦσα κεδρίνων δοχῶν
ἐσθῆτα κόσμον τ' εὐπρεπῶς ἠσκήσατο,
καὶ στᾶσα πρόσθεν ἑστίας κατηύξατο·
δέσποιν', ἐγὼ γὰρ ἔρχομαι κατὰ χθονός,
πανύστατόν σε προσπίτνουσ' αἰτήσομαι,
τέκν' ὀρφανεῦσαι τἀμά· καὶ τῷ μὲν φίλην
σύζευξον ἄλοχον, τῇ δὲ γενναῖον πόσιν.
μηδ' ὥσπερ αὐτῶν ἡ τεκοῦσ' ἀπόλλυμαι
θανεῖν ἀώρους παῖδας, ἀλλ' εὐδαίμονας
ἐν γῇ πατρῴᾳ τερπνὸν ἐκπλῆσαι βίον.
πάντας δὲ βωμοὺς οἳ κατ' Ἀδμήτου δόμους
προσῆλθε κἀξέστεψε καὶ προσηύξατο,
πτόρθων ἀποσχίζουσα μυρσίνης φόβην,
ἄκλαυτος ἀστένακτος, οὐδὲ τοὐπιὸν
κακὸν μεθίστη χρωτὸς εὐειδῆ φύσιν.
κἄπειτα θάλαμον ἐσπεσοῦσα καὶ λέχος,
ἐνταῦθα δὴ 'δάκρυσε καὶ λέγει τάδε·
ὦ λέκτρον, ἔνθα παρθένει' ἔλυσ' ἐγὼ
[κορεύματ' ἐκ τοῦδ' ἀνδρός, οὗ θνῄσκω πέρι],

---

150 *ἱστώ B* | *νυν l*] *νῦν r* 151 et 152 lineolam praef. *L*, ita ut 152 sqq. choro tribuantur, 151 *θερ.* 152 *τροφ.* praef. *P* 151 *μακρῶν B* 153 *τὸ μὴ οὐ — τήνδ'* Lenting (*οὐ μὴ — τήνδ'* Reiske)] *τί χρὴ — τὴν* libri 154 fort. *πῶς γ' ἂν* vel *πῶς ἂν* 157 *θαυμάσῃ B* *ει* sup. *η* scr. *b* *θαυμάσεις L* *η* sup. *εις* scr. *l* 158 fort. *κύριον* 160 *δοχῶν* Lindau] *δόμων* libri. Cf. Hesych. *δοχούς· δοχεῖα* 161 *εὐπρεπῶς*] *ἐκπρεπῶς* Naber 164 *προσπίτνουσ' a*] *προσπιτνοῦσ' ra*[3] 167 *ἀπόλλυται S* 168 *παῖδας*] fort. *ἔασον* 172 *πόρθων B* *τ* sup. *π* scr. *b* | *μυρσινῶν S* 173 *ἄκλαυτος L*] *ἄκλαυστος r* 176 *'δάκρυσε* Heath] *δάκρυσε* libri 177 *παρθένευμ'* (del. v. sq.) B. Hannemueller 178 damnavit Nauck

χαῖρ'· οὐ γάρ ἐχθαίρω σ'· ἀπώλεσας δέ με
μόνον· προδοῦναι γάρ σ' ὀκνοῦσα καὶ πόσιν
θνῄσκω. σὲ δ' ἄλλη τις γυνὴ κεκτήσεται,
σώφρων μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως.
κυνεῖ δὲ προσπίτνουσα, πᾶν δὲ δέμνιον
ὀφθαλμοτέγκτῳ δεύεται πλημμυρίδι.
ἐπεὶ δὲ πολλῶν δακρύων εἶχεν κόρον,
στείχει προνωπὴς ἐκπεσοῦσα δεμνίων,
καὶ πολλὰ θαλάμων ἐξιοῦσ' ἐπεστράφη
κἄρριψεν αὐτὴν αὖθις ἐς κοίτην πάλιν.
παῖδες δὲ πέπλων μητρὸς ἐξηρτημένοι
ἔκλαιον· ἡ δὲ λαμβάνουσ' ἐν ἀγκάλαις
ἠσπάζετ' ἄλλοτ' ἄλλον, ὡς θανουμένη.
πάντες δ' ἔκλαιον οἰκέται κατὰ στέγας
δέσποιναν οἰκτείροντες. ἡ δὲ δεξιὰν
προύτειν' ἑκάστῳ, κοὔτις ἦν οὕτω κακὸς
ὃν οὐ προσεῖπε καὶ προσερρήθη πάλιν.
τοιαῦτ' ἐν οἴκοις ἐστὶν Ἀδμήτου κακά.
καὶ κατθανών γ' ἂν ᾤχετ', ἐκφυγὼν δ' ἔχει
τοσοῦτον ἄλγος, οὔποθ' οὗ λελήσεται.

ΧΟ. ἦ που στενάζει τοισίδ' Ἄδμητος κακοῖς,
ἐσθλῆς γυναικὸς εἰ στερηθῆναί σφε χρή;

ΘΕ. κλαίει γ' ἄκοιτιν ἐν χεροῖν φίλην ἔχων,
καὶ μὴ προδοῦναι λίσσεται, τἀμήχανα
ζητῶν· φθίνει γὰρ καὶ μαραίνεται νόσῳ.
παρειμένη δέ, χειρὸς ἄθλιον βάρος
. . . . . . . . . . . . . . .
ὅμως δὲ καίπερ σμικρὸν ἐμπνέουσ' ἔτι

---

180 μόνον Markland] μόνην libri 182 οὐκ ἂν] οὐχὶ Suidas s. v. κλέπτης 183 κύνει *S* | προσπίτνουσα Elmsley] προσπιτνοῦσα *BS* (τ ex π corr. $L^1$) προσπίπτουσα *a* 184 ὀφθαλμοτέγκτῳ $Pa^3$] ὀφθαλμοτέκτῳ *r* | δεύετο *S* (in *P* sup. ο ras.) 185 εἶχεν *S*($LP^1$)] εἶχε *r* ἔσχεν Earle 186 πνονωνὴς *B* προ sup. πνο scr. *b* 187 θαλάμων Nauck] θάλαμον libri, fort. tamen ἐξιοῦσ' corruptum 188 αὐτὴν *L*] αὑτὴν *r* 190 ἐν ἀγκάλαις *S*] ἐς ἀγκάλας *r* 194 πρότειν' *B* 197 γ' ed. Hervagiana secunda] τ' libri | ᾤχετ' F. Guil. Schmidt] ὤλετ' libri | ἐκφυγών τ' *P* 198 οὔποθ' οὐ Nauck] οὔποτ' οὐ *La* οὐ ποτ' οὐ $BL^1$ οὐ ποτ' οὐ $a^2$ δὔποτε *P* | λήσεται *L* 199 τοισίδ'] τοῖσιδ' *Ba* τοῖσιν *S* 200 εἰ *S*] ἧς $Ba^2$ ἧι *a* | σφε *Sa*] γε *B* post 204 versum excidisse coniecit Elmsley

*ΗΜΙΧ.* ἆρ' ἄξια καὶ σφαγᾶς τάδε,
καὶ πλέον ἢ βρόχῳ δέρην
ἀγχονίῳ πελάσσαι;
*ΗΜΙΧ.* τὰν γὰρ οὐ φίλαν ἀλλὰ φιλτάταν
γυναῖκα κατθανοῦσαν εἰν ἄματι τῷδ' ἐπόψει.
*ΧΟ.* ἰδοὺ ἰδού,
ἥδ' ἐκ δόμων δὴ καὶ πόσις πορεύεται.
στέναξον ὦ, βόασον, ὦ Φεραία
χθών, [τὰν] ἀρίσταν
γυναῖκα μαραινομέναν νόσῳ
κατὰ γᾶς χθόνιον παρ' Ἅιδαν.

οὔποτε φήσω γάμον εὐφραίνειν
πλέον ἢ λυπεῖν, τοῖς τε πάροιθεν
τεκμαιρόμενος καὶ τάσδε τύχας
λεύσσων βασιλέως, ὅστις ἀρίστης
ἀπλακὼν ἀλόχου τῆσδ' ἀβίωτον
τὸν ἔπειτα χρόνον βιοτεύσει.

ΑΛΚΗΣΤΙΣ.

Ἅλιε καὶ φάος ἁμέρας, stroph.
οὐράνιαί τε δῖναι νεφέλας δρομαίου.

ΑΔΜΗΤΟΣ.

ὁρᾷ σὲ κἀμέ, δύο κακῶς πεπραγότας,
οὐδὲν θεοὺς δράσαντας ἀνθ' ὅτου θανῇ.

*ΑΛ.* γαῖά τε καὶ μελάθρων στέγαι antistr.
νυμφίδιοί τε κοῖται πατρίας Ἰωλκοῦ.

---

228 ἆρ' Hermann] αἲ αἲ *P* αἶ αἶ *L* αἲ αἲ αἶ αἶ *B* αἲ αἲ αἲ αἲ *a* 229 καὶ om. *a* | πλεῖον *S* | ἢ δειρὴν βρόχῳ Groeppel 230 ἀγχονίῳ scripsi] οὐρανίῳ libri | πελάσσαι Erfurdt] πελάσαι libri 231 φιλτάτην *S* 232 εἰν Dindorf] ἐν libri | ἄματι *a*[3]] ἅματι *a* ἤματι *r* | τῶδε γ' ὄψει *S* 233 ἰδοὺ ἰδού om. *S* 234 στέναξον ὦ βόασον (βόησον *P*) ὦ *S*] βόασον ὦ στέναξον ὦ *r* 235 τὰν eiecit Erfurdt 237 γᾶς *B*] γᾶν *r* | χθόνιον κατὰ γᾶς Weil fort. νύχιον κατὰ γᾶς, cfr. Aesch. Cho. 723 sq. | ἅδαν *S*] ἀΐδαν *r* 239 πάροιθεν *L*] πάροιθε *r* 241 λεύσσων] λεύσων καὶ *S* (καὶ del. *l*) | ὅστις *L* τις deletum 242 ἀπλακών Wakefield] ἀμπλακών *S* ἀμπλακῶν *r* (in *B* λ ex al. lit. corr. *B*[1]), cfr. Clemm mus. rhen. 32 p. 467 243 χρόνον] βίον F. Guil. Schmidt 244 ἡμέρας *S* 245 οὐράνιοι Earle 247 θανεῖν *L* θανῇ *r* fort. ἀνθ' οἷου θανεῖν 249 νυμφίδιαι *S* | πατρίας Aldina] πατρώας libri

*ΑΔ.* ἔπαιρε σαυτήν, ὦ τάλαινα, μὴ προδῷς·
λίσσου δὲ τοὺς κρατοῦντας οἰκτεῖραι θεούς.

*ΑΛ.* ὁρῶ δίκωπον ὁρῶ σκάφος [ἐν λίμνᾳ], stroph.
νεκύων δὲ πορθμεὺς
ἔχων χέρ' ἐπὶ κοντῷ Χάρων μ' ἤδη καλεῖ· τί μέλλεις;
ἐπείγου· σὺ κατείργεις.
τάδε τοί με σπερχόμενος ταχύνει.
*ΑΔ.* οἴμοι, πικράν γε τήνδε μοι ναυκληρίαν
ἔλεξας. ὦ δύσδαιμον, οἷα πάσχομεν.

*ΑΛ.* ἄγει μ' ἄγει μέ τις, οὐχ ὁρᾷς; antistr.
νεκύων ἐς αὐλὰν
ὑπ' ὀφρύσι κυαναυγὲς βλέπων πτερωτός. ἅ, μέθες με.
τί ῥέξεις; ἄφες. οἵαν
ὁδὸν ἁ δειλαιοτάτα προβαίνω.
*ΑΔ.* οἰκτρὰν φίλοισιν, ἐκ δὲ τῶν μάλιστ' ἐμοὶ
καὶ παισίν, οἷς δὴ πένθος ἐν κοινῷ τόδε.

*ΑΛ.* μέθετε μέθετέ μ' ἤδη.
κλίνατ', οὐ σθένω ποσίν·
πλησίον Ἅιδας.
σκοτία δ' ἐπ' ὄσσοις νὺξ ἐφέρπει.
τέκνα, τέκν', οὐκέτι δὴ
οὐκέτι μάτηρ σφῷν ἔστιν.
χαίροντες, ὦ τέκνα, τόδε φάος ὁρῴτην.

*ΑΔ.* οἴμοι· τόδ' ἔπος λυπρὸν ἀκούω
καὶ παντὸς ἐμοὶ θανάτου μεῖζον.

---

252 ὁρῶ ante σκάφος erasum in *L* | ἐν λίμνᾳ del. Aldina 254 χέρ' Aldina] χεῖρ' libri | με δὴ Weil 256 τάδε τοί (τοῖα *a*[2]) με *B*a] τάδ' ἕτοιμα *S* 259 ἄγει μ' ἄγει με τις *l*] ἄγει *ἄγει με τις *L* ἄγει ἄγει μέ τις *P* ἄγει μ' ἄγει τίς *B* ἄγει μ' ἄγει τίς ἄγει μέ τις *a* 260 ἐς *P*] εἰς *rp* (vel *P*[1]) 261 κυαναυγὲς Monk] κυαναυγέσι libri | πτερωτός. ἅ, μέθες με Weil] πτερωτὸς ἀΐδας μέθες με *Ba* πτερωτὸς ἅδης (ἅδας *P*) *S* (omissis verbis μέθες με) 262 ῥέξεις] πράξεις *B* 263 δειλαι** *L* δειλαία *l* 266 μέθετε μέθετε μ' *S*] μέθετε με μέθετε μ' *r* 267 κλίνατ'] κλινατέ μ' *S* | ποσίν Hermann] ποσί *L* πόσι *r* 268 ἅδας *S*] ἀΐδας *r* 269 ὄσσοισι *P*] ὄσσοισιν *L* 270 τέκν' *L*] τέκνα *r* 271 οὐκέτι δὴ *S* | σφῷν *S*] σφῶιν *r* | ἔστιν *L*] ἐστὶ *r* 272 ὁρῴτην Elmsley] ὁρῷτον libri 273 ὤμοι *PL*[1] | λυπρὸν] fort. λυγρὸν

*μή πρός σε θεῶν τλῇς με προδοῦναι,*
*μὴ πρὸς παίδων οὓς ὀρφανιεῖς,*
*ἀλλ' ἄνα τόλμα·*
*σοῦ γὰρ φθιμένης οὐκέτ' ἂν εἴην·*
*ἐν σοὶ δ' ἐσμὲν καὶ ζῆν καὶ μή·*
*σὴν γὰρ φιλίαν σεβόμεσθα.*

*ΑΛ.* *Ἄδμηθ', ὁρᾷς γὰρ τἀμὰ πράγμαθ' ὡς ἔχει,*
*λέξαι θέλω σοι πρὶν θανεῖν ἃ βούλομαι.*
*ἐγώ σε πρεσβεύουσα κἀντὶ τῆς ἐμῆς*
*ψυχῆς καταστήσασα φῶς τόδ' εἰσορᾶν,*
*θνήσκω παρόν μοι μὴ θανεῖν ὑπὲρ σέθεν,·*
*ἀλλ' ἄνδρα τε σχεῖν Θεσσαλῶν ὃν ἤθελον,*
*καὶ δῶμα ναίειν ὄλβιον τυραννίδι.*
*οὐκ ἠθέλησα ζῆν ἀποσπασθεῖσά σου*
*σὺν παισὶν ὀρφανοῖσιν, οὐδ' ἐφεισάμην,*
*ἥβης ἔχουσα δῶρ', ἐν οἷς ἐτερπόμην.*
*καίτοι σ' ὁ φύσας χἠ τεκοῦσα προὔδοσαν,*
*καλῶς μὲν αὐτοῖς κατθανεῖν ἧκον βίου,*
*καλῶς δὲ σῶσαι παῖδα κεὐκλεῶς θανεῖν.*
*μόνος γὰρ αὐτοῖς ἦσθα, κοὔτις ἐλπὶς ἦν*
*σοῦ κατθανόντος ἄλλα φιτύσειν τέκνα.*
*κἀγώ τ' ἂν ἔζων καὶ σὺ τὸν λοιπὸν χρόνον,*
*κοὐκ ἂν μονωθεὶς σῆς δάμαρτος ἔστενες*
*καὶ παῖδας ὠρφάνευες. ἀλλὰ ταῦτα μὲν*
*θεῶν τις ἐξέπραξεν ὥσθ' οὕτως ἔχειν.*
*εἶεν· σὺ νῦν μοι τῶνδ' ἀπόμνησαι χάριν·*
*αἰτήσομαι γάρ σ' ἀξίαν μὲν οὔποτε·*

---

275 *σε* om. libri, add. Porson 276 (*μὴ — ὀρφανιεῖς*) om. *S* 277 *ἄνα τόλμα l*] *ἀνα τόλμα B ἀνατόλμα r* 278 *ἐσμὲν*] *ἔστιν* F. Guil. Schmidt, fort. *ἡμῖν* 279 *σεβόμεθα S* corr. *l* 285 *Θεσσαλῶν a θεσσαλὸν r* 287 *κοὐκ* Lenting, at rectius videtur 287—89 delere I. Heiland 288 *οὐδ'*] *γρ. ἀλλ'* superscr. *l* 289 *ἔχουσα δῶρ'* (*P δῶρον L*) *ἐν οἷς ἐτερπόμην S*] *ἔχουσα δῶρ' ἐν οἷς ἐτερπόμην ἐγώ* (*ἐγώ* nescio qua manu deletum) *B ἔχουσ' ἐν οἷς ἐτερπόμην ἐγώ a* 291 *αὐτοῖς ἧκον ἐκλιπεῖν βίον* Hartung *αὐτοῖς καταλιπεῖν ἧκον βίον* Wolfg. Bauer 294 *φιτύσειν B* et *a*[1] in marg.] *φυτεύσειν r* 295 *ἔζων B*] *ἔζην* (*ω* sup. *η* man. 1) *L ἔζην r* cum Etym. m. p. 413, 9 (*L* in marg. *ζῆμι ἔζην. ζάω ζῶ ἔζων*) 298 *ἐξέπραξεν S*] *ἔπραξεν* (*ἐξ* sup. *ἐπ* add. *B*[1] scholia scribens) *B εἰσέπραξεν a* 299 *νῦν μοι B*] *μοι νῦν a δή μοι L δ' ἡμῖν P*

*καὶ ζῶσαν εἶχον καὶ θανοῦσ' ἐμὴ γυνὴ*
*μόνη κεκλήσῃ, κοὔτις ἀντὶ σοῦ ποτε*
*τόνδ' ἄνδρα νύμφη Θεσσαλὶς προσφθέγξεται.*
*οὐκ ἔστιν οὕτως οὔτε πατρὸς εὐγενοῦς*
*οὔτ' εἶδος ἄλλως εὐπρεπεστάτη γυνή.*
*ἅλις δὲ παίδων· τῶνδ' ὄνησιν εὔχομαι*
*θεοῖς γενέσθαι· σοῦ γὰρ οὐκ ὠνήμεθα.*
*οἴσω δὲ πένθος οὐκ ἐτήσιον τὸ σόν,*
*ἀλλ' ἔστ' ἂν αἰὼν οὑμὸς ἀντέχῃ, γύναι,*
*στυγῶν μὲν ἥ μ' ἔτικτεν, ἐχθαίρων δ' ἐμὸν*
*πατέρα· λόγῳ γὰρ ἦσαν οὐκ ἔργῳ φίλοι.*
*σὺ δ' ἀντιδοῦσα τῆς ἐμῆς τὰ φίλτατα*
*ψυχῆς ἔσωσας. ἆρά μοι στένειν πάρα*
*τοιᾶσδ' ἁμαρτάνοντι συζύγου σέθεν;*
*παύσω δὲ κώμους συμποτῶν θ' ὁμιλίας*
*στεφάνους τε μοῦσάν θ', ἣ κατεῖχ' ἐμοὺς δόμους.*
*οὐ γάρ ποτ' οὔτ' ἂν βαρβίτου θίγοιμ' ἔτι*
*οὔτ' ἂν φρέν' ἐξάραιμι πρὸς Λίβυν λακεῖν*
*αὐλόν· σὺ γάρ μου τέρψιν ἐξείλου βίου.*
*σοφῇ δὲ χειρὶ τεκτόνων δέμας τὸ σὸν*
*εἰκασθὲν ἐν λέκτροισιν ἐκταθήσεται,*
*ᾧ προσπεσοῦμαι καὶ περιπτύσσων χέρας*
*ὄνομα καλῶν σὸν τὴν φίλην ἐν ἀγκάλαις*
*δόξω γυναῖκα καίπερ οὐκ ἔχων ἔχειν,*
*ψυχρὰν μέν, οἶμαι, τέρψιν, ἀλλ' ὅμως βάρος*
*ψυχῆς ἀπαντλοίην ἄν. ἐν δ' ὀνείρασι*
*φοιτῶσά μ' εὐφραίνοις ἄν· ἡδὺ γὰρ φίλους*
*κἀν νυκτὶ λεύσσειν χῶντιν' ἂν παρῇ χρόνον.*
*εἰ δ' Ὀρφέως μοι γλῶσσα καὶ μέλος παρῆν,*

---

329 *ἐμὴ*] *ἐμοῦ a* 330 *ποτε*] *πόσιν* Mekler 332. 333 spurios censet Nauck 333 *ἐκπρεπεστάτη S* (in *P ἐκ* in ras.). *ἄλλη σοῦ 'κπρεπεστέρα* Bothe *ἄλλη 'στ'* (cum F. Guil. Schmidtio) *εὐπρεπεστέρα* (cum Lentingio) R. Prinz, fort. *ἄλλων* (sic Wakefield) *ἐκπρεπὴς οὕτω* 337 *οὑμός B* 341 *ψυχῆς μ'* olim Nauck 344 *κατεῖχεν ἐμοὺς B* 346 *ἐξάραιμι* Wakefield] *ἐξαίροιμι Ba ἐξάροιμι S*, cfr. schol. *οὐ πείσαιμ' ἄν.* 347 *αὐλόν*] fort. *λωτόν* 353 *οἶμαι*] *οἶδα* Elmsley 354 *ἀπαντλείην B* 355 *φίλους B*] *φίλοις r* 356 *χῶντιν'* Iacobs] *ὅντιν'* libri *ὅντιν' ἂν παρῇ τρόπον* R. Prinz 357 sqq. cfr. Philostrat. vit. Apoll. VIII 7 p. 162 | *γλῶττα S*

ὥστ' ἢ κόρην Δήμητρος ἢ κείνης πόσιν
ὕμνοισι κηλήσαντά σ' ἐξ Ἅιδου λαβεῖν,
κατῆλθον ἄν, καί μ' οὔθ' ὁ Πλούτωνος κύων
οὔθ' οὑπὶ κώπῃ ψυχοπομπὸς ἂν Χάρων
ἔσχον, πρὶν ἐς φῶς σὸν καταστῆσαι βίον.
ἀλλ' οὖν ἐκεῖ γε προσδόκα μ', ὅταν θάνω,
καὶ δῶμ' ἑτοίμαζ', ὡς συνοικήσουσά μοι.
ἐν ταῖσιν αὐταῖς γάρ μ' ἐπισκήψω κέδροις
σοὶ τούσδε θεῖναι πλευρά τ' ἐκτεῖναι πέλας
πλευροῖσι τοῖς σοῖς· μηδὲ γὰρ θανών ποτε
σοῦ χωρὶς εἴην τῆς μόνης πιστῆς ἐμοί.

ΧΟ. καὶ μὴν ἐγώ σοι πένθος ὡς φίλος φίλῳ
λυπρὸν συνοίσω τῆσδε· καὶ γὰρ ἀξία.

ΑΛ. ὦ παῖδες, αὐτοὶ δὴ τάδ' εἰσηκούσατε
πατρὸς λέγοντος μὴ γαμεῖν ἄλλην τινὰ
γυναῖκ' ἐφ' ὑμῖν μηδ' ἀτιμάσειν ἐμέ.

ΑΔ. καὶ νῦν γέ φημι, καὶ τελευτήσω τάδε.

ΑΛ. ἐπὶ τοῖσδε παῖδας χειρὸς ἐξ ἐμῆς δέχου.

ΑΔ. δέχομαι, φίλον γε δῶρον ἐκ φίλης χερός.

ΑΛ. σύ νυν γενοῦ τοῖσδ' ἀντ' ἐμοῦ μήτηρ τέκνοις.

ΑΔ. πολλή μ' ἀνάγκη, σοῦ γ' ἀπεστερημένοις.

ΑΛ. ὦ τέκν', ὅτε ζῆν χρῆν μ', ἀπέρχομαι κάτω.

ΑΔ. οἴμοι, τί δράσω δῆτα σοῦ μονούμενος;

ΑΛ. χρόνος μαλάξει σ'· οὐδέν ἐσθ' ὁ κατθανών.

ΑΔ. ἄγου με σὺν σοί, πρὸς θεῶν, ἄγου κάτω.

ΑΛ. ἀρκοῦμεν ἡμεῖς οἱ προθνῄσκοντες σέθεν.

ΑΔ. ὦ δαῖμον, οἵας συζύγου μ' ἀποστερεῖς.

ΑΛ. καὶ μὴν σκοτεινὸν ὄμμα μου βαρύνεται.

ΑΔ. ἀπωλόμην ἄρ', εἴ με δὴ λείψεις, γύναι.

---

358 *ὥστ' ἢ* Reiske] *ὡς τὴν* libri 361 *Χάρων*] *γέρων* Cobet 362 *ἔσχεν* Lenting *εἶχον* Nauck | *βίον*] *δέμας* Nauck 363 *ἐκεῖ γε* scripsi] *ἐκεῖσε* libri *ἐκεῖ σὺ* R. Prinz 370 *λυπρὸν*] fort. *λυγρὸν* 371 *αὐτοῦ* Matthiae 372 *τινὰ*] *ποτὲ* *S* 373 *ἐφ' ἡμῖν* Nauck 376 om. *S* (in marg. add. *l*), itaque Alcestidis sunt duo versus 375. 377 in *P*, in *L* Alcestidi tribuuntur Admeti versus et Admeto Alcestidis usque ad v. 391 377 *σύ νυν* Monk] *σὺ νῦν* libri 378 *μ'* Monk] *γ'* libri 379 *χρῆν μ'* cod. Laur. 31, 10] *χρή μ'* *B a* *μ' ἐχρῆν* *L* *μ' ἐχρῆν* in ras. sup. *ἀπέρχομαι* scr. *P*[1] 385 fort. *σκοτεινόν γ'* 386 *ἄρ'*] *ἂν* *B*

*ΑΛ.* ὡς οὐκέτ' οὖσαν οὐδὲν ἂν λέγοις ἐμέ.
*ΑΔ.* ὄρθου πρόσωπον, μὴ λίπῃς παῖδας σέθεν.
*ΑΛ.* οὐ δῆθ' ἑκοῦσά γ'. ἀλλὰ χαίρετ', ὦ τέκνα.
*ΑΔ.* βλέψον πρὸς αὐτοὺς βλέψον. *ΑΛ.* οὐδέν εἰμ' ἔτι.
*ΑΔ.* τί δρᾷς; προλείπεις; *ΑΛ.* χαῖρ'. *ΑΔ.* ἀπωλόμην τάλας.
*ΧΟ.* βέβηκεν, οὐκέτ' ἔστιν Ἀδμήτου γυνή.

ΕΥΜΗΛΟΣ.

ἰώ μοι τύχας. μαῖα δὴ κάτω — stroph.
βέβακεν, οὐκ ἔστιν, ὦ
πάτερ, ὑφ' ἁλίῳ.
προλιποῦσα δ' ἁμὸν βίον
ὠρφάνισεν τλάμων.
ἴδε γὰρ ἴδε βλέφαρον
καὶ παρατόνους χέρας.
ὑπάκουσον ἄκουσον, ὦ μᾶτερ, ἀντιάζω
σ', ἐγώ, μᾶτερ, ἐγὼ
* * καλοῦμαι ὁ
σὸς ποτὶ σοῖσι πίτνων στόμασιν νεοσσός.

*ΑΔ.* τὴν οὐ κλύουσαν οὐδ' ὁρῶσαν· ὥστ' ἐγὼ
καὶ σφὼ βαρείᾳ συμφορᾷ πεπλήγμεθα.

*ΕΥ.* νέος ἐγώ, πάτερ, λείπομαι φίλας — antistr.
μονόστολος ματρός· ὦ
σχέτλια δὴ παθὼν
ἐγὼ ἔργα * * σύ τε,
σύγκασί μοι κούρα,
* * * * * συνέτλας·

---

389 χαιρέτω *S* 391 προλείπεις *L*] προλείπεις με *r* | χαῖρ' *L* χαῖρε *r* 393 ἰώ μοι μοι *L* ἰὼ ἰὼ Elmsley 394 οὐκ Schenkl] οὐκέτ' libri 395 ἁλίῳ *S*] ἡλίῳ *r* 396 ἁμὸν libri 397 ὠρφάνισεν Monk] ὠρφάνισε libri 399 χέρας *a*] χεράς *B* χεῖρας *S* 401 σ' ἐγώ, μᾶτερ, ἐγώ *Ba*] ἐγώ σ' ἐγὼ μᾶτερ *Pl* ἐγώ σε γὰρ μᾶτερ *L* σ'· ἐγώ σ', ἐγώ, μᾶτερ Weil 402 fort. μαῖα, καλοῦμαι | ὁ *S*] σ' ὁ *r* 403 πίτνων *a*] πιτνῶν *r* | στόμασιν Barnes] στόμασι libri 404 τήν γ' οὐ Hermann | ὥστ'] ὡς Kirchhoff 406 πάτερ λείπομαι *S*] λείπομαι πάτερ *r* 407 μονόστολός τε *S* 409 sq. σύ τε σύγκασί μοι Hermann (qui lacunas v. 409—411 indicavit)] σύ τε μοι (τ' ἐμοὶ *S*) σύγκασι libri

*τὸν ἀνάλιον οἶκον οἰκετεύοις.*
*ἴστω δ' Ἀίδας ὁ μελαγχαίτας θεὸς ὅς τ' ἐπὶ κώπᾳ*
*πηδαλίῳ τε γέρων*
*νεκροπομπὸς ἵζει,*
*πολὺ δὴ πολὺ δὴ γυναῖκ' ἀρίσταν*
*λίμναν Ἀχεροντίαν πορεύσας ἐλάτᾳ δικώπῳ.*

*πολλά σε μουσοπόλοι* antistr.
*μέλψουσι καθ' ἑπτάτονόν τ' ὀρείαν*
*χέλυν ἔν τ' ἀλύροις κλέοντες ὕμνοις,*
*Σπάρτᾳ κύκλος ἀνίκα Καρνείου περινίσσεται ὥρας*
*μηνὸς ἀειρομένας*
*παννύχου σελάνας,*
*λιπαραῖσί τ' ἐν ὀλβίαις Ἀθάναις.*
*τοίαν ἔλιπες θανοῦσα μολπὰν μελέων ἀοιδοῖς.*

*εἴθ' ἐπ' ἐμοὶ μὲν εἴη,* stroph.
*δυναίμαν δέ σε πέμψαι*
*φάος ἐξ Ἀίδα τεράμνων*
*Κωκυτοῖο ῥεέθρων*
*ποταμίᾳ νερτέρᾳ τε κώπᾳ.*
*σὺ γάρ, ὦ μόνα ὦ φίλα γυναικῶν,*
*σὺ τὸν αὑτᾶς*
*ἔτλας πόσιν ἀντὶ σᾶς ἀμεῖψαι*

---

437 *οἰκετεύοις Pa*] *οἰκετεύεις L ἱκετεύοις B* 438 *ἀΐδας Ba*] *ἀΐδης L ᾅδης P* 439 *κώπᾳ S*] *κώπῃ r* 440 *πηδαλίῳ τε*] fort. *πηδαλίοιο* 443 *ἀχεροντείαν S* (*ί* sup. *εί* scr. *l*) 446 *ὀρείαν S*] *οὐρείαν r* 447 *κλέοντες* Elmsley] *κλείοντες* libri 449 *κύκλο*ς a* | *περινίσσεται BL*] *περινίσεται a περινείσεται* (*σεται* in ras.) *P περινήσεται p* | *ὥρας* Abresch ex Hesychio (*περι[ν]ίσσεται ὥρας· περιέρχεται τὰς ὥρας*)] *ὡρ* L ὥρα Pla ὥρᾳ B* 450 *μηνὸς*] fort. *φέγγος*, cfr. Aesch. frg. 300, 4, ubi *μηνὸς* in *φέγγος* correxit Nauck 451 *παννύχου al*] *παννύχους r* fort. *πάννυχον* | *σελήνας S* (*σελάνας l*) 452 fort. *ὀλβίοις* | *ἀθήναις S* (*ἀθάναις l*) 457 *Ἀίδα*] *ᾅδου S* 458 *Κωκυτοῖο ῥεέθρων* scripsi, *Κωκυτοῦ τε ῥεέθρων* Matthiae] *καὶ κωκυτοῦ τε ῥεέθρων Ba* (etiam *Ccd*) *καὶ κωκυτοῖς* (*κωκυτοῖο l*) *ῥεέθρων* (*ῥείθρων L*) *S* sup. *καί* scr. *l περισσός.* versum spurium indicat Bothe (ut olim Hermann), alii cum Cantero post 468 lacunam statuunt 459 fort. *ποταμίῳ* | *κώπῃ S* (*κώπα l*) 461 *αὑτᾶς* Monk] *αὐτᾶς* Erfurdt *ἑαυτᾶς L* (*σαυτᾶς l* qui *γε* ante *τὸν* inserit) *ἑαυτῆς P σαυτᾶς r* | *ἀμείψασθαι S* (*ἀμεῖψαι l*)

*ψυχᾶς ἐξ Ἅιδα· κοῦφα σοι*
*χθὼν ἐπάνωθε πέσοι, γύναι. εἰ δέ τι*
*καινὸν ἕλοιτο λέχος πόσις, ἦ μάλ' ἂν ἔμοιγ' ἂν εἴη*
*στυγηθεὶς τέκνοις τε τοῖς σοῖς.*

*ματέρος οὐ θελούσας* antistr.
*πρὸ παιδὸς χθονὶ κρύψαι*
*δέμας οὐδὲ πατρὸς γεραιοῦ —*
*ὃν ἔτεκον δ', οὐκ ἔτλαν ῥύεσθαι,*
*σχετλίω, πολιὰν ἔχοντε χαίταν —*
*σὺ δ' ἐν ἥβᾳ*
*νέᾳ προθανοῦσα φωτὸς οἴχῃ.*
*τοιαύτας εἴη μοι κῦρσαι*
*συνδυάδος φιλίας ἀλόχου· τὸ γὰρ*
*ἐν βιότῳ σπάνιον μέρος· ἦ γὰρ ἂν ἔμοιγ' ἄλυπος*
*δι' αἰῶνος ἂν ξυνείη.*

ΗΡΑΚΛΗΣ.

*ξένοι, Φεραίας τῆσδε κωμῆται πόλεως,*
*Ἄδμητον ἐν δόμοισιν ἆρα κιγχάνω;*
*ΧΟ.* *ἔστ' ἐν δόμοισι παῖς Φέρητος, Ἡράκλεις.*
*ἀλλ' εἰπὲ χρεία τίς σε Θεσσαλῶν χθόνα*
*πέμπει, Φεραῖον ἄστυ προσβῆναι τόδε.*
*ΗΡ.* *Τιρυνθίῳ πράσσω τιν' Εὐρυσθεῖ πόνον.*
*ΧΟ.* *καὶ ποῖ πορεύῃ; τῷ συνέζευξαι πλάνῳ;*
*ΗΡ.* *Θρῃκὸς τέτρωρον ἅρμα Διομήδους μέτα.*
*ΧΟ.* *πῶς οὖν δυνήσῃ; μῶν ἄπειρος εἶ ξένου;*
*ΗΡ.* *ἄπειρος· οὔπω Βιστόνων ἦλθον χθόνα.*

---

462 *Ἅιδα* Lascaris] *ἀΐδα* *Ba* *ἄδαο* *S* | *κούφα* *S*] *κοῦφα* *r* 463 *ἐπάνωθε* Erfurdt] *ἐπάνωθεν* *BaP* *ἐπάνω* *L* | *πέσοι*] *πέσειε* *l* 464 *πόσις λέχος* *S* | *ἦ* *B* | *μάλ' ἂν'*] *μάλ'* *S* 465 *τέκνοισι* *S* (*P* *τέκνοισ** *L*) 469 *δ', οὐκ*] *κοὐκ* *P* *οὐκ* *L* | *ῥύσασθαι* *S* 470 *ἔχοντες* *S* (*ἔχοντε* *l*) 471 *νέᾳ*] *νέα νέου* *S* 472 *μοι* *L* *ε* sup. *οι* scr. *L*[1] *μοι* om. *P* | *κῦρσαι* Musgrave] *κυρῆσαι* libri 473 *συνδοιάδος* *a* | *φίλας* *L* | *τὸ* Erfurdt] *τοῦτο* libri 474 *βιότω* (*οτ* in ras.) *B* *βίω* *S* (*γε* ante *βίω* inser. *l*) | *γὰρ*] *μάλ'* Tournier | *ἂν* erasum in *L* | *ἔμοιγ'* *L*] *ἐμοί γ'* *P* *ἔμοιγε* *r* 476 *πόλεως* Nauck] *χθονός* libri 477 *κιγχάνω* *L*] *κιχάνω* *r* 479 *χθόνα*] *πόλιν* *S* 479 sq. *Θεσσαλῶν τόδε πέμπει Φεραῖον ἄστυ προσβῆναι ποδί* Iacobs 480 *φεραίων* *S* (*ον* sup. *ων* scr. *l*) 481 *πόνω* *B* 482 *συνέζευξαι* *S*] *προσέζευξαι* *r*, cfr. Hipp. 1389 483 *θρηικὸς* *B*

*ΧΟ.* οὐκ ἔστιν ἵππων δεσπόσαι σ' ἄνευ μάχης.
*ΗΡ.* ἀλλ' οὐδ' ἀπειπεῖν μὴν πόνους οἷόν τ' ἐμοί.
*ΧΟ.* κτανὼν ἄρ' ἥξεις ἢ θανὼν αὐτοῦ μενεῖς.
*ΗΡ.* οὐ τόνδ' ἀγῶνα πρῶτον ἂν δράμοιμ' ἐγώ.
*ΧΟ.* τί δ' ἂν κρατήσας δεσπότην πλέον λάβοις;
*ΗΡ.* πώλους ἀπάξω κοιράνῳ Τιρυνθίῳ.
*ΧΟ.* οὐκ εὐμαρὲς χαλινὸν ἐμβαλεῖν γνάθοις.
*ΗΡ.* εἰ μή γε πῦρ πνέουσι μυκτήρων ἄπο.
*ΧΟ.* ἀλλ' ἄνδρας ἀρταμοῦσι λαιψηραῖς γνάθοις.
*ΗΡ.* θηρῶν ὀρείων χόρτον, οὐχ ἵππων λέγεις.
*ΧΟ.* φάτνας ἴδοις ἂν αἵμασιν πεφυρμένας.
*ΗΡ.* τίνος δ' ὁ θρέψας παῖς πατρὸς κομπάζεται;
*ΧΟ.* Ἄρεος, ζαχρύσου Θρηκίας πέλτης ἄναξ.
*ΗΡ.* καὶ τόνδε τοὐμοῦ δαίμονος πόνον λέγεις·
σκληρὸς γὰρ αἰεὶ καὶ πρὸς αἶπος ἔρχεται,
εἰ χρή με πᾶσιν οὓς Ἄρης ἐγείνατο
μάχην συνάψαι, πρῶτα μὲν Λυκάονι,
αὖθις δὲ Κύκνῳ, τόνδε δ' ἔρχομαι τρίτον
ἀγῶνα πώλοις δεσπότῃ τε συμβαλῶν.
ἀλλ' οὔτις ἔστιν ὃς τὸν Ἀλκμήνης τόκον
τρέσαντα χεῖρα πολεμίαν ποτ' ὄψεται.
*ΧΟ.* καὶ μὴν ὅδ' αὐτὸς τῆσδε κοίρανος χθονὸς
Ἄδμητος ἔξω δωμάτων πορεύεται.

ΑΔΜΗΤΟΣ.

χαῖρ', ὦ Διὸς παῖ Περσέως τ' ἀφ' αἵματος.
*ΗΡ.* Ἄδμητε, καὶ σὺ χαῖρε, Θεσσαλῶν ἄναξ.
*ΑΔ.* θέλοιμ' ἄν· εὔνουν δ' ὄντα σ' ἐξεπίσταμαι.
*ΗΡ.* τί χρῆμα κουρᾷ τῇδε πενθίμῳ πρέπεις;

---

487 *μὴν πόνους* Dobree] *μ' ἣν πόνους L πόνους P*, *τοῖς πόνοις Ba*, unde *τοι πόνους* Nauck (*τοὺς πόνους* Monk) | *τ' ἐμοί Ba*] *τέ μοι S* (*L τέμει P*] 488 *μένεις B* 492 *εὐμαθὲς S* (*εὐμαρὲς l*) 493 *γε*] *τι* Nauck 496 *αἵμασιν ap*] *αἵμασι r* 497 *δ' ὁ L*] *θ' ὁ P δὲ r* 498 *ἄρεος BSa*[1]] *ἄρεως al* | *θρηκίας* (*P θρακώας L*) *ζαχρύσου S* fort. *Θρηκίου* | *πέλλης B* 500 *αἰεὶ BL*] *ἀεὶ r* | *αἶπος* (*α* ex *ε* corr. man. 1) *α ἔπος P* 501 *πᾶσιν* Wakefield] *παισὶν* libri, cfr. Heraclid. 713, Suppl. 1171 | *οὓς*] *οἷς S* 504 *συμβαλῶν L* (῀ rescr. *l*) *a*[2]] *συμβαλών r* (in marg. *L*[1] scr. *ὁ συμβαλῶν τοῦ συμβαλοῦ*, cetera abscisa) 505 *τόκον S*] *γόνον r*, cfr. Herc. 929 506 *πολεμίαν Ba*] *πολεμί** L πολεμίων Pl* 509 *τ'* om. *S* 511 *δ'* om. *S* 512 *τρέπεις B*

*ΑΔ.* οὐκ ἔστιν, ὦναξ· μὴ τοσόνδ' ἔλθοι κακόν.
*ΗΡ.* λυπουμένοις ὀχληρὸς εἰ μόλοι ξένος.
*ΑΔ.* τεθνᾶσιν οἱ θανόντες· ἀλλ' ἴθ' ἐς δόμους.
*ΗΡ.* αἰσχρὸν παρὰ κλαίουσι θοινᾶσθαι φίλοις.
*ΑΔ.* χωρὶς ξενῶνές εἰσιν οἷ σ' ἐσάξομεν.
*ΗΡ.* μέθες με, καί σοι μυρίαν ἕξω χάριν.
*ΑΔ.* οὐκ ἔστιν ἄλλου σ' ἀνδρὸς ἑστίαν μολεῖν.
ἡγοῦ σὺ τῷδε δωμάτων ἐξωπίους
ξενῶνας οἴξας, τοῖς τ' ἐφεστῶσιν φράσον
σίτων παρεῖναι πλῆθος· ἐν δὲ κλῄσατε
θύρας μεταύλους· οὐ πρέπει θοινωμένους
κλύειν στεναγμῶν οὐδὲ λυπεῖσθαι ξένους.

*ΧΟ.* τί δρᾷς; τοιαύτης συμφορᾶς προσκειμένης,
Ἄδμητε, τολμᾷς ξενοδοκεῖν; ἦ μῶρος εἶ;
*ΑΔ.* ἀλλ' εἰ δόμων σφε καὶ πόλεως ἀπήλασα
ξένον μολόντα, μᾶλλον ἄν μ' ἐπῄνεσας;
οὐ δῆτ', ἐπεί τοι συμφορὰ μὲν οὐδὲν ἂν
μείων ἐγίγνετ', ἀξενώτερος δ' ἐγώ.
καὶ πρὸς κακοῖσιν ἄλλο τοῦτ' ἂν ἦν κακόν,
δόμους καλεῖσθαι τοὺς ἐμοὺς ἐχθροξένους.
αὐτὸς δ' ἀρίστου τοῦδε τυγχάνω ξένου,
ὅταν ποτ' Ἄργους διψίαν ἔλθω χθόνα.
*ΧΟ.* πῶς οὖν ἔκρυπτες τὸν παρόντα δαίμονα,
φίλου μολόντος ἀνδρός, ὡς αὐτὸς λέγεις;
*ΑΔ.* οὐκ ἄν ποτ' ἠθέλησεν εἰσελθεῖν δόμους,
εἰ τῶν ἐμῶν τι πημάτων ἐγνώρισε.

---

*a L*'] ξείνων *B* ξένον *S* | ἄλλην *S* | ἑστίαν *B* 539 τόσόνδ' *B* 540 ὀχληρὸς ἂν μόλοι F. Guil. Schmidt 541 ἐς *S*] εἰς *r* 542 αἰσχρὸν φίλοις κλαίουσι θοινᾶσθαι πάρα Iac. Tate | φίλοις] ξένους *S* 543 ἐσάξομεν *Pl*] εἰσάξομεν *r* 546 τῷδε *a*] τῶνδε *r* 547 ἐφεστῶσιν Gaisford] ἐφεστῶσι libri 548 ἐνδεκλῄσατε *B* 549 μεταύλους Brunck] μεσαύλους libri 551 τοσαύτης *S* | προσκειμένης Wakefield] προκειμένης libri 552 ξενοδοκεῖν L. Dindorf] ξενοδοχεῖν libri | ἦ Reiske] τί libri | μῶρος *C*] μωρὸς *r* 555 τοι Naber] μοι libri 557 sq. delet Herwerden 558 καλεῖσθαι *L* κα in κεκ mut. *l* | ἐχθροξένους *S*] κακοξένους *r* 560 ὅταν ποτ'] ὅτανπερ *S* 561 πῶς] fort. τί 563 post ἠθέλησεν librarius codicis *B* repetiit litteras ὡς αὐτὸς λ e versu antecedente, quae minio deletae sunt 564 ἐγνώρισε *B*] ἐγνώρισεν *r*

*καὐτῷ μέν, οἶμαι, δρῶν τάδ' οὐ φρονεῖν δοκῶ,*
οὐδ' *αἰνέσει με· τἀμὰ δ' οὐκ ἐπίσταται*
*μέλαθρ' ἀπωθεῖν οὐδ' ἀτιμάζειν ξένους.*

*ΧΟ.* *ὦ πολύξεινος καὶ ἐλευθέρου ἀνδρὸς ἀεί ποτ' οἶ-*
*κος,* stroph.
*σέ τοι καὶ ὁ Πύθιος εὐλύρας Ἀπόλλων*
*ἠξίωσε ναίειν,*
*ἔτλα δὲ σοῖσι μηλονόμας*
*ἐν νομοῖς γενέσθαι,*
*δοχμιᾶν διὰ κλιτύων*
*βοσκήμασι σοῖσι συρίζων*
*ποιμνίτας ὑμεναίους.*

*σὺν δ' ἐποιμαίνοντο χαρᾷ μελέων βαλιαί τε λύγ-*
*κες,* antistr.
*ἔβα δὲ λιποῦσ' Ὄθρυος νάπαν λεόντων*
*ἁ δαφοινὸς ἴλα·*
*χόρευσε δ' ἀμφὶ σὰν κιθάραν,*
*Φοῖβε, ποικιλόθριξ*
*νεβρὸς ὑψικόμων πέραν*
*βαίνουσ' ἐλατᾶν σφυρῷ κούφῳ,*
*χαίρουσ' εὔφρονι μολπᾷ.*

*τοιγὰρ πολυμηλοτάταν* stroph.
*ἑστίαν οἰκεῖ παρὰ καλλίναον*
*Βοιβίαν λίμναν· ἀρότοις δὲ γυᾶν*
*καὶ πεδίων δαπέδοις*
*ὅρον ἀμφὶ μὲν ἀελίου κνεφαίαν*
*ἱππόστασιν αἰθέρα τὰν Μολοσσῶν τίθεται,*

---

565 *καὐτῷ* F. Gu. Schmidt] *καὶ τῷ* libri (*καί τῳ* Heath) | *οὐ δόξω φρονεῖν* Herwerden 569 *ὦ l*] *ἰώ Lr* | *πολύξεινος καὶ ἐλευθέρου* scripsi *πολυξείνου καὶ ἐλευθέρου* Purgold] *πολύξεινος καὶ ἐλεύθερος* libri 570 *καὶ ὁ*] *χῷ L* 572 *ἔτλα* Matthiae] *ἔτλη* libri 574 *νομοῖς* Pierson] *δόμοις* libri (*δόμοισι B*) 577 *ποιμνήτας S ποιμνίτας τινὰς ὕμνους* Herwerden 579 *βαλιαί L*] *βαλίαι r* 580 *ὄθρυος L*] *ὀθρύος r* 582 *χόρευσε* Monk (*'χόρευσε* Wakefield)] *ἐχόρευσε* libri, fort. *χόρευε* 585 *πέραν*] fort. *ὑπὲρ* 588 *τοιγάρ τοι B* 589 *οἰκεῖ* Markland] *οἰκεῖς* libri 590 *γυᾶν B*] *γυιᾶν a* ˉ sup. *υ* del. *a*¹ *γύαν L γυίαν P* 594 *ὑπόστασιν B* sup. *ν B*¹ scr. *τ* (i. e. *τὴν*) | vide ad v. 603

*πόντιον δ' Αἰγαίων' ἐπ' ἀκτὰν*
*ἀλίμενον Πηλίου κρατύνει.*

*καὶ νῦν δόμον ἀμπετάσας* antistr.
*δέξατο ξεῖνον νοτερῷ βλεφάρῳ,*
*τᾶς φίλας κλαίων ἀλόχου νέκυν ἐν*
*δώμασιν ἀρτιθανῆ·*
*τὸ γὰρ εὐγενὲς ἐκφέρεται πρὸς αἰδῶ.*
*ἐν τοῖς ἀγαθοῖσι δὲ πᾶν ἔνεστιν σοφίας.* [*ἄγαμαι·*]
*πρὸς δ' ἐμᾷ ψυχᾷ θάρσος ἧσται*
*θεοσεβῆ φῶτα κεδνὰ πράξειν.*

ΑΔΜΗΤΟΣ.

*ἀνδρῶν Φεραίων εὐμενὴς παρουσία,*
*νέκυν μὲν ἤδη πάντ' ἔχοντα πρόσπολοι*
*φέρουσιν ἄρδην πρὸς τάφον τε καὶ πυράν·*
*ὑμεῖς δὲ τὴν θανοῦσαν, ὡς νομίζεται,*
*προσείπατ' ἐξιοῦσαν ὑστάτην ὁδόν.*
*ΧΟ.* *καὶ μὴν ὁρῶ σὸν πατέρα γηραιῷ ποδὶ*
*στείχοντ', ὀπαδούς τ' ἐν χεροῖν δάμαρτι σῇ*
*κόσμον φέροντας, νερτέρων ἀγάλματα.*

ΦΕΡΗΣ.

*ἥκω κακοῖσι σοῖσι συγκάμνων, τέκνον·*
*ἐσθλῆς γάρ, οὐδεὶς ἀντερεῖ, καὶ σώφρονος*
*γυναικὸς ἡμάρτηκας. ἀλλὰ ταῦτα μὲν*
*φέρειν ἀνάγκη καίπερ ὄντα δύσφορα.*
*δέχου δὲ κόσμον τόνδε, καὶ κατὰ χθονὸς*
*ἴτω· τὸ ταύτης σῶμα τιμᾶσθαι χρεών,*
*ἥτις γε τῆς σῆς προὔθανε ψυχῆς, τέκνον,*
*καί μ' οὐκ ἄπαιδ' ἔθηκεν οὐδ' εἴασε σοῦ*
*στερέντα γήρᾳ πενθίμῳ καταφθίνειν,*

---

595 *δ'*] *τ'* *S* | *Αἰγαίων'* schol.] *αἰγαῖον* libri, *ἀοίαν* Weil 596 *ἀλιμένου* Reiske 598 *ξεῖνον* Aldina] *ξένον* libri 599 *φίλας* Aldina] *φιλίας* libri 602 *πᾶν* scripsi] *πάντ'* libri 603 *ἔνεστιν* Barnes] *ἔνεστι* libri | *ἄγαμαι* del. *l* (et Dindorf), alii in v. 594 aliquid ut *δροσερὰν* ante *τίθεται* excidisse putant 604 *ἧσται* *S*] *ἥσται* *r* 607. 608 (*νέκυν ἤδη πρόσπολοι — εἰς τάφον τε καὶ πυράν*) Eustath. in Il. p. 707 608 *πρὸς* *S*] *εἰς* *r* 617 *δύσφορα* *S* (et $a^3$ in marg.)] *δυσμενῆ* *r* 622 *καταφθίνειν* Matthiae] *καταφθινεῖν* libri

κοὐκ ἂν μονωθεὶς ἔστενον κακοῖς ἐμοῖς.]
καὶ μὴν ὅσ' ἄνδρα χρὴ παθεῖν εὐδαίμονα
πέπονθας· ἥβησας μὲν ἐν τυραννίδι,
παῖς δ' ἦν ἐγώ σοι τῶνδε διάδοχος δόμων,
ὥστ' οὐκ ἄτεκνος κατθανὼν ἄλλοις δόμον
λείψειν ἔμελλες ὀρφανὸν διαρπάσαι.
οὐ μὴν ἐρεῖς γέ μ' ὡς ἀτιμάζοντα σὸν
γῆρας θανεῖν προύδωκας, ὅστις αἰδόφρων
πρὸς σ' ἦ μάλιστα, κἀντὶ τῶνδέ μοι χάριν
τοιάνδε καὶ σὺ χἠ τεκοῦσ' ἠλλαξάτην.
τοιγὰρ φυτεύων παῖδας οὐκέτ' ἂν φθάνοις,
οἳ γηροβοσκήσουσι καὶ θανόντα σε
περιστελοῦσι καὶ προθήσονται νεκρόν.
οὐ γάρ σ' ἔγωγε τῇδ' ἐμῇ θάψω χερί·
[τέθνηκα γὰρ δὴ τοὐπὶ σ'· εἰ δ' ἄλλου τυχὼν
σωτῆρος αὐγὰς εἰσορῶ, κείνου λέγω
καὶ παῖδά μ' εἶναι καὶ φίλον γηροτρόφον.]
μάτην ἄρ' οἱ γέροντες εὔχονται θανεῖν,
γῆρας ψέγοντες καὶ μακρὸν χρόνον βίου·
ἢν δ' ἐγγὺς ἔλθῃ θάνατος, οὐδεὶς βούλεται
θνῄσκειν, τὸ γῆρας δ' οὐκέτ' ἔστ' αὐτοῖς βαρύ.

ΧΟ. παύσασθ'· ἅλις γὰρ ἡ παροῦσα συμφορά,
[ὦ παῖ·] πατρὸς δὲ μὴ παροξύνῃς φρένα.

ΦΕ. ὦ παῖ, τίν' αὐχεῖς, πότερα Λυδὸν ἢ Φρύγα
κακοῖς ἐλαύνειν ἀργυρώνητον σέθεν;
οὐκ οἶσθα Θεσσαλόν με κἀπὸ Θεσσαλοῦ
πατρὸς γεγῶτα γνησίως ἐλεύθερον;
ἄγαν ὑβρίζεις, καὶ νεανίας λόγους
ῥίπτων ἐς ἡμᾶς οὐ βαλὼν οὕτως ἄπει.

---

655 ἢ γεγώς σοι Nauck | δόμων] θρόνων F. Guil. Schmidt 657 διαρπάσαι S] διαρπάσειν rl 658 ἀτιμάζοντα S] ἀτιμάζων τὸ r 659 προύδωκας S] προὔδωκά σ' r 660 πρὸς σ'] πρόσ' B | ἢ Elmsley] ἦν libri 665 τῇδε μὴ Weil | θάλψω B 666—68 seclusit Badham (668 absurdissimum esse notaverat Nauck) 669—72 affert Stobaeus fl. 119, 1, subditicios arbitratur Hartung 671 ἔλθοι B 672 θνῄσκειν] θανεῖν a 673 sq. παύσασθ' . . ὦ παῖ] Ἄδμηθ' . . παῦσαι Mekler, fort. ἄναξ . . παῦσαι 674 ὦ παῖ e v. sequente huc retractum esse monuit Elmsley ὦναξ Monk ἄναξ Kaiser | φρένα S] φρένας r 679 ἄγαν μ' L 680 οὐ βαλὼν] οὐχ ἁπλῶς Blaydes | ἄπει B

*ἐγὼ δέ σ' οἴκων δεσπότην ἐγεινάμην*
*κἄθρεψ', ὀφείλω δ' οὐχ ὑπερθνῄσκειν σέθεν·*
*οὐ γὰρ πατρῷον τόνδ' ἐδεξάμην νόμον,*
*παίδων προθνῄσκειν πατέρας, οὐδ' Ἑλληνικόν.*
*σαυτῷ γὰρ εἴτε δυστυχὴς εἴτ' εὐτυχὴς*
*ἔφυς· ἃ δ' ἡμῶν χρῆν σε τυγχάνειν, ἔχεις.*
*πολλῶν μὲν ἄρχεις, πολυπλέθρους δέ σοι γύας*
*λείψω· πατρὸς γὰρ ταὔτ' ἐδεξάμην πάρα.*
*τί δῆτά σ' ἠδίκηκα; τοῦ σ' ἀποστερῶ;*
*μὴ θνῆσχ' ὑπὲρ τοῦδ' ἀνδρός, οὐδ' ἐγὼ πρὸ σοῦ.*
*χαίρεις ὁρῶν φῶς· πατέρα δ' οὐ χαίρειν δοκεῖς;*
*ἦ μὴν πολύν γε τὸν κάτω λογίζομαι*
*χρόνον, τὸ δὲ ζῆν μικρόν, ἀλλ' ὅμως γλυκύ.*
*σὺ γοῦν ἀναιδῶς διεμάχου τὸ μὴ θανεῖν,*
*καὶ ζῇς παρελθὼν τὴν πεπρωμένην τύχην,*
*ταύτην κατακτάς· εἶτ' ἐμὴν ἀψυχίαν*
*λέγεις, γυναικός, ὦ κάκισθ', ἡσσημένος,*
*ἣ τοῦ καλοῦ σοῦ προὐθανεν νεανίου;*
*σοφῶς δ' ἐφηῦρες ὥστε μὴ θανεῖν ποτε,*
*εἰ τὴν παροῦσαν κατθανεῖν πείσεις ἀεὶ*
*γυναῖχ' ὑπὲρ σοῦ· κᾆτ' ὀνειδίζεις φίλοις*
*τοῖς μὴ θέλουσι δρᾶν τάδ', αὐτὸς ὢν κακός;*
*σίγα· νόμιζε δ', εἰ σὺ τὴν σαυτοῦ φιλεῖς*
*ψυχήν, φιλεῖν ἅπαντας· εἰ δ' ἡμᾶς κακῶς*
*ἐρεῖς, ἀκούσῃ πολλὰ κοὐ ψευδῆ κακά.*

*ΧΟ.* *πλείω λέλεκται νῦν τε καὶ τὸ πρὶν κακά·*
*παῦσαι δέ, πρέσβυ, παῖδα σὸν κακορροθῶν.*

*ΑΔ.* *λέγ' ὡς ἐμοῦ λέξοντος· εἰ δ' ἀλγεῖς κλύων*
*τἀληθές, οὐ χρῆν σ' εἰς ἔμ' ἐξαμαρτάνειν.*

*ΦΕ.* *σοῦ δ' ἂν προθνῄσκων μᾶλλον ἐξημάρτανον.*

---

682 *ὀφείλω δ' Ba*] *ὀφείλων S* 686 *χρήν B* 687 *γύας L*] *γύιας B γυίας r* 688 *ταὔτ'* Purgold] *ταῦτ'* libri 689 *ἠδίκησα S* 690 *θνῆσχ' S*] *θνῆσκ' r* 692 *ἦ Sa*[2]] *ἢ r* 693 *σμικρόν aP* 694 *σὺ γοῦν BL*] *σύ γ' οὖν r* 697 *λέγεις*] *ψέγεις* editio Hervagiana altera 698 *ἢ B* 699 *δ' ἐφεῦρες Ba*] *δ' εὗρες S* (*δέ γ' εὗρες l*) 700 *παροῦσαν*] *ξυνοῦσαν* Nauck | *πείσειας ἂν S* 701 *κατονειδίζεις B* 702 *τάδ'*] fort. *τόδ'* 706 *τὸ* Wakefield] *τὰ* libri | *καὶ πρὶν ἢ πρέπει* Herwerden 708 *λέξοντος* Reiske] *λέξαντος* libri 709 *χρήν B*

*ΑΔ.* ταὐτὸν γὰρ ἡβῶντ' ἄνδρα καὶ πρέσβυν θανεῖν;
*ΦΕ.* ψυχῇ μιᾷ ζῆν, οὐ δυοῖν ὀφείλομεν.
*ΑΔ.* καὶ μὴν Διός γε μείζον' ἂν ζῴης χρόνον.
*ΦΕ.* ἀρᾷ γονεῦσιν οὐδὲν ἔκδικον παθών;
*ΑΔ.* μακροῦ βίου γὰρ ᾐσθόμην ἐρῶντά σε.
*ΦΕ.* ἀλλ' οὐ σὺ νεκρὸν ἀντὶ σοῦ τόνδ' ἐκφέρεις;
*ΑΔ.* σημεῖα τῆς σῆς, ὦ κάκιστ', ἀψυχίας.
*ΦΕ.* οὔτοι πρὸς ἡμῶν γ' ὤλετ'· οὐκ ἐρεῖς τόδε.
*ΑΔ.* φεῦ·
εἴθ' ἀνδρὸς ἔλθοις τοῦδέ γ' ἐς χρείαν ποτέ.
*ΦΕ.* μνήστευε πολλάς, ὡς θάνωσι πλείονες.
*ΑΔ.* σοὶ τοῦτ' ὄνειδος· οὐ γὰρ ἤθελες θανεῖν.
*ΦΕ.* φίλον τὸ φέγγος τοῦτο τοῦ θεοῦ, φίλον.
*ΑΔ.* κακὸν τὸ λῆμα κοὐκ ἐν ἀνδράσιν τὸ σόν.
*ΦΕ.* οὐκ ἐγγελᾷς γέροντα βαστάζων νεκρόν.
*ΑΔ.* θανῇ γε μέντοι δυσκλεής, ὅταν θάνῃς.
*ΦΕ.* κακῶς ἀκούειν οὐ μέλει θανόντι μοι.
*ΑΔ.* φεῦ φεῦ· τὸ γῆρας ὡς ἀναιδείας πλέων.
*ΦΕ.* ἥδ' οὐκ ἀναιδής· τήνδ' ἐφηῦρες ἄφρονα.
*ΑΔ.* ἄπελθε κἀμὲ τόνδ' ἔα θάψαι νεκρόν.
*ΦΕ.* ἄπειμι· θάψεις δ' αὐτὸς ὢν αὐτῆς φονεύς,
δίκας τε δώσεις τοῖσι κηδεσταῖς ἔτι.
ἦ τἄρ' Ἄκαστος οὐκέτ' ἔστ' ἐν ἀνδράσιν,
εἰ μή σ' ἀδελφῆς αἷμα τιμωρήσεται.
*ΑΔ.* ἔρρων νυν αὐτὸς χἡ ξυνοικήσασά σοι

---

711 *ἡβῶντ' Lba²*] *ἡμῶν τ' r* 713 *μείζον' L*] *μεῖζον' a μείζον r μάσσον'* F. Guil. Schmidt | *μείζονα ζῴης* G. H. Schaefer, at v. 714—20 in hunc ordinem redigendi videntur: 720. 719. 714—18, unde efficitur v. 717. 718 ante v. 721 abundare (Nauck 714 sq. post 719 collocat) | *ζώης S*] *ζώοις rp* 714 *ἆρα B* | *παθῶν BP* corr. *p* 716 *νεκρόν γ' B* 717 *σημεῖά γ' ὦ κάκιστε ταῦτ' ἀψυχίας S σημεῖά γ' ὦ κάκιστε σῆς ἀψυχίας* E. Bruhn 718 *οὔτι S* | *γ'* om. *S* 723 *λῆμμα B* | *ἀνδράσιν aL¹p*] *ἀνδράσι r* 725 *θάνη B θάνηι a* | *θάνης S*] *θάνηι a θανῇ B* 726 *μέλει S*] *μέλλει r* 728 *ἐφεῦρες* libri 729 *καί με S* 731 *τε*] *δὲ S* | *τοῖσι*] *τοῖσι σοῖσι B σοῖσι* del. *B¹ σοῖσι Sa* 732 *ἦ τἄρ'*] *ἤ τ' ἄρ' Pa ἦ τ' ἄρ' L ἧ τ' ἄρ' B* | *ἄκλαυστος οὐκ ἔστ' ἐν ἀνδράσιν ἔτι B οὐκέτ' ἐστ' ἐν ἀνδράσιν* in marg. scr. *b* 734 *ἔρρων* ex schol.: *τινὲς δὲ ἔρρων γράφουσι σὺν τῷ ν*] *ἔρροις Ba ἔρρου S* (*Lp ἔρρο* P*) | *νυν* Lascaris] *νῦν* libri | *ξύνοικος οὖσα* Hadley

*ὃ μὲν γὰρ ᾔδε, τῶν ἐν Ἀδμήτου κακῶν*
*οὐδὲν προτιμῶν, οἴκεται δ' ἐκλαίομεν*
*δέσποιναν· ὄμμα δ' οὐκ ἐδείκνυμεν ξένῳ*
*τέγγοντες· Ἄδμητος γὰρ ὧδ' ἐφίετο.*
*καὶ νῦν ἐγὼ μὲν ἐν δόμοισιν ἑστιῶ*
*ξένον, πανοῦργον κλῶπα καὶ λῃστήν τινα,*
*ἡ δ' ἐκ δόμων βέβηκεν, οὐδ' ἐφεσπόμην*
*οὐδ' ἐξέτεινα χεῖρ', ἀποιμώζων ἐμὴν*
*δέσποιναν, ἣ 'μοὶ πᾶσί τ' οἰκέταισιν ἦν*
*μήτηρ· κακῶν γὰρ μυρίων ἐρρύετο,*
*ὀργὰς μαλάσσουσ' ἀνδρός. ἆρα τὸν ξένον*
*στυγῶ δικαίως, ἐν κακοῖς ἀφιγμένον;*

ΗΡΑΚΛΗΣ.

*οὗτος, τί σεμνὸν καὶ πεφροντικὸς βλέπεις;*
*οὐ χρὴ σκυθρωπὸν τοῖς ξένοις τὸν πρόσπολον*
*εἶναι, δέχεσθαι δ' εὐπροσηγόρῳ φρενί.*
*σὺ δ' ἄνδρ' ἑταῖρον δεσπότου παρόνθ' ὁρῶν,*
*στυγνῷ προσώπῳ καὶ συνωφρυωμένῳ*
*δέχῃ, θυραίου πήματος σπουδὴν ἔχων.*
*δεῦρ' ἔλθ', ὅπως ἂν καὶ σοφώτερος γένῃ.*
*τὰ θνητὰ πράγματ' οἶδας ἣν ἔχει φύσιν;*
*οἶμαι μὲν οὔ· πόθεν γάρ; ἀλλ' ἄκουέ μου.*
*βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται,*
*κοὐκ ἔστι θνητῶν ὅστις ἐξεπίσταται*
*τὴν αὔριον μέλλουσαν εἰ βιώσεται·*
*τὸ τῆς τύχης γὰρ ἀφανὲς οἷ 'ποβήσεται,*
*κἄστ' οὐ διδακτὸν οὐδ' ἁλίσκεται τέχνῃ.*
*ταῦτ' οὖν ἀκούσας καὶ μαθὼν ἐμοῦ πάρα,*
*εὔφραινε σαυτόν, πῖνε, τὸν καθ' ἡμέραν*

---

761 *ᾔδε B* 762 *οἴκεται* Blaydes] *οἰκέται* libri, cfr. Ion. 1111 765 *ἑστιῶ Ba* 766 fort. *κακοῦργον* 767 *ἐφεπόμην B* fort. *ἐφει πόμην* 769 *ἣ 'μοὶ* Wakefield] *ἣ μοι* libri 770 *ἐρρύετο S*] *ἐρύετο r* 771 *ἄρα BP* corr. *P*[1] 777 *συνωφρυωμένος* Nauck 780 *οἶσθας* ex Phot. p. 323, 19 olim Dindorf, fort. *οἶσθα σὺ τίν' ἔχει* 781 *οἶμαι*] *δοκῶ* Plutarchus consol. ad Apoll. 11 p. 107 782 *ἅπασιν ἀποθανεῖν* Menander monost. 69 783 *ἔστιν αὐτῶν* Plutarchus 785 *τὸ*] *τὰ* Elmsley | *οἷ*] *οὗ S ᾗ C* | *'ποβήσεται* Lenting] *προβήσεται* libri 787 *τοῦτ'* Orion anth. VIII 4 p. 53 788 *πῖνε Lp*] *πίνε r*

βίον λογίζου σόν, τὰ δ' ἄλλα τῆς τύχης.
τίμα δὲ καὶ τὴν πλεῖστον ἡδίστην θεῶν
Κύπριν βροτοῖσιν· εὐμενὴς γὰρ ἡ θεός.
τὰ δ' ἄλλ' ἔασον ταῦτα καὶ πιθοῦ λόγοις
ἐμοῖσιν, εἴπερ ὀρθά σοι δοκῶ λέγειν·
οἶμαι μέν. οὔκουν τὴν ἄγαν λύπην ἀφεὶς
πίῃ μεθ' ἡμῶν [τάσδ' ὑπερβαλὼν τύχας,
στεφάνοις πυκασθείς]; καὶ σάφ' οἶδ' ὁθούνεκα
τοῦ νῦν σκυθρωποῦ καὶ ξυνεστῶτος φρενῶν
μεθορμιεῖ σε πίτυλος ἐμπεσὼν σκύφου.
ὄντας δὲ θνητοὺς θνητὰ καὶ φρονεῖν χρεών·
ὡς τοῖς γε σεμνοῖς καὶ συνωφρυωμένοις
ἅπασίν ἐστιν, ὥς γ' ἐμοὶ χρῆσθαι κριτῇ,
οὐ βίος ἀληθῶς ὁ βίος, ἀλλὰ συμφορά.

ΘΕ. ἐπιστάμεσθα ταῦτα· νῦν δὲ πράσσομεν
οὐχ οἷα κώμου καὶ γέλωτος ἄξια.

ΗΡ. γυνὴ θυραῖος ἡ θανοῦσα· μὴ λίαν
πένθει· δόμων γὰρ ζῶσι τῶνδε δεσπόται.

ΘΕ. τί ζῶσιν; οὐ κάτοισθα τὰν δόμοις κακά;

ΗΡ. εἰ μή τι σός με δεσπότης ἐψεύσατο.

ΘΕ. ἄγαν ἐκεῖνός ἐστ' ἄγαν φιλόξενος.

ΗΡ. οὐ χρῆν μ' ὀθνείου γ' εἵνεκ' εὖ πάσχειν νεκροῦ;

ΘΕ. ἦ κάρτα μέντοι καὶ λίαν οἰκεῖος ἦν.

ΗΡ. μῶν ξυμφοράν τιν' οὖσαν οὐκ ἔφραζέ μοι;

ΘΕ. χαίρων ἴθ'· ἡμῖν δεσποτῶν μέλει κακά.

ΗΡ. ὅδ' οὐ θυραίων πημάτων ἄρχει λόγος.

ΘΕ. οὐ γάρ τι κωμάζοντ' ἂν ἠχθόμην σ' ὁρῶν.

ΗΡ. ἀλλ' ἦ πέπονθα δείν' ὑπὸ ξένων ἐμῶν;

ΘΕ. οὐκ ἦλθες ἐν δέοντι δέξασθαι δόμοις.

---

792 πιθοῦ Monk] πίθου P πείθου r  794 verba οἶμαι μέν servo tribuit a  795 sq. verba τάσδ' .. πυκασθείς e v. 829. 832 huc retracta esse post Herwerdenum monuit Mekler | τύχας] γρ. πύλας a[1] in marg. schol.: γράφεται πύλας, ἵν' ᾖ ὑπερβὰς τὰς πύλας· εἰ δὲ τύχας, καταφρονήσας  796 ὅθ' οὕνεκα libri  797 φρενῶν S] κακοῦ r  803 ἐπιστάμεσθα La] ἐπιστάμεθα r  807 κάτοισθα La[2]] κατοῖσθα r  809 ἄγαν γ' S  810 sq. loco versuum 818. 819 ponendi videntur (post 813 collocat Nauck, post 815 Weil)  810 οὐ χρῆν μ'] οὔκουν S | οὕνεκ' libri | εὖ πράσσειν Nauck | 811 οἰκεῖος] θυραῖος a  812 ἔφραξε B  813 μέλλει B  815 τι — σ' ὁρῶν] σε — ὁρῶν S (L σε — * ὁρῶν P)  817 δόμους S

[*πένθος γάρ ἡμῖν ἐστι· καὶ κουρὰν βλέπεις*
*μελαμπέπλους στολμούς τε.*] ΗΡ. [*τίς δ' ὁ κατθανών;*]
*μῶν ἢ τέκνων τι φροῦδον ἢ γέρων πατήρ;*
ΘΕ. *γυνὴ μὲν οὖν ὄλωλεν Ἀδμήτου, ξένε.*
ΗΡ. *τί φής; ἔπειτα δῆτά μ' ἐξενίζετε;*
ΘΕ. *ᾐδεῖτο γάρ σε τῶνδ' ἀπώσασθαι δόμων.*
ΗΡ. *ὦ σχέτλι', οἵας ἤμπλακες ξυναόρου.*
ΘΕ. *ἀπωλόμεσθα πάντες, οὐ κείνη μόνη.*
ΗΡ. *ἀλλ' ᾐσθόμην μὲν ὄμμ' ἰδὼν δακρυρροοῦν*
*κουράν τε καὶ πρόσωπον· ἀλλ' ἔπειθέ με*
*λέγων θυραῖον κῆδος ἐς τάφον φέρειν.*
*βίᾳ δὲ θυμοῦ τάσδ' ὑπερβαλὼν πύλας*
*ἔπινον ἀνδρὸς ἐν φιλοξένου δόμοις,*
*πράσσοντος οὕτω. κἆτα κωμάζω κάρα*
*στεφάνοις πυκασθείς· ἀλλὰ σοῦ τὸ μὴ φράσαι,*
*κακοῦ τοσούτου δώμασιν προσκειμένου.*
*ποῦ καί σφε θάπτει; ποῖ νιν εὑρήσω μολών;*
ΘΕ. *ὀρθὴν παρ' οἶμον, ἣ 'πὶ Λάρισαν φέρει,*
*τύμβον κατόψει ξεστὸν ἐκ προαστίου.*
ΗΡ. *ὦ πολλὰ τλᾶσα καρδία καὶ χεὶρ ἐμή,*
*νῦν δεῖξον οἷον παῖδά μ' ἡ Τιρυνθία*
*Ἠλεκτρυόνος ἐγείνατ' Ἀλκμήνη Διί.*
*δεῖ γάρ με σῶσαι τὴν θανοῦσαν ἀρτίως*
*γυναῖκα κεἰς τόνδ' αὖθις ἱδρῦσαι δόμον*
*Ἄλκηστιν, Ἀδμήτῳ θ' ὑπουργῆσαι χάριν.*

---

818—20 schol. ad v. 820: *ταῦτα δὲ τὰ τρία* [sc. *ἰαμβεῖα*] *ἔν τισιν οὐκ ἔγκειται*, quae ad tres v. 818—20 referri solent, referenda autem videntur ad v. 818 et ad duas partes versus 819 820 *τι φροῦδον ἢ a*] *τι φροῦδον γένος* (*γένος* delevit *B*[1]) *ἢ B* *τὶς φροῦδος ἢ L* *τὶς ἢ φροῦδος ἢ P* 825 *μόνον L* 827 *πρόσωπον*] *πεπλώματ'* Mekler et Stadtmueller, fort *τὸν στολμόν* | *ἀλλ'*] *ἀλλ' ὅμως B* *ὅμως* delevit *B*[1] 829 *τύχας πύλας* (sic) *a* *πύλας* erasit et *τύχας* in *πύλας* mut. *a*[3] 831 *κἆτα* (*κἄτα a*[2]) *κωμάζω a*] *κατακωμάζω B* *κἆτ' ἐκώμαζον L* *κἀπεκώμαζον P* 833 *δώμασιν a*] *δώμασι S* *δόματος B* | *προσκειμένου* Scaliger] *προκειμένου* libri 834 *ποῖ* Monk] *ποῦ* libri | *μολῶν B* 835 *οἶμον B* | *Λάρισαν* Nauck] *λάρισσαν* libri 836 *προαστίου Lp*] *προαστείου r* 837 *καὶ χεὶρ*] *ψυχή τ' a* cf. Orest. 466 838 *μ'*] Tournier] *σ'* libri 839 *ἠλεκτρυόνος C* (*Ἠλεκτρύονος* Blomfield)] *ἠλεκτρύωνος a* *ἠλεκτρυῶνος r* | *ἐγείνατ'* Heath] *γείνατ'* libri 841 *ἱδρῦσαι P*] *ἱδρύσαι r* 842 *θ'*] *δ' S*

οὔτ' ἐπὶ γαίας πόδα πεζεύων·
τοῖον ὅμηρόν μ' ἀποσυλήσας
Ἅιδῃ Θάνατος παρέδωκεν.

ΧΟΡΟΣ.

πρόβα πρόβα· βᾶθι κεῦθος οἴκων. stroph.
ΑΔ. αἰαῖ.
ΧΟ. πέπονθας ἄξι' αἰαγμάτων. ΑΔ. ἒ ἔ.
ΧΟ. δι' ὀδύνας ἔβας,
σάφ' οἶδα. ΑΔ. φεῦ φεῦ. ΧΟ. τὰν νέρθε δ' οὐδὲν
ὠφελεῖς.
ΑΔ. ἰώ μοί μοι. ΧΟ. τὸ μήποτ' εἰσιδεῖν φιλίας ἀλόχου
πρόσωπον ἄντα λυπρόν.

ΑΔ. ἔμνησας ὅ μου φρένας ἥλκωσεν·
τί γὰρ ἀνδρὶ κακὸν μεῖζον ἁμαρτεῖν
πιστῆς ἀλόχου; μή ποτε γήμας
ὤφελον οἰκεῖν μετὰ τῆσδε δόμους.
ζηλῶ δ' ἀγάμους ἀτέκνους τε βροτῶν·
μία γὰρ ψυχή, τῆς ὑπεραλγεῖν
μέτριον ἄχθος·
παίδων δὲ νόσους καὶ νυμφιδίους
εὐνὰς θανάτοις κεραϊζομένας
οὐ τλητὸν ὁρᾶν, ἐξὸν ἀτέκνους
ἀγάμους τ' εἶναι διὰ παντός.

ΧΟ. τύχα τύχα δυσπάλαιστος ἥκει. antistr.
ΑΔ. αἰαῖ.

---

871 παρέδωκε *B* 872—77 chori sunt in *L* 872—76 (usque ad μοί μοι) choro, 876 (inde a τὸ) —888 (διὰ παντός) Admeto tribuuntur in *P* 873 αἰαῖ] αἶ αἶ *Ba* αἶ αἶ *L* om. *P* | ἄξι' *S*] ἄξια *r* 875 νέρθε δ' Hermann] νέρθεν libri 877 fort. πρόσωπόν σ' ἂν ἦν ἄλυπον 878 ΑΔ. om. *L* add. *l* | ὁμοῦ φρέν' ἤλκωσε *B* 880 πιστῆς *Sa* cum Stobaeo fl. 69, 12] φιλίας *B* 883 μία γὰρ ψυχή *Ba*] μιᾶ γὰρ ψυχῆ *L* ψυχῆ γὰρ μιᾶ *P* ψυχῆ δὲ μιᾶ *l* | τῆς Stobaeus fl. 68, 13] τῆσδ' libri 885 νόσους] μόρους Naber 887 sq. ἀτέκνοις | ἀγάμοις τ' *S* 889 sqq. ut in textu versus inter singulas personas distributi in *a*] αἶ αἶ choro addit, πέρας — τιθεῖς Admeto, sequentia usque ad ὅμως δέ choro tribuit *B*, 889—94 choro tribuit *S* 889 αἰαῖ] αἶ αἶ libri (αἶ αἶ *L*)

ΧΟ. πέρας δέ γ' οὐδὲν ἀλγέων τιθεῖς. ΑΔ. ἒ ἔ.
ΧΟ. βαρέα μὲν φέρειν,
ὅμως δὲ ΑΔ. φεῦ φεῦ. ΧΟ. τλᾶθ'· οὐ σὺ πρῶτος ὤλεσας
ΑΔ. ἰώ μοί μοι. ΧΟ. γυναῖκα· συμφορὰ δ' ἑτέρους ἑτέρα πιέζει φανεῖσα θνατῶν.

ΑΔ. ὦ μακρὰ πένθη λῦπαί τε φίλων
τῶν ὑπὸ γαῖαν.
τί μ' ἐκώλυσας ῥῖψαι τύμβου
τάφρον ἐς κοίλην καὶ μετ' ἐκείνης
τῆς μέγ' ἀρίστης κεῖσθαι φθίμενον;
δύο δ' ἀντὶ μιᾶς Ἅιδης ψυχὰς
τὰς πιστοτάτας σὺν ἂν ἔσχεν, ὁμοῦ
χθονίαν λίμνην διαβάντε.

ΧΟ. ἐμοί τις ἦν strοph.
ἐν γένει, ᾧ κόρος ἀξιόθρηνος
ὤλετ' ἐν δόμοισιν
μονόπαις· ἀλλ' ἔμπας
ἔφερε κακὸν ἅλις, ἄτεκνος ὤν,
πολιὰς ἐπὶ χαίτας
ἤδη προπετὴς ὢν
βιότου τε πόρσω.

ΑΔ. ὦ σχῆμα δόμων, πῶς εἰσέλθω;
πῶς δ' οἰκήσω μεταπίπτοντος
δαίμονος; οἴμοι. πολὺ γὰρ τὸ μέσον·
τότε μὲν πεύκαις σὺν Πηλιάσιν
σύν θ' ὑμεναίοις ἔστειχον ἔσω,

---

890 δέ γ' a] δ' ἔγ' B δ' S | ἀλγέων (sic) τιθεῖς (τίθης a) BSa (α sup. τιθεῖς, β sup. ἀλγέων scr. l) 892 τλάθ' B 894 θνατῶν L] θνητῶν r 895 λῦπαι L] λύπαι r 896 γαίαν B γαίας Monk 897 ῥῖψαι Hermann] ῥίψαι libri 898 καὶ μετ'] κατ' S (P * * * L καὶ μετ' l) 900 sq. fort. ψυχὰ τὼ πιστοτάτω | σὺν ἂν ἔσχεν Lenting] συνανέσχεν BS (P * * * * νέσχεν L γε συνέσχεν l) συνέχεν a σ sup. ἐχ scr. a[1] 902 fort. χθόνιον | λίμναν S 904 κόρος l] κοῦρος Lr 905 ὤχετ' ἐν δόμοισι S 910 πόρσω Gaisford] πρόσω libri 913 δ' S] om. r 916 ἔσω L] εἴσω rl

φιλίας ἀλόχου χέρα βαστάζων,
πολυάχητος δ' εἵπετο κῶμος,
τήν τε θανοῦσαν κἄμ' ὀλβίζων,
ὡς εὐπατρίδαι καὶ ἀπ' ἀμφοτέρων
ὄντες ἀριστέων σύζυγες εἶμεν·
νῦν δ' ὑμεναίων γόος ἀντίπαλος
λευκῶν τε πέπλων μέλανες στολμοὶ
πέμπουσί μ' ἔσω
λέκτρων κοίτας ἐς ἐρήμους.

ΧΟ. παρ' εὐτυχῆ antistr.
σοὶ πότμον ἦλθεν ἀπειροκάκῳ τόδ'
ἄλγος· ἀλλ' ἔσωσας
βίοτον καὶ ψυχάν.
ἔθανε δάμαρ, ἔλιπε φιλίαν·
τί νέον τόδε; πολλοὺς
ἤδη παρέλυσεν
θάνατος δάμαρτος.

ΑΔ. φίλοι, γυναικὸς δαίμον' εὐτυχέστερον
τοὐμοῦ νομίζω, καίπερ οὐ δοκοῦνθ' ὅμως·
τῆς μὲν γὰρ οὐδὲν ἄλγος ἅψεταί ποτε,
πολλῶν δὲ μόχθων εὐκλεὴς ἐπαύσατο.
ἐγὼ δ', ὃν οὐ χρῆν ζῆν, παρεὶς τὸ μόρσιμον
λυπρὸν διάξω βίοτον· ἄρτι μανθάνω.
πῶς γὰρ δόμων τῶνδ' εἰσόδους ἀνέξομαι;
τίν' ἂν προσειπών, τοῦ δὲ προσρηθεὶς ὕπο,
τερπνῆς τύχοιμ' ἂν εἰσόδου; ποῖ τρέψομαι;
ἡ μὲν γὰρ ἔνδον ἐξελᾷ μ' ἐρημία,
γυναικὸς εὐνὰς εὖτ' ἂν εἰσίδω κενὰς

---

917 φιλίας] schol.: γράφεται πιστῆς cfr. 880 919 καὶ ἔμ Monk 920 sq. κἀπ' *L* | fort. ἀμφοτέροιν . . ἀριστέοιν | ἀριστέων Dobree] ἀρίστων libri | εἶμεν Heath] εἰμὲν *aP* ἦμεν *r* 924 μ' ἔσω *S*] μ' εἴσω *r* 925 ἐς] fort. πρὸς 926 *ΧΟ.* om. *B* 929 post ψυχάν add. *B*: ἄδμητ. ἒ ἒ χορ. ὦ ἄδμητε, *a* add. ἒ ἒ 931 πολλοὺς Canter] πολλοῖς libri 933 παρέλυσεν Matthiae] παρέλυσε libri 934 δάμαρτας *B* πολλοῖς (931) . . δάμαρτα (vel δάμαρτας) Matthiae 936 τοὐμοῦ *B*] τὸ ὑμὸν *La* τοῦ μοῦ *P* 939 χρῆν Elmsley] χρὴ libri 940 μανθάνων *S* 943 ἂν ἐξόδου Lenting, ὀνήσεως Weidner 944 ἐξελεῖ *S* (*P* ἐξελ* *L* ἐξελᾶ *l*)

*μή μοι, πότνια, μείζων*
*ἔλθοις ἢ τὸ πρὶν ἐν βίῳ.*
*καὶ γὰρ Ζεὺς ὅ τι νεύσῃ,*
*σὺν σοὶ τοῦτο τελευτᾷ.*
*καὶ τὸν ἐν Χαλύβοις δαμάζεις σὺ βίᾳ σίδαρον,*
*οὐδέ τις ἀποτόμου λήματός ἐστιν αἰδώς.*

*καί σ' ἐν ἀφύκτοισι χερῶν εἷλε θεὰ δεσμοῖς.* stroph.
*τόλμα δ'· οὐ γὰρ ἀνάξεις ποτ' ἔνερθεν*
*κλαίων τοὺς φθιμένους ἄνω.*
*καὶ θεῶν σκότιοι φθίνουσι*
*παῖδες ἐν θανάτῳ.*
*φίλα μὲν ὅτ' ἦν μεθ' ἡμῶν,*
*φίλα δὲ θανοῦσ' ἔσται,*
*γενναιοτάταν δὲ πασᾶν*
*ἐζεύξω κλισίαις ἄκοιτιν.*

*μηδὲ νεκρῶν ὡς φθιμένων χῶμα νομιζέσθω* antistr.
*τύμβος σᾶς ἀλόχου, θεοῖσι δ' ὁμοίως*
*τιμάσθω, σέβας ἐμπόρων.*
*καί τις δοχμίαν κέλευθον*
*ἐκβαίνων τόδ' ἐρεῖ·*
*αὕτα ποτὲ προύθαν' ἀνδρός,*
*νῦν δ' ἐστὶ μάκαιρα δαίμων·*
*χαῖρ', ὦ πότνι', εὖ δὲ δοίης.*
*τοῖαί νιν προσεροῦσι φᾶμαι.*

*καὶ μὴν ὅδ', ὡς ἔοικεν, Ἀλκμήνης γόνος,*
*Ἄδμητε, πρὸς σὴν ἑστίαν πορεύεται.*

---

978 *νεύσῃ S*] *νεύσει r* 980 *χαλύβοισι S* 981 *οὐ βίᾳ P γρ.* *οὐ βίᾳ* superscr. *l* | *σίδαρον La*] *σίδηρον r* 984 *σ' ἐν*] *σέ γ'* Nauck | *ἀφύκτοις S* | *χερῶν*] fort. *πεδῶν* 985 *τόλμα δ' S* (*τό* vel *τά* sup. *a* *δ'* scr. *l*, sed del.)] *τόλμα τάδ' B τόλμα τόδ' a* 986 *φθινομένους B* 989 *φθίνουσι S*] *φθινύθουσι rl* 992 *δὲ a*] *δὲ καὶ r* | *θανοῦσα P* | *ἐστὶν S* *φίλα δέ τι καὶ θανοῦσα* Aldina (unde *φίλα δ' ἔτι καὶ θανοῦσα* Aem. Portus), *φίλα δὲ θανοῦσ' ἐς ἀεί* Nauck, *φίλα δὲ θανοῦσ' ἔτ' ἔσται* R. Prinz, fort. *φίλα δὲ θανοῦσα κεῖται*, quod olim Nanck proponebat 993 *πασᾶν S*] *πᾶσαν r* 998 *ὅμοιος B* 1001 *ἐκβαίνων S* cfr. *ἐκτροπάς* Rhes. 881] *ἐμβαίνων r* 1002 *προύθαν'* Monk] *προύθανεν aPl προὔθανεν r* 1004 *πότνι' S*] *πότνια r* 1005 *φᾶμαι* Monk] *φῆμαι* libri 1006 *χορ.* praef. *Sa* | *γόνος*] fort. *τόκος*, cfr. 505

ΗΡΑΚΛΗΣ.

*φίλον πρὸς ἄνδρα χρὴ λέγειν ἐλευθέρως,*
*Ἄδμητε, μομφὰς δ' οὐχ ὑπὸ σπλάγχνοις ἔχειν*
*σιγῶντ'. ἐγὼ δὲ σοῖς κακοῖσιν ἠξίουν*
*ἐγγὺς παρεστὼς ἐξετάζεσθαι φίλος·*
*σὺ δ' οὐκ ἔφραζες σῆς προκείμενον νέκυν*
*γυναικός, ἀλλά μ' ἐξένιζες ἐν δόμοις*
*[ὡς δὴ θυραίου πήματος σπουδὴν ἔχων.]*
*κἄστεψα κρᾶτα καὶ θεοῖς ἐλειψάμην*
*σπονδὰς ἐν οἴκοις δυστυχοῦσι τοῖσι σοῖς.*
*καὶ μέμφομαι μὲν μέμφομαι παθὼν τάδε,*
*οὐ μήν σε λυπεῖν ἐν κακοῖσι βούλομαι.*
*ὧν δ' εἵνεχ' ἥκω δεῦρ' ὑποστρέψας πάλιν*
*λέξω. γυναῖκα τήνδε μοι σῶσον λαβών,*
*ἕως ἂν ἵππους δεῦρο Θρῃκίας ἄγων*
*ἔλθω, τύραννον Βιστόνων κατακτανών.*
*πράξας δ' ὃ μὴ τύχοιμι· νοστήσαιμι γάρ·*
*δίδωμι τήνδε σοῖσι προσπολεῖν δόμοις.*
*πολλῷ δὲ μόχθῳ χεῖρας ἦλθεν εἰς ἐμάς·*
*ἀγῶνα γὰρ πάνδημον εὑρίσκω τινὰς*
*τιθέντας, ἀθληταῖσιν ἄξιον πόνου,*
*ὅθεν κομίζω τήνδε νικητήρια*
*λαβών· τὰ μὲν γὰρ κοῦφα τοῖς νικῶσιν ἦν*
*ἵππους ἄγεσθαι, τοῖσι δ' αὖ τὰ μείζονα*
*νικῶσι, πυγμὴν καὶ πάλην, βουφόρβια·*
*γυνὴ δ' ἐπ' αὐτοῖς εἵπετ'· ἐντυχόντι δὲ*
*αἰσχρὸν παρεῖναι κέρδος ἦν τόδ' εὐκλεές.*
*ἀλλ', ὥσπερ εἶπον, σοὶ μέλειν γυναῖκα χρή·*
*οὐ γὰρ κλοπαίαν, ἀλλὰ σὺν πόνῳ λαβὼν*
*ἥκω· χρόνῳ δὲ καὶ σύ μ' αἰνέσεις ἴσως.*

---

1009 *μομφὰς La*] *μορφὰς r* | *ἔχειν*] *στέγειν* F. Gu. Schmidt 1010 *δ' ἐν σοῖς* Dobree 1014 (e v. 778 repetitum) proscripsit Lachmann 1017 *μὲν B*a] *δὴ L δὲ P* 1018 *λυπεῖν γ'* Monk 1019 *οὕνεχ'* libri 1021 *θρηΐκας S* (*ίους* sup. *ας* scr. *l*) 1022 *ἔλθω*] *ἔνθα B* | *βιστονῶν B* 1024 *σοῖσι*] *σοι B* | *πρόσπολον S* 1025 *πολλῶν δὲ μόχθων ἦλθε χεῖρας εἰς ἐμάς S* 1027 *πόνου S*] *πόνον B πόνων a* 1030 *αὖ τὰ S*] *αὐτὰ r* 1034 *μέλλειν B* 1036 *μ'*] *γ' S*

*ΑΔ.* οὔτοι σ' ἀτίζων οὐδ' ἐν ἐχθροῖσιν τιθεὶς
ἔκρυψ' ἐμῆς γυναικὸς ἀθλίους τύχας·
ἀλλ' ἄλγος ἄλγει τοῦτ' ἂν ἦν προσκείμενον,
εἴ του πρὸς ἄλλου δώμαθ' ὡρμήθης ξένου·
ἅλις δὲ κλαίειν τοὐμὸν ἦν ἐμοὶ κακόν.
γυναῖκα δ', εἴ πως ἔστιν, αἰτοῦμαί σ', ἄναξ,
ἄλλον τιν' ὅστις μὴ πέπονθεν οἷ' ἐγὼ
σῴζειν ἄνωχθι Θεσσαλῶν, πολλοὶ δέ σοι
ξένοι Φεραίων, μὴ 'μέ· μιμνήσκεις κακῶν.
οὐκ ἂν δυναίμην τήνδ' ὁρῶν ἐν δώμασιν
ἄδακρυς εἶναι· μὴ νοσοῦντί μοι νόσον
προσθῇς· ἅλις γὰρ συμφορᾷ βαρύνομαι.
ποῦ καὶ τρέφοιτ' ἂν δωμάτων νέα γυνή;
νέα γάρ, ὡς ἐσθῆτι καὶ κόσμῳ πρέπει.
πότερα μετ' ἀνδρῶν δῆτ' ἐνοικήσει στέγην;
καὶ πῶς ἀκραιφνὴς ἐν νέοις στρωφωμένη
ἔσται; τὸν ἡβῶνθ', Ἡράκλεις, οὐ ῥᾴδιον
εἴργειν· ἐγὼ δὲ σοῦ προμηθίαν ἔχω.
ἢ τῆς θανούσης θάλαμον ἐμβήσας τρέφω;
καὶ πῶς ἐπεσφρῶ τήνδε τῷ κείνης λέχει;
διπλῆν φοβοῦμαι μέμψιν, ἔκ τε δημοτῶν,
μή τίς μ' ἐλέγξῃ τὴν ἐμὴν εὐεργέτιν
προδόντ' ἐν ἄλλης δεμνίοις πίτνειν νέας,
καὶ τῆς θανούσης· ἀξία δέ μοι σέβειν·
πολλὴν πρόνοιαν δεῖ μ' ἔχειν. σὺ δ', ὦ γύναι,
ἥτις ποτ' εἶ σύ, ταὔτ' ἔχουσ' Ἀλκήστιδι

---

1037 *ἀτίζων** (sic) cod. Harleianus 5743] *ἀτιμάζων r* | *ἐχθροῖσιν a*] *ἐχθροῖσι B αἰσχροῖσιν S* (*L αἰσχροῖσι P*) 1038 *ἀθλίους a*] *ἀθλίου r* 1039 *προκείμενον BP* 1040 *εἰ τοῦ B εἴπερ S* 1042 *αἰτοῦμαι*] fort. *ἄντομαι*, cfr. 1098 1045 *μὴ 'μέ· μιμνήσκεις* Kirchhoff] *μή με μιμνήσκεις B μή με μι*μνήσῃς a μή μ' ἀναμνήσῃς S* 1048 *προσθεὶς S* corr. *l* | *συμφοραῖς a* 1051 *μετ'* Hermann] *κατ'* libri | *δή τιν' οἰκήσει a* 1052 *στρωφωμένη B* (ε et ο superscr. *B*[1]) 1054 *εἴργειν* versui antecedenti add. *B* | *δέ σου* libri 1055 *ἢ B ἡ B*[1] | *θάλαμον ἔμβησας* F. Guil. Schmidt] *θάλαμον εἰσβήσας a εἰς θάλαμον βήσας r* 1058 *ἐλέγχῃ B* 1059 *ἄλλης S*] *ἄλλοις r* | *πίτνειν* Elmsley] *πιτνεῖν* libri 1060 *δέ μοι S*] *δ' ἐμοὶ r* 1061—63 delet Wheeler 1062 *ταὔτ'* Aem. Portus] *ταῦτ'* libri (*L*[1] in marg. *τὰ αὐτά*)

*ΑΔ.* σίγησον· οἷον εἶπας. οὐκ ἂν ᾠόμην.
ΗΡ. τί δ'; οὐ γαμεῖς γάρ, ἀλλὰ χηρεύσει λέχος;
*ΑΔ.* οὐκ ἔστιν ἥτις τῷδε συγκλιθήσεται.
ΗΡ. μῶν τὴν θανοῦσαν ὠφελεῖν τι προσδοκᾷς;
*ΑΔ.* κείνην ὅπουπερ ἔστι τιμᾶσθαι χρεών.
ΗΡ. αἰνῶ μὲν αἰνῶ· μωρίαν δ' ὀφλισκάνεις.
*ΑΔ.* ὡς μήποτ' ἄνδρα τόνδε νυμφίον καλῶν.
ΗΡ. ἐπῄνεσ' ἀλόχῳ πιστὸς οὕνεκ' εἶ φίλος.
*ΑΔ.* θάνοιμ' ἐκείνην καίπερ οὐκ οὖσαν προδούς.
ΗΡ. δέχου νυν εἴσω τήνδε γενναίως δόμων.
*ΑΔ.* μή, πρός σε τοῦ σπείραντος ἄντομαι Διός.
ΗΡ. καὶ μὴν ἁμαρτήσῃ γε μὴ δράσας τάδε.
*ΑΔ.* καὶ δρῶν γε λύπῃ καρδίαν δηχθήσομαι.
ΗΡ. πιθοῦ· τάχ' ἂν γὰρ ἐς δέον πέσοι χάρις.
*ΑΔ.* φεῦ.
εἴθ' ἐξ ἀγῶνος τήνδε μὴ ᾿λαβές ποτε.
ΗΡ. νικῶντι μέντοι καὶ σὺ συννικᾷς ἐμοί.
*ΑΔ.* καλῶς ἔλεξας· ἡ γυνὴ δ' ἀπελθέτω.
ΗΡ. ἄπεισιν, εἰ χρή· πρῶτα δ' εἰ χρεὼν ἄθρει.
*ΑΔ.* χρή, σοῦ γε μὴ μέλλοντος ὀργαίνειν ἐμοί.
ΗΡ. εἰδώς τι κἀγὼ τήνδ' ἔχω προθυμίαν.
*ΑΔ.* νίκα νυν. οὐ μὴν ἀνδάνοντά μοι ποεῖς.
ΗΡ. ἀλλ' ἔσθ' ὅθ' ἡμᾶς αἰνέσεις· πιθοῦ μόνον.
*ΑΔ.* κομίζετ', εἰ χρὴ τήνδε δέξασθαι δόμοις.
ΗΡ. οὐκ ἂν μεθείην τὴν γυναῖκα προσπόλοις.

---

1089 *χηρεύσει* (*χηρεύσῃ B*) *λέχος Ba*] *χηρεύεις μόνος S* 1090 *τῷδε*] *τῷδ' ἀνδρί B*, unde *οὐκ ἔστιν ἣ τῷδ' ἀνδρί* Dindorf 1093 *μυρίαν B* *μω* sup. *μυ* scr. *b* 1093—5 sic disponit: 1095. 4. 3 Schenkl 1094 sup. *ὡς* scr. *L*[1] *ἴσθι* | *καλὸν B καλῶν L καλεῖν l* (al. man. superscr. *ων*) *ἴσθ' οὔποτ' — καλῶν* Wakefield *ὡς οὔποτ' — καλεῖς* Herwerden *ὡς μήποτ' ἴσθι τόνδε . . καλῶν* Weidner, cfr. Soph. Ant. 1063 1097 *νυν L*] *νῦν r* | *γενναίως* Lenting] *γενναίων Ba*, *γενναίαν S* 1098 *ἄντομαι S*] *αἰτοῦμαι r* 1101 *πιθοῦ S*] *πείθου r* | *τάχα γὰρ B* 1101 *ἐς καλὸν* Nauck 1102 *μὴ ᾿λαβες* Tyrwhitt] *μή 'λαβες C μὴ λάβες B μή λαβες a μῆ λαβες a*[3] *μὴ λάβῃς P μὴ λάβοις L γρ. μ' ἤλαβεν l* in marg. 1105 *ἄθρει*] *ὅρα S* 1106 fort. *ὀργανεῖν* 1108 in textu om. *B*, in marg. apposuit *B*[1] | *νυν L*] *νῦν r* | *ποιεῖς* libri 1109 in *B* inde *a* v. 1109 usque ad v. 1113 versus, qui Herculis sunt, Admeto, Admeti Herculi tribuuntur. v. 1114 librarius Admeti notam praefixit, sed postea delevit 1111 *μεθείμην σοῖς γυναῖκα a*

*ΑΔ.* σὺ δ' αὐτὸς αὐτὴν εἴσαγ', εἰ δοκεῖ, δόμους.
*ΗΡ.* ἐς σὰς μὲν οὖν ἔγωγε θήσομαι χέρας.
*ΑΔ.* οὐκ ἂν θίγοιμι· δῶμα δ' εἰσελθεῖν πάρα.
*ΗΡ.* τῇ σῇ πέποιθα χειρὶ δεξιᾷ μόνῃ.
*ΑΔ.* ἄναξ, βιάζῃ μ' οὐ θέλοντα δρᾶν τάδε.
*ΗΡ.* τόλμα προτεῖναι χεῖρα καὶ θιγεῖν ξένης.
*ΑΔ.* καὶ δὴ προτείνω, Γοργόν' ὡς καρατομῶν.
*ΗΡ.* ἔχεις; *ΑΔ.* ἔχω. *ΗΡ.* ναί, σῷζέ νυν, καὶ τὸν Διὸς
φήσεις ποτ' εἶναι παῖδα γενναῖον ξένον.
βλέψον δ' ἐς αὐτήν, εἴ τι σῇ δοκεῖ πρέπειν
γυναικί· λύπης δ' εὐτυχῶν μεθίστασο.
*ΑΔ.* ὦ θεοί, τί λέξω; θαῦμ' ἀνέλπιστον τόδε·
γυναῖκα λεύσσω τὴν ἐμὴν ἐτητύμως,
ἢ κέρτομός με θεοῦ τις ἐκπλήσσει χαρά;
*ΗΡ.* οὐκ ἔστιν, ἀλλὰ τήνδ' ὁρᾷς δάμαρτα σήν.
*ΑΔ.* ὅρα γε μή τι φάσμα νερτέρων τόδ' ᾖ.
*ΗΡ.* οὐ ψυχαγωγὸν τόνδ' ἐποιήσω ξένον.
*ΑΔ.* ἀλλ' ἣν ἔθαπτον εἰσορῶ δάμαρτ' ἐμήν;
*ΗΡ.* σάφ' ἴσθ'. ἀπιστεῖν δ' οὔ σε θαυμάζω τύχῃ.
*ΑΔ.* θίγω, προσείπω ζῶσαν ὡς δάμαρτ' ἐμήν;
*ΗΡ.* πρόσειπ'. ἔχεις γὰρ πᾶν ὅσονπερ ἤθελες.
*ΑΔ.* ὦ φιλτάτης γυναικὸς ὄμμα καὶ δέμας,
ἔχω σ' ἀέλπτως, οὔποτ' ὄψεσθαι δοκῶν.
*ΗΡ.* ἔχεις· φθόνος δὲ μὴ γένοιτό τις θεῶν.
*ΑΔ.* ὦ τοῦ μεγίστου Ζηνὸς εὐγενὲς τέκνον,

---

1112 *εἰσάγαγ'* *B* | *δοκεῖ* *S*] *βούλει* *r* | *δόμους* apogr. Venet. (Marc. IX 10) codicis *L*] *δόμοις* *Lr* 1114 *δῶμα δ'* *S*] *δώματ'* *r* 1115 *μόνου* Nauck 1117 *προτεῖναι* *B*] *προτείνειν* *S* *πρότεινε* *a* | *θιγεῖν* Elmsley] *θίγειν* *BS* *θίγε* *a* 1118 *δὴ*] *μὴν* *S* | *καρατομῶν* Lobeck] *καρατόμῳ* libri 1119 *ἔχω ναί* Admeto tribuunt libri. *ναί* (quod perperam in *καί* mutat) Herculi restituit Wakefield | *νυν*] *νῦν* libri *νιν* Monk | *ΑΔ. ἔχω νιν. ΗΡ. σῷζέ νυν* Weil 1120 *παῖδα* om. *B*, sed *λείπει τὸν παῖδα* superscr. *B*[1] 1121 *δ' ἐς*] *πρὸς* *B* | *σῇ* Markland] *σοι* libri 1122 *δ'* om. *B* | *εὐτυχὼν* *BP* 1123 *λέξω* *S*] *λευσω* *B* *λεύσσω* *a* | *τί λέξω θαῦμ' .. τόδε;* alii | *θαῦμ'*] *φάσμ'* Nauck 1124 *λεύσσω* *a*] *λεύσω* *B* *λεύσσων* *S* (*P* *λεύσων* *L*) | *τὴν*] *τήνδ'* *S* 1125 *ἢ* *a*] *ἢ* *r* | *μ' ἐκ θεοῦ* Buecheler | *ἐμπλήσσει* *P* 1127 *τόδ' εἰσορῶ* *B* *γρ. τόδ' ᾖ* superscr. *B*[1] scholia scribens | *τόδ' ᾖ*] *τόδε* Herwerden 1130 *τύχῃ* Reiske] *τύχην* libri 1131 *ζῶσαν ὡς ἐτητύμως* Earle 1132 *πάνθ' ὅσαπερ* *S* 1134 *οὔποθ'* *B* *οὔποθ' ἅψεσθαι* H. Stadtmueller

εὐδαιμονοίης, καί σ' ὁ φιτύσας πατὴρ
σῴζοι· σὺ γὰρ δὴ τἄμ' ἀνώρθωσας μόνος.
πῶς τήνδ' ἔπεμψας νέρθεν ἐς φάος τόδε;
ΗΡ. μάχην συνάψας δαιμόνων τῷ κοιράνῳ.
ΑΔ. ποῦ τόνδε Θανάτῳ φῂς ἀγῶνα συμβαλεῖν;
ΗΡ. τύμβον παρ' αὐτὸν ἐκ λόχου μάρψας χεροῖν.
ΑΔ. τί γάρ ποθ' ἥδ' ἄναυδος ἕστηκεν γυνή;
ΗΡ. οὔπω θέμις σοι τῆσδε προσφωνημάτων
κλύειν, πρὶν ἂν θεοῖσι τοῖσι νερτέροις
ἀφαγνίσηται καὶ τρίτον μόλῃ φάος.
ἀλλ' εἴσαγ' εἴσω τήνδε· καὶ δίκαιος ὢν
τὸ λοιπόν, Ἄδμητ', εὐσέβει περὶ ξένους.
καὶ χαῖρ'· ἐγὼ δὲ τὸν προκείμενον πόνον
Σθενέλου τυράννῳ παιδὶ πορσυνῶ μολών.
ΑΔ. μεῖνον παρ' ἡμῖν καὶ ξυνέστιος γενοῦ.
ΗΡ. αὖθις τόδ' ἔσται, νῦν δ' ἐπείγεσθαί με δεῖ.
ΑΔ. ἀλλ' εὐτυχοίης, νόστιμον δ' ἔλθοις ὁδόν.
ἀστοῖς δὲ πάσῃ τ' ἐννέπω τετραρχίᾳ,
χοροὺς ἐπ' ἐσθλαῖς συμφοραῖσιν ἱστάναι
βωμούς τε κνισᾶν βουθύτοισι προστροπαῖς.
νῦν γὰρ μεθηρμόσμεσθα βελτίω βίον
τοῦ πρόσθεν· οὐ γὰρ εὐτυχῶν ἀρνήσομαι.
ΧΟ. πολλαὶ μορφαὶ τῶν δαιμονίων,
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί·
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον ηὗρε θεός.
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

---

1137 φιτύσας B] φυτεύσας r 1138 σὺ γὰρ τἄμ' ὤρθωσας S (σὺ γὰρ δὴ τάμά γ' ὤρθωσας l) 1139 τόδε] fort. πάλιν 1140 δαιμόνων] νερτέρων Iacobs | κοιράνῳ] κυρίῳ a 1143 ἥδ'] ὧδ' Earle | ἕστηκε B 1150 τυράννῳ BPL¹] τυράννου aL | πορσυνῶ L] πορσύνω r | μολών S] μολῶν r 1151 ξυνέστιος S] συνέστιος r 1153 ὁδόν B] δόμον S πόδα a (a¹ in marg. γρ. δόμον γρ. καὶ ὁδόν) 1154 πάσῃ τ' a] πᾶσι τ' r (πᾶσιν l) 1155 συμφοραῖς συνιστάναι a 1156 κνισᾶν C] κνισσᾶν r | προστροπαῖς La] προτροπαῖς r 1157 μεθηρμόσμεσθα l] μεθηρμόμεσθα B μεθηρμόσμεθα r 1162 εὗρε libri 1163 τόδε] τόδε τὸ B | in fine τέλος εὐριπίδου ἀλκήστιδος BaP εὐριπίδου ἄλκηστις L

81 sq. χρὴ πενθεῖν, ἣ ζῶσ' ἔτι λεύσσει Πελίου τόδε παῖς (deletis verbis βασίλειαν et φῶς) Bothe 82 τόδε om. Aldina, unde ἔτι φῶς λεύσσει Πελίου θυγάτηρ Lenting 83 πᾶσιν ἀρίστη, deletis verbis Ἄλκηστις ἐμοί, Hartung, Ἄλκηστις ἀεὶ πᾶσιν ἀρίστη F. Gu. Schmidt, Ἄλκηστις ἐμοὶ πλεῖστον ἀρίστη Naber 88 πεπερασμένων olim Nauck 89 sq. οὐ μὰν οὐδ' ἀμφὶ πύλας στατίζεταί τις ἀμφιπόλων Weil

91 μετακύμιον Kvíčala, μετακοίμιος C. Zacher 93 οὐκ ἂν Reiske 93 sq. οὐ δὴ φροῦδος νέκυς ἐξ οἴκων, οὐ γὰρ φθιμένας γ' ἐσιώπων Seidler, οὐκ ἂν .. ἐσιώπων· οὐ φροῦδός τ' ἤδη νέκυς ἐξ οἴκων Camper 94 φροῦδος γὰρ δὴ νέκυς ἐξ οἴκων Musgrave, οὐ γὰρ δὴ φροῦδός γ' ἐξ οἴκων (ceteris deletis) cum Elmsleio Monk, ἀλλ' οὐ γὰρ φροῦδος ἀπ' οἴκων Dindorf, οὐ δὴ φροῦδος νέκυς ἤδη (deletis verbis γὰρ et γ' ἐξ οἴκων) olim Nauck 95 (πόθεν οὐ καυχῶ; Reiske), πόθεν, ὤ, καύχᾳ; Musgrave, πόθεν οὖν καυχᾷ; Seidler, πόθεν οὐκ; αὖδα Lenting | τί σε θαρσύνει; πόθεν; οὐκ αὐχῶ F. Deneken 96 πῶς γὰρ Wakefield. Defectum dipodiae anapaesticae ante πῶς indicavit Kirchhoff, ante τάφον Earle. Supplet κηδευόντων Hartung (malim τῶν θρηνούντων), στείλας ἄξια Hadley 99 ὡς] ἢ Tournier (malim ἃ)

100 ἐπὶ] ἐνὶ A. Jacob | φθιτῶν φορᾷ olim coniciebam 101 hemichorii notam praefixit Hartung | ἐπὶ] ἐνὶ Tournier 101 sq. χαίτα τ' οὔτις πρόθυρος τομαῖος οἷα δὴ νεκύων olim Weil 103 πένθη, πίτνει Weil | νεολαίᾳ Musgrave, νεολαίας Blomfield, ἐνὶ κρατὶ Hartung, ἐλεεινὰ olim coniciebam

112 stropham et antistr. hemichoriis sunt qui tribuant 114 Λιβύας Js. Voſs 116 Ἀμμωνίδας ἕδρας Musgrave, Ἄμμωνος ἕδρας Monk | ἕδρας olim delebat Nauck 118 „elegantius magisque tragicum foret πότμος γὰρ ἄποτμος“ Bothe | ἄποτμος οἱ Heath 119 θεῶν δ' ἐπ' ἐσχάραν Bursian, δ' ἐπ' ἐσχάρας Ribbeck 119 sq. ἐπ' ἐσχάρας νῦν ἐπὶ τίνας ἐγὼ Holzinger

120 οὐκ ἔχω 'πὶ τίν' ἂν Lenting, οὐκ ἔχω τίνα Monk 121 μηλόθυτον vel μηλοθυτεῖν Reiske, etiam μηλοθυτᾶν Monk 122 μούνως Wakefield, μοῦνος G. A. Wagner | ἂν] ἄρ' G. Schmid | δ' ἂν] γὰρ (et 125 ἦλθ' ἂν) Holzinger 125 ἦλθ' ἂν Monk 126 Ἅιδαό τε πύλας Barnes, Ἅιδα τ' ἐπὶ πύλας Matthiae, Ἅιδα τε πυλῶνας (et 116 Ἀμμωνίδας ἕδρας) Hermann | inter τε et πύλας aliquid excidisse putat Kirchhoff | πύλας· καὶ Dindorf

130 νῦν βίου δ' ἐπί τιν' Burges, νῦν δὲ τίνα (omisso ἔτι) Monk, νῦν δὲ τίν' ἐπὶ βίον Seidler 132—5 delet Wheeler 132 πάντα γὰρ ἤδη δὴ τετέλεσται τοῖς βασιλεῦσιν Porson | πάντα γὰρ ἤδη τετελείωται Schenkl | βασιλεῦσιν ⟨ἐμοῖς⟩ Hartung | τετέλεσται βασιλεῦσι secludit Nauck, unum βασιλεῦσι R. Haupt 132 sq. πάντα γὰρ ᾗ ⟨χρῆν⟩ δὴ τετέλεσται βασιλεῦσι τέλη, πάντων δὲ θεῶν ⟨εἰσ'⟩ ἐπὶ βωμοῖς Mekler, (πάντα γὰρ ἤδη τετελεύτηται, πάντων δὲ θεῶν ἐπὶ βωμοῖσιν Kahle) 132 sqq. πάντα γὰρ ἤδη * * τετέλεσται * * βασιλεῦσι * * πάντων δὲ θεῶν * * ἐπὶ βωμοῖσι * * Kirchhoff (lacunas dimidiorum fere versuum indicans) 133 ἐπὶ secludit Matthiae 133 sq. ἐπὶ βωμοῖς et πλήρεις olim delebat Nauck 134 πλήρεις] πρήνεις Wakefield. Sex anapaestos vel ante vel post πλήρεις excidisse putat, 132—6 = 93—97 = 105—111 statuens, Dindorf 136 ἐκ] γὰρ Usener 138 sq. πένθει μέν, ὡς τι .. τυγχάνει, εὔγνωστον Weil

141—4 delet Wheeler 143 *ἔστιν ἐς ψυχορραγεῖν* Rassow 144—9 sic disponit: 148. 149. 146. 147. 144. 145 Nindel 146 *ἤλπισμέν'* Hermann 148 sq. delet Wheeler

150 *εὐκλεής τε* Elmsley 153 *τί χρὴ πένεσθαι* Bothe, *τίς μὴ γενέσθαι* Matthiae

160 *δοκῶν* Herwerden 169 *τέρμον' . . βίου* Wakefield

170 *τοὺς κατ'* Herwerden 178 *θνήσκω γ' ὕπερ* Valckenaer 179 sq. *με· μόνη προδοῦναι* Reiske, *με· μόνον προδοῦναι* Heimsoeth

180 *μόνην*] *ὅλην* F. Gu. Schmidt 183 *πᾶν τε* Lenting 183 sq. delet Wheeler

196 *ἔστι δεσποτῶν κακά* Wheeler. Versum delet Lange, post 191 transponit C. F. Hermann 197 *χἄπαξ θανὼν ἂν ὤλετ'* Jacobs, *ὡς κατθανών γ' ἂν ὤλετ'* Herwerden | *κατθανὼν τἂν* Matthiae 197 sq. delet Wheeler 198 *οὔποτ' ἐκλελήσεται* Aldina, *οὔποτ' ἐκλελήσεται* cum Reiskio Burney, *οὐ πότ' ἐκλελήσεται*; Blomfield

201 *φίλαιν* Wakefield 204 *παρειμένη γε* Matthiae, *παρειμένη δὴ* Hermann | *παρειμένη δὲ χεῖρας* Reiske | *παρειμένη δὲ χεῖρας ἀσθμαίνει βαρέως* Heimsoeth. Versum delebat olim Dindorf, post 205 collocat Dobree, post 201 transponit, *παρειμένην δή* scribens, H. Hirzel 206 *τάσδ'* (vel *τοῦδ'*) *ἡλίου* Lenting

213—37 singulis choreutis (decem, seiunctis versibus 222—5 et 234—37) tribuit Hermann 213 *πῶς ἂν πόρος κακῶν* Matthiae 213 sq. *Ζεῦ Ζεῦ, τίς ἂν πόρος κακῶν φαίνοιτο; ποῦ λύσις τύχας ἃ πάρεστιν κοιράνοισιν*; Camper, *ἰὼ Ζεῦ, τίς ἂν πῶς πόρος πᾷ* (omisso *κακῶν*) *γένοιτ' ἂν τύχας ἃ πάρεστιν τυράννοις* Nauck, *ἰὼ Ζεῦ τίς ἂν πόρος πᾷ κακῶν κτέ.* Hayley 214 *τύχας κοιράνοις ἃ πάρα* Weil | *κοιράνοισιν* (et 227 *στερηθείς*) Musgrave 215 *ἄρ' εἰσί τις* vel *ἔτ' εἰσί τις* Herwerden 216 *στόλον* Lenting 217 *ἀμφιβαλώμεθα δή* (et 230 *πελάσαι*) Wakefield 218 *δῆλά γ'*] *πήματ'* Herwerden 219 *εὐξόμεσθα* Hadley | *ἁ θεῶν γὰρ δύναμις* Musgrave | *γὰρ* delet Hermann

223 *τῷδ' ἐφεῦρες* Heath | *τῷδ' ἐφεῦρες τοῦτο, καὶ νῦν* Hermann, *τοῦδ' εὗρες ἀλκάν* Hartung, *εὑρές τι καὶ νῦν* Heimsoeth, *τόνδ' ἐφρούρεις, καὶ νῦν* F. Gu. Schmidt, *φῶς* (vel *ῥῦμ'*) *εὗρες, εὖ νῦν* Stadtmueller, *τοῦτ' ἐφηῦρες τῷδε, καὶ νῦν* Hadley, *πρόφρων σὺ καὶ νῦν* Holzner. Verba *τοῦδ' ἐφεῦρες* interpolata esse cum genuinum ut *παρῆσθα* excidisset, censet Dindorf | *τοιόσδε* pro *τοῦδ' ἐφεῦρες* ponendum esse olim coniciebam, *τοῦδ' ἦσθα* olim Weil | *καὶ*] *ὡς* olim Nauck 225 *ἀπότρεψον* vel *ἄπωσον* F. Gu. Schmidt 226 *παπαὶ φεῦ φεῦ ἰὼ ἰώ* Musgrave, *παπαί, παπαί, φεῦ φεῦ, ἰώ* Erfurdt 226 sq. *φεῦ φεῦ, παπαῖ, ἰὼ ἰώ, ὦ παῖ κτέ.* Camper, *παπαῖ φεῦ, ἰὼ παῖ Φέρητος, παπαῖ, οἷ' ἔπραξας δάμαρτος στερηθείς* Nauck, qui olim *δάμαρτος ἀμπλακών* proponebat 227 *δάμαρτος ἄς* Hermann, *δάμαρτα σὰν* Bothe | *δάμαρτος στερείς* Weil 228 *αἶ αἶ* delet Erfurdt 229 sq. *ἢ 'ν βρόχῳ . . οὐρανίῳ πεδῆσαι* Burges

230 *οὐράνιον* Wakefield, *οὐρανίαν* Lenting, *ἀρτανίῳ* Herwerden, *οὐλομένῳ* Hayley | *πελάζειν* Musgrave 232 *ἐν*] *ἔν γ'* Musgrave, *ἀμφ'* Heimsoeth, omittit Gaisford et Hermann | *ἔτ' ὄψει* F. Gu. Schmidt 233 *καὶ δὴ* Elmsley | *χὠ πόσις* Blomfield 234 sq. *Φεραίων αἶα* Holzinger 235 *χθών, ἀρίσταν τάνδε* Musgrave | post *χθών* supplet *στέναξον* Hermann | *χθών, ἰοῦσαν πιστάν* F. Gu. Schmidt, *χθών, ἰοῦσαν*

τὰν ἀρίσταν Hadley | τὰν] λίαν olim Nauck 236 γυναῖκα κατερχομέναν Herwerden 237 καταντῶσαν χθόνιον Reiske, χθόνιον κάτω (si 225 ἄπωσον scribatur) F. Gu. Schmidt, φόνιον κατὰ γᾶς olim coniciebam

243 fort. τὸν ἔπειτ' αἰῶ

254 ἔχων χέρας Monk | Χάρων delet Matthiae, μ' ἤδη eicit Paley 254 sq. ἔχων χέρας ἐπὶ κοντῷ Χάρων καλεῖ μ' ἐπείγων· τί μέλλεις; σὺ κατείργεις Earle 255 sq. σὺ κατείργεις τάδ' ἕτοιμα σπερχομένοις· τάχυνε Hermann 256 τἀμὰ δ' ἕτοιμα vel τάδε δ' ἕτοιμα Reiske | τάδε· τοῖα σπερχόμενος Monk | σπερχομένοις ταχύνειν Bothe, σπερχομένην ταχύνεις F. Gu. Rost 259 ἄγει ⟨σκυθρωπὸς⟩ ἄγει μέ τις Hartung | ἄγει — μέθες — οὐχ ὁρᾷς; Purgold | ὁρᾷς, ⟨Ἄδμητε⟩; Musgrave, ὁρᾷς; ⟨ὁρμᾶται⟩ Wolfg. Bauer, ὁρᾷς; μέθες με (ex v. 262) Hadley 259 sq. ἄγει μ', ἄγει τις — ἄγει μέ τις· οὐ λεύσσεις; ἐνέρων ἐς αὐλὰν Camper

260 ἐς Πλαν Wakefield 260 sq. νεκύων ἐς αὐλάν, βλέπων ὑπ' ὀφρύσιν κυαναυγέσιν (ceteris deletis) F. Allen 261 βλέπων Ἅιδας πτεροῖς. μέθες με Kirchhoff, βλέπων πτερωτὸς θεός Schenkl, βλέπων πτερωτὸς Ἅιδαν Wilamowitz, βλέπων πτερωτός· οὐ μεθήσεις olim coniciebam 261 sq. πτερωτὸς Ἅιδας. τί ῥέξεις; μέθες Nauck 266 μέθετέ με δή Seidler 267 σθένω] fort. σωκῶ 269 σκότια Elmsley | ἐπ' secludit Matthiae | δ' ὄσσοισι Seidler

270 sq. τέκν', οὐκέτι δὴ μάτηρ σφῷν ἔστιν (ceteris deletis) Matthiae 271 ἔστιν correctoris esse syllabas aliquot quae exciderint supplentis putat Dindorf, qui olim verba σφῷν ἔστιν interpolata iudicabat 272 ἰὼ τέκνα Seidler | ὁρᾶτον Naber 273 „potius exspectasses ἀκούειν vel ἀκοῦσαι" Monk 274 κἄλγιον ἐμοὶ παντὸς θανάτου F. Gu. Schmidt | fort. καὶ τἄλγος ἐμοὶ | μεῖζον] χεῖρον Stadtmueller

276 πρός σε τέκνων Lenting 278 etiam ἐν σοὶ δ' ἔχομεν vel ἐν σοὶ τοὐμὸν F. Gu. Schmidt 279 σῆς γὰρ φιλίας ἐχόμεσθα Nindel

282 ἐγὼ σὲ Monk 282 sqq. verba σε πρεσβεύουσα . . θνήσκω (284) eicit Holthoefer, κἀντὶ . . καταστήσασα (283) expellit Nauck 283 fort. καταλλάξασα 284 θνήσκω· παρὸν δὲ Weil 287 ἀλλ' οὐ γὰρ ἠθέλησ' ἀποσπασθεῖσά σου Gomperz | οὐδ' Kirchhoff | οὐκ οὖν θέλουσα ζῆν vel potius οὐκ ἠθέλησα ζῶσ' Earle 288 sq. ἐφεισάμην ἥβης, ἔχουσ' ἐν οἷσι τερποίμην καλά Hartung | verba οὐδ' . . ἐν delet Rassow 289 δῶρ'] πόλλ' vel potius χάρτ' F. Gu. Schmidt

291 αὐτοῖς ἧκον ἐξελθεῖν βίον Rothmann, αὐτοῖς ἧκον ἀμπλακεῖν βίου F. Gu. Schmidt, αὐτοῖς ἧκον ἐκστῆναι βίου Hayley | καταφρονεῖν Mekler, καταλύειν Weil, κάρτ' ἔχειν Holzner 291 sq. ad unum versum redigendos esse putat Holthoefer 292 κεὐκλεεῖς Earle | θανεῖν] φθίνειν Wakefield, πεσεῖν Camper 295 delet Hartung (relinquens versum 651 versu 652 eiecto) 296 κοὐκ] οὐκ Valckenaer

298 θεῶν τις φθονῶν ἔπραξεν Kirchhoff 299 τήνδ' Aldina

304 ἀνάσχου διαδόχους ἔχων F. Gu. Schmidt | δεσπότας ἐῶν olim Nauck, δεσπότας τεκὼν Kayser, δεσπότας νέμων Mekler, δεσπότας ὄντας Tournier, δεσπότας μοι τῶν Kvíčala, δεσπότας σέβων Earle 308 ταῦτα, λίσσομαί σ' ἐγώ olim coniciebam | versum delet Nauck, 308—310 expungit H. Hirzel 309—325 eicit Badham

312 ὃν καὐτὸς αὔξει καὶ προσωφελεῖ πάλιν Mekler, ὃν οὐ προλείπει

412 ⟨καὶ σύ, πάτερ,⟩ ὦ πάτερ Oelschläger 413 sq. οὐδὲ γήρως] οὐδέ γ' ὥρας Nindel | ἥβας τέλος] τέλος ἥβας Hartung, ἥβας σὺν τᾶδε τέλος Nauck 414 verba ἔφθιτο γὰρ πάρος delet Wilamowitz 417 οὐ γάρ σὺ F. Gu. Schmidt

420 ἐπίσταμαί τοι olim Nauck 421 προσέπτετ' ex Brunckii (ad Soph. Ai. 282) sententia 424 τοῦ .. ἀσπόνδου θεοῦ Camper | scholiastam ἄσπονδον legisse suspicantur Ge. Schmid et Weil 427 κάρα ex Phoen. 372 Blomfield | μελαγχίμῳ στολῇ olim Nauck 428 τέθριππα δὲ ζεύγη τε καὶ μονάμπυκας vel τέθριππά τε ζεύγη μονάμπυκάς τε πρὸς Reiske

430 γὰρ σὺ F. Gu. Schmidt 433 οὐδ'] οὐκ Lenting 434 τιμῶν (vel τιμῆς) λίαν, ἐπεὶ τέθνηκεν ἀντ' ἐμοῦ Kvičala | ἐπεί γ' ἔθνῃσκεν Usener | μόνη] μία F. Gu. Schmidt 436 μοι ἐν χθονίοις μυχοῖσι Schumacher | δόμοισι] νόμοισι Musgrave

445 ἢ πολλά (et 435 ἰώ) Lenting 449 κυκλὰς .. ὥρα Scaliger, κύκλον .. ὥρα Hadley

450 sq. (μήνης ἀειρομένους παννύχους κατ' αἴγλας L. Schmidt) 454 μελίαν Bothe 457 τερέμνων Monk 458 Κωκυτοῖό τε ῥεέθρου Earle, Κωκυτοῖό τε ῥεέθρων Hayley 459 τε] σε F. Gu. Schmidt | νερτέροισι κώπᾳ Weil

460 sq. ὦ σὺ μόνα, φίλα γυναικῶν, τὸν ἑαυτᾶς Wilamowitz 463 ἐπάνω πέσοι, ὦ γύναι Seidler | γύναι delet Nauck 464 ἐμοί τ' Hermann Post 468 supplet αἰῶνος δ' ἀκόρεστοι (in v. proximo scribens ὃν ἐτέκοντ' οὐκ) Kayser, κατθανεῖν σύ γ' ἐτόλμας Hadley

471 σύ γ' J. H. H. Schmidt | νέᾳ] νέον Monk, νέα olim Nauck | προθανοῦσ' ἄωρος οἴχῃ F. Gu. Schmidt 472 εἴη μέ τοι Musgrave | συνδυάδος] συζυγίας Herwerden | ἀλόχου delet (τοῦτο relinquens) Nauck
479 Θεσσαλῶν πάλιν Purgold

480 πέμπει] fort. στέλλει 481 sq. Εὐρυσθεῖ στόλον .. συνέζευξαι πόνῳ F. Gu. Schmidt 482 ποῖ καὶ Monk | συνέζευξαι πότμῳ Nauck | πόνῳ Coenen 484 πῶς; οὐ δυνήσῃ Lenting 487 sq. delet G. Collmann 487 πρὸς πόνους Reiske, ἐν πόνοις Lenting 489 ἀγῶν' ἄτρωτον Jacobs | εἰ τόνδ' ἀγῶν' ἄτρωτος Burges

495 χόρτον] δόρπον F. Gu. Schmidt, χεῖλος Nindel 499 ἢ τόνδε Dobree | τόνδ' ἐπ' ὤμου Burges

500 στερρὸς γὰρ Earle | αἰπὺς R. Foerster 501 παίδων Earle
504 (πώλων Earle) 505 ὃς τὸν] ὅστις Koster

514 τέκνων σοι Earle 518—29 suspectos habet A. Schoene

524 fort. οἶδ' ἀντὶ σοῦ νιν (vel σφε) 526 ἐς τότ' Wakefield, οἶκτον F. G. Schmidt 526 sq. delet Wheeler 527 τέθνηχ'· ὁ μέλλων χὼ θανὼν οὐκ ἔστ' ἔτι Canter, τέθνηχ' ὁ μέλλων χὼ φθίνων οὐκ ἔστ' ἔτι Musgrave, τέθνηχ' ὁ μέλλων, κοὐκέτ' ἔστι, κατθανεῖν Bothe, τέθνηχ' ὁ μέλλων κοὐ θανὼν οὐκ ἔστ' ἔτι olim Weil, τέθνηχ' ὁ μέλλων, καὶ θανὼν οὐκ ἔστ' ἔτι Schwarz, τέθνηχ' ὁ μέλλων οὐδὲν ἧσσον ἢ θανών olim coniciebam 528 τό γ' εἶναι Earle | νόμιζέ τι anonymus apud Barnesium

531 ἀρτίως λελείμμεθα F. Gu. Schmidt, ἀρτίως μεθείμεθα Metzger
533 ἀλλ' ὣς vel ἀλλ' ὧδ' Blomfield, ἄμοις δ' F. Gu. Schmidt, ἄλλοις δ' Chr. Baier | ἀλλ' ὅμως ἀναγκαῖα Kvičala 537 ὑπορρίπτεις Tournier
539 τόσον μ' ἔρδοις F. Gu. Schmidt

540 *ὀχληρὸν* Dobree | etiam *ὀχληρὸς η δόμοις* F. Gu. Schmidt | *ἢν μόλῃ* J. Heiland 542 *αἰσχρόν τι παρὰ κλαίουσι* Elmsley, *αἰσχρὸν δὲ* (vel *τὸ*) *παρὰ κλαίουσι* Erfurdt, *αἰσχρόν γε* (vel *ἀλλ' αἰσχρὰ*) *παρὰ κλαίουσι* Dobree, *αἰσχρὸν παρὰ πταίουσι* S. Mekler, *αἰσχρὸν παρὰ στένουσι* H. Mueller, *ἀλλ' αἰσχρὸν ἐν κλαίουσι* Weil, *αἰσχρὸν γὰρ ἐν κλαίουσι* Weidner 543 *εἰσιν οὔ σε δαίσομεν* F. Gu. Schmidt 546 sq. *τῶν δὲ..τοῖς γ'* Lenting 548 *ἐν*] *εὖ* England

553 *σφε*] *σοι* Lenting 558 *ἀποξένους* Nauck

565 sq. *καὶ σοὶ μὲν..αἰνέσεις* Earle

578 *σῶν δ'* Hadley | *χαρᾷ μελέων*] *χάρων τε λέων* Canter, *χαρώψ τε λέων* Js. Vofs

580 *ἔβα τε* Musgrave 585 *πέρα* Herwerden

590 sqq. *ἀρότου δὲ τιθεὶς κάμπελίων δαπέδοις ὅρον ἀμφὶ..ἱππόστασιν, ἐν θέρει δ' αὖ Μολοσσῶν ἐπὶ γᾶν* Burges 594 *αἰθέρα*] *ἐσχάραν* Canter, *ἐσχατιὰν* Musgrave, *ἀόνα* Purgold | *τὸν* Wakefield | post *Μολοσσῶν* supplet *ὀρέων* Wolfg. Bauer, *φλογερὰν* Schumacher 594 sq. *τίθεται· ⟨πρὸς ἕω δ'⟩ ἀντίαν Αἰγαίων'* Kayser 595 *δ' αἰγιαλὸν* Musgrave | *ἐπ' αὐγὰν* Wakefield 597 *καὶ νῦν δὴ* (et 588 *τοιγάρτοι*) Kirchhoff 599 *νέκυν εἶν* Earle

602 *ἀγαθοῖς δ' ἀεὶ πάντ'* Burges 604 *θράσος* (et 595 *Αἰγαῖον*) Barnes 606 *εὐγενὴς* Elmsley

613 *νερτέρων τ'* Wakefield 617 *φέρειν σ'* Lenting | *δυσχερῆ* Nauck, *δυστυχῆ* Kirchhoff, *δυσφερῆ* Kvíčala, *δυσπετῆ* F. Gu. Schmidt, *δύσλοφα* Mekler 618 sq. verba *καὶ..σῶμα* delet Rassow 619 *ἰὸν τὸ ταύτης σῶμα* Bothe

632 *οὐ γάρ τι δώρων* Weidner, *οὐ γάρ τι τιμῶν* Mekler, *οὐ γὰρ τοιούτων* Vitelli, *οὐ γάρ τι νομίμων* Holzner | *φανήσεται* Weil | versum spurium iudicat Nauck 634 *σὺ*] *νῦν* Dobree 635 *γέρων ὢν*] *γεραιός* Earle | *τόνδ'*] fort. *εἶτ'* (vel *νῦν*) 637 *καλουμένη* Earle

642 *ἦ κάρτα πάντων* Reiske 643 *ὁ τηλίκος δ' ὢν* Duport | *ὃς*] *εἰ* Valkenaer 644 *οὐκ ἠμέλησας* Weil 646 *ὀθνεῖον* Earle 647 *καὶ πατέρ' ἔτ' ἐνδίκως* Hartung, *καὶ πατέρ' ἂν ἐνδίκως* Weil | *μόνην*] *ἐμοὶ* Nauck, *θανεῖν* Kirchhoff, *ὁμοῦ* F. Gu. Schmidt, *νέμων* Kvíčala | fort. *καὶ πατέρ' ἂν ἡγοίμην ἂν ἐνδικώτατα* 649 *κατθανεῖν* Earle

651 sq. ante 666 inserit, deleto versu 665, Rassow 653 *χρῆν* Monk 656 *δόμον*] *θρόνον* R. Prinz 658 sq. *ὡς ἀτιμάζω τὰ σοῦ κοὐ τλὰς θανεῖν προύδωκά σ'* Rassow 658—61 delet Badham

661 *ἠλλάξατον* Valckenaer 662—65 delet A. Jacob 666 sq. *οὐ δ' ἐμοῦ τυχὼν..κείνου μέλω* (vel *κείνου γ' ἐρῶ*), deleto v. 668, F. Gu. Schmidt 667 *κείνου τόδε* vel *κεῖνον σέβω*, deleto versu proximo, Nauck, *κείνου γ' ἐγώ* Kvíčala, *κείνου μ' ἐρῶ* vel *κείνου δ' ἐγώ* Weil (item eiecto versu proximo)

671 *οὔτις βούλεται* Bothe, *οὐδὲ εἷς θέλει* vel potius *οὐδ' ἂν εἷς θέλοι* (vel *οὔ τι βούλεται*) Nauck, *οὐχὶ βούλεται* (et 672 *αὐτῷ*) Weil | *οὐδεὶς ἂν ποθοῖ* Holzner (*οὐδ' ἂν εἷς ποθοῖ* mavult Gomperz) 672 *δ'*] *τ'* Lenting 673 *παῦσαι· ἔσθ'* Nindel 673 sq. *παῦσαι, πατρὸς δὲ μὴ παροξύνῃς φρένας λώβαις· ἅλις .συμφορά* F. Gu. Schmidt | *συμφορὰ σοί, παῖ* O. Goram 674 *ὦ παῖ*] *νείκους* Hartung, *ἅλις* Kvíčala, *παλαιοῦ* O. Hense 675 *ὦ παῖ*] *παπαῖ* Bothe 676 *δόμων ἐλαύνειν*

Rassow 679 sq. *ἄγαν γ'* Dobree | *καὶ*] *παῖ* Weil, unde olim *παῖ .. κοὐ βαλὼν* scribebam

680 *οὐ μάτην* Reiske, *αὖ λαβὼν* Orelli 682 *κἄθρεψ' ὀφείλων*, *οὐχ* Musgrave 685 *δυστυχεῖς .. εὐτυχεῖς* Elmsley 687 *μὲν ἀρχάς* Wakefield (praeferrem *ἀρχήν*) 687 sq. *πόλεως μὲν ἀρχάς, πολυπλέθρους δὲ καὶ γύας, λήψῃ δὲ πατρὸς ἅπερ ἐδεξάμην πάρα* F. Gu. Schmidt | *πολυπλέθρους δ' ἔχεις γύας*, versu proximo abiecto, Nauck | duos versus delet A. Jacob

690 post 691 collocat F. Gu. Schmidt 692 *τί μήν*; Reiske, *καὶ μὴν* Elmsley 694 *τὸ μὴ οὐ* Lenting 695 fort. *παρελθὼν ἡμέραν πεπρωμένην* 696 *κἄτ'* Lenting

701 *ὀνειδιεῖς* anonymus 703 *ἢ σὺ* vel *ὡς σὺ* F. Gu. Schmidt 706 *νῦν γ' ἔτ' ἢ τὸ πρὶν* Kirchhoff 708 *ὥς σ' ἐμοῦ 'λέγξαντος* Markland ex scholio *λέγε ὡς καὶ ἐμοῦ κακῶς ἐλέγξαντος* (*ἐλέγξοντος*), *δι' ὧν οὐκ ἠθέλησας ὑπὲρ ἐμοῦ ἀποθανεῖν*, ubi *κακῶς σε λέξαντος* correxit L. Dindorf, *ἀλγεῖς σ' ἐμοῦ 'λέγξαντος* Burges, *λέγ', ὡς ἐμοῦ 'λέγξοντος* F. Guil. Rost

713 *καὶ μηδενὸς σὺ μείζονα ζώης* Lenting. Post 713 lacunam statuit Schenkl 716 *ἀλλ' οὐ νεκρὸν σύ γ'* Nauck 717 *σῆς γ'* Herwerden 717—24 sic disponit: 721. 720. 717. 718. 723. 722. 719. 724 Holzner 717 *τοῦδ' ἔτ'* Kirchhoff 719 sq. delet Wheeler

720 *μνήστευ' ἔτ' ἄλλας* vel *μνήστευε πλείους* F. Gu. Schmidt 723 *ἀνδράσιν*] *ἄρσεσιν* A. Jacob 724 *οὐκοῦν γελᾷς γε τόνδε* F. Gu. Schmidt | *γέροντι* Js. Voſs 725 *φανεῖ γε* olim Prinz 728 *ἡ δ'* Barnes, *ὅδ'* Reiske, *σὺ δ'* Herwerden | *σὺ δ' οὐκ ἀναιδής; τήνδε γ'* (vel *δ'*) *ηὗρες ἄφρονα* F. Gu. Schmidt

730 *θάψαις* vel *θάψαι* Purgold 731 *δώσεις*] fort. *τίσεις* 732 *ἐν ἄρσεσιν* A. Jacob 735 *κἄπαιδε* (et antea *ἔρροις*) Blomfield 736 *στέγος*] *τέγος* Lenting 739 *τοὔμπεσὸν* Weil

753 *οὔτι*] *οὐχὶ* Lenting 756 *κρατῆρα δ' ἐν χείρεσσι* B. Martin, *ποτῆρα δ' ἐν ταῖς χερσὶ* Cobet, *ποτῆρα δ' εὐθὺς χερσὶ* Nauck, *ποτῆρα δ' εὐρὺν χερσὶ* Weil, *ποτῆρα δ' εἶτ' ἐν χερσὶ* Hayley

760 sq. verba *δισσὰ .. ᾗδε* ut omissa in *LP* eicit Hayley

771 *ἆρ' οὐ* Porson

780 *οἶσθ' ἄρ'* Hartung 782 delet Lachmann

790 *τὸ πλεῖστον* Wakefield 790—802 delet Holthoefer 792 *ταῦτα*] *πάντα* Markland 793 *λέγειν*] *φρονεῖν* F. Gu. Schmidt 795 *πίει μεθ' ἡμῶν* ⟨*κατακλινείς, ἀνθῶν κάρα*⟩ Herwerden | *τύχας*] *πτύχας* Wakefield, *τύκας* Schwerdt | 797 *ξυνοφρύος κακοῦ* Weidner | *φρενῶν*] *τρόπον* Nauck, *βλέπους* Dindorf 798 *σκύφῳ* J. Heiland

807 *πῶς ζῶσιν;* Tournier | *οὐκ ἄρ' οἶσθα* Cobet 808 *εἰ μή γε* Elmsley | *σός γε δεσπότης μ'* Lenting 809 *ὦ τᾶν, ἐκεῖνος* F. Gu. Schmidt

810 *εὖ παθεῖν* Weil 810 sq. spurios habet R. Prinz 812 *τὴν οὖσαν* Markland, *σύνοικον* F. Gu. Schmidt 814 *ὃ δ' οὐ .. ἀλγεῖ πότμῳ* vel *τῷδ' οὐ .. ἄρ' ἦν ὄτλος*; F. Gu. Schmidt | *ἄρχει*] *ἀλγεῖ* Purgold, *ὄζει* Tournier 815 *οὐ γάρ σε .. ἠχθόμην ἐγὼ* Lenting 816—19 delet, in scholio ad v. 820 adscripto *τέσσαρα* pro *τρία* scribens, Nauck 817 *δέοντι*] *πρέποντι* Tournier 817—20 eicit, scribens 816 *πέπονθε δεινά τις*, B. Hannemueller 818 *ΗΡ. πένθος γὰρ ὑμῖν ἐστι; ΘΕ. κἂν*

940 διάξων.. μανθάνω Musgrave 941 δόμους τούσδ' εἰσορῶν olim Monk 943 εἰσόδου] εἰσδοχῆς Earle | versum delet Nauck

951 ἑλῶσι] τηροῦσι Reiske, 'ξελῶσι Dobree

960 κύδιμον Musgrave | κέρδος ἦν, φίλοι Blomfield, κέρδος, ὦ φίλοι Hayley 965 οὐδὲν κρεῖσσον olim Nauck 969 sq. Ὀρφεῖαι κατέγραψαν χεῖρες Reiske

· 970 παρ' Ἀσκληπιάδαις ἔδωκε Bothe 971 ἀντίτομον Kvičala 974 fort. θεῶν

980 (δαμάζει σου βία Canter) 986 ἄνω] βροτῶν Earle, ἄναξ vel potius in v. 985 οὐ γὰρ σύ γ' ἄξεις Hayley

992 φίλα δὲ θανοῦσ' ἄπεστιν olim coniciebam, φίλα δὲ καὶ ἐν θανοῦσιν vel φίλα δὲ κάτω θανοῦσα Weil

1003 μάκαρ (et 992 θανοῦσ' ἔσται) Groeppel 1004 εὖ διδοίης Tyrwhitt, fort. εὖ δ' ὀδοίης 1005 τοίαισιν (vel τοίαις νιν).. φήμαις Dobree | φᾶμαι] φωναί F. Gu. Schmidt

1010 ἐγὼ μὲν Reiske, ἔγωγε Lenting 1011 φίλον Hayley 1015 ἐλειψάμην] ἐσπεισάμην Aldina

1020 τήνδ' ἐμοὶ Matthiae 1021 Θρῄσσας Scaliger, Θρῃκίους Barnes 1023 sq. delebat olim Nauck („nescio utrum interpolati sint an corrupti")

1031 νικῶσι] κρατοῦσι Earle 1033 τὸ δ' εὐκλεές Lenting 1035 πόνῳ Ἔλαβον deleto versu 1036, olim Nauck 1036 ἥκω] ἔχω Burges | ἴσως suspectum habet Nauck

1045 μηδέ με μνήσῃς vel μηδέ μ' ἀμμνήσῃς Hadley 1045—7 ξένοι Φεραίων, τήνδ' ὁρᾶν ἐν δώμασιν οὐκ ἂν δυναίμην· μὴ νοσοῦντί μοι νόσον, ceteris deletis, F. Gu. Schmidt 1049 στρέφοιτ' Wakefield

1051 κατ' ἀνδρῶν' ἢ τίν' οἰκήσει Weidner | δῆθεν οἰκήσει Reiske | στέγῃ Hartung 1054 προθυμίαν Francken 1058 με λέξῃ Dobree | τὴν ἐμὴν συνευνέτιν F. Gu. Schmidt

1060 sq. ἀξίως δέ νιν σέβειν πολλήν Rassow 1062 ταὖτ' ἔχεις Weil 1062 sq. μορφῆς μέτρ' ἴσθι ταὖτ' ἔχουσ' Ἀλκήστιδι, ceteris deletis, R. Prinz 1063 καὶ προσῃκῖχθαι δέμας Musgrave, καὶ δέμας προσεμφερές Nauck, καὶ προσεικαστὸν δέμας Mekler, καὶ πρὸς ἤιξαι δέμας England | προσήϊκται Wolfg. Bauer, fort. προσῄκασαι 1065 ἡσσημένον Wakefield

1070 οὐ λέγοιμ' ἂν εὖ σ' ἔχειν τύχης F. Gu. Schmidt 1071 ὅστις εἶσι Hermann, ἥτις εἶσι Nauck, ὥς τις εἶσι Kvičala, ὅσιος εἶ σύ F. Gu. Schmidt, ἥτις εἴη Hayley, ὅστις ἔμφρων England, ὅστις εἶ, σε vel ὅστις ἧκε Hadley | θεοῦ] Διὸς Burges 1074 τήνδ' ἐπόρσυν' ἂν nescio quis 1075 ποῦ] πῇ Purgold 1079 ἢ θέλεις Tournier

1081 ἄγει μακρὰν Tournier 1086 ὀρθῶς λέγοις ἂν Nauck 1088 οὐκ ἄρ' Lenting 1089 χηρεύσεις μόνος Monk, ἄνευ κοίτης (vel λέκτρων) μενεῖς Hayley

1090 οὐκ ἔστι· τίς τῷδ' ἀνδρὶ olim Nauck | συγκλινήσεται Herwerden 1092 ὅπου πάρεστι Weidner 1093 αἰδῶ μὲν αἰνῶ olim R. Prinz Ante 1094 duos versus excidisse arbitratur Kirchhoff 1094 οὐ μήποτ' ἄνδρα.. καλεῖς Kvičala 1097 τήνδε γ' ἐνναίειν F. Gu. Schmidt

1104—7 delet Wheeler 1106 ἐμέ Monk. Post 1106 lacunam

statuit Schenkl 1107 verba *εἰδώς τι* suspecta habet R. Prinz | *προμηθίαν* Kayser 1107 sq. delet Nauck

1112 *ἐσάγαγ'* Kirchhoff 1118 *Γοργόν' ὡς καράτομον* Elmsley, *Γοργόν' ὡς καραδοκῶν* Wesener | verba *Γοργόν' ὡς καρατομῶν* Herculi tribuit Weil 1119 *νῦν σῷζέ νιν* vel potius *ΗΡ. ⏑ – ἔχεις; ΑΔ. ναί. ΗΡ. σῷζέ νυν* Tournier 1119 sq. suspectos habet Nauck

1121 *βλέψον πρόσωπον* Weil 1123 sq. *τί λεύσσω; . . γυναῖκα λέξω τήνδ' ἐμὴν* Earle 1125 *κερτόμῳ με θεῶν τις ἐκπλήσσει χαρᾷ*, nisi v. spurius sit, Wheeler (mallem *κέρτομος με θεῶν τις ἐκπλήσσει φρενῶν*), *κερτόμου μ' ἐκ θεοῦ τις . . χαρά;* A. Jacob, *κέρτομός με θεῶν τις ἐκπαίζει τάχα;* (vel *θέα τις ἐμπαίζει τάχα;*) F. Gu. Schmidt, qui olim *κέρτομός με θεῶν τις ἐκπλήσσει κέαρ* (vel *κόρας*) proposuerat | *χάρις* Kvičala 1126 *οὐκ ἔστιν ἄλλως· τήνδ'* olim Nauck, *οὐκ ἔστιν ἄλλη· τήνδ'*, versu 1125 deleto, Radermacher | *ἀλλ' αὐτὴν* Markland

1127 *ὁρμῶ γὰρ εἰ μὴ φάσμα* Reiske | *ἀλλ' ἦ τι φάσμα νερτέρων τόδ' εἰσορῶ;* Kirchhoff 1128 *σὺ ψυχαγωγὸν* Wakefield | (*τόνδε ποίησαι* Reiske) 1129 *εἰσορῶ ξυνάορον* Mekler

1134 *οὔποτ'*] *οὐκέτ'* Earle 1136—8 delet Lachmann 1138 *σὺ γὰρ τἄμ' ἐξανώρθωσας μόνος* Aldina

1140 *δαιμόνων τῷ κυρίῳ* defendit Kvičala, cfr. schol. 1141 *φῇς*] *ἔτλης* R. Prinz 1145 *κλύειν*] fort. *τυχεῖν*

1152 *ἐπείγεσθαι*] *ἀπέρχεσθαι* F. Gu. Schmidt 1153 *νόστιμος* Scaliger | *νόστιμόν τ' ἔλθοις πόδα* Lenting, *νόστιμος δ' ἔλθοις πάλιν* Kayser, *νόστιμον δ' ἴδοις φάος* Mekler, *νόστιμος δ' ἔλθοις δόμον* Kolanowski | *δρόμον* Wilamowitz, *πόρον* Headlam 1154 *πάσης ἐννέπω τετραρχίας* Reiske | *τετραπτόλει* Nauck 1156 *ὁδοὺς τε κνισᾶν* Js. Voſs

1157 *μεθωρμίσμεσθα* Wakefieldium secutus Purgold

statuit Schenkl 1107 verba *εἰδώς τι* suspecta habet R. Prinz | *προμηθίαν* Kayser 1107 sq. delet Nauck

1112 *ἐσάγαγ'* Kirchhoff 1118 *Γοργόν' ὡς καράτομον* Elmsley, *Γοργόν' ὡς καραδοκῶν* Wesener | verba *Γοργόν' ὡς καρατομῶν* Herculi tribuit Weil 1119 *νῦν σῷζέ νιν* vel potius *HP.* ⏑ – *ἔχεις; AΔ. ναί. HP. σῷζέ νυν* Tournier 1119 sq. suspectos habet Nauck

1121 *βλέψον πρόσωπον* Weil 1123 sq. *τί λεύσσω; . . γυναῖκα λέξω τήνδ' ἐμὴν* Earle 1125 *κερτόμῳ με θεῶν τις ἐκπλήσσει χαρᾷ*, nisi v. spurius sit, Wheeler (mallem *κέρτομος με θεῶν τις ἐκπλήσσει φρενῶν*), *κερτόμου μ' ἐκ θεοῦ τις . . χαρά;* A. Jacob, *κέρτομός με θεῶν τις ἐκπαίζει τάχα;* (vel *θέα τις ἐμπαίζει τάχα;*) F. Gu. Schmidt, qui olim *κέρτομός με θεῶν τις ἐκπλήσσει κέαρ* (vel *κόρας*) proposuerat | *χάρις* Kvičala 1126 *οὐκ ἔστιν ἄλλως· τήνδ'* olim Nauck, *οὐκ ἔστιν ἄλλη· τήνδ'*, versu 1125 deleto, Radermacher | *ἀλλ' αὐτὴν* Markland

1127 *ὁρμῶ γὰρ εἰ μὴ φάσμα* Reiske | *ἀλλ' ἦ τι φάσμα νερτέρων τόδ' εἰσορῶ;* Kirchhoff 1128 *σὺ ψυχαγωγὸν* Wakefield | (*τόνδε ποίησαι* Reiske) 1129 *εἰσορῶ ξυνάορον* Mekler

1134 *οὔποτ'*] *οὐκέτ'* Earle 1136—8 delet Lachmann 1138 *σὺ γὰρ τἄμ' ἐξανώρθωσας μόνος* Aldina

1140 *δαιμόνων τῷ κυρίῳ* defendit Kvičala, cfr. schol. 1141 *φῂς*] *"τλῃς* R. Prinz 1145 *κλύειν*] fort. *τυχεῖν*

1152 *ἐπείγεσθαι*] *ἀπέρχεσθαι* F. Gu. Schmidt 1153 *νόστιμος* Scaliger | *νόστιμόν τ' ἔλθοις πόδα* Lenting, *νόστιμος δ' ἔλθοις πάλιν* Kayser, *νόστιμον δ' ἴδοις φάος* Mekler, *νόστιμος δ' ἔλθοις δόμον* Kolanowski | *δρόμον* Wilamowitz, *πόρον* Headlam 1154 *πάσης ἐννέπω τετραρχίας* Reiske | *τετραπτόλει* Nauck 1156 *ὁδοὺς τε κνισᾶν* Js. Voſs

1157 *μεθωρμίσμεσθα* Wakefieldium secutus Purgold

# EURIPIDIS

# HECUBA

EDIDIT

RUDOLFUS PRINZ.

EDITIO ALTERA QUAM CURAVIT

N. WECKLEIN.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MCMII.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

## Praefatio.

Codices, quos ad Hecubam recensendam adhibui et ipse contuli, sunt hi:

*A* = codex Marcianus 471 (plut. XCI, 1), in membranis formae quartae maioris saeculo XII scriptus. continet fol. 1—19$^r$ Dionysii orbis descriptionem cum scholiis, fol. 20$^r$—155$^v$ Euripidis Hecubam, Orestem, Phoenissas, Andromacham, Hippolyti v. 1—1234 cum scholiis et glossis ab eadem manu postea additis. in fine mutilus est. correxerunt complures manus recentiores diverso atramento.

*a* = codex Parisinus 2313, saeculo XII exeunte vel ineunte XIII scriptus in membranis, codici optimo Marciano in Hecuba, Oreste, Phoenissis simillimus. hunc codicem et sequentes descripsi in praefatione Medeae. folia prima perierunt, pro quibus alia inserta sunt a manu saec. XV (f. 1—8) et a manu saec. XVI (f. 9—16) scripta. has recentes manus non respexi et lectiones codicis inde a v. 523 annoto, a quo incipit manus antiqua.

*B* = codex Vaticanus 909, bombycinus saeculi XIII. in Hecuba multa folia exciderunt, ut nunc desint versus 212—256 et 712—1069. duobus foliis chartaceis insertis supplevit v. 712—793 manus recens saeculi XV, cuius lectiones, ut par est, neglexi.

*E* = codex Parisinus 2712, membranaceus saec. XIII. codex inde a pag. 3 usque ad pag. 8 mutilus est in angulo superiore parte membranarum abscisa.

*L* = codex Laurentianus 32, 2, chartaceus saec. XIV.

# Notarum index.

$A$ = cod. Marcianus 471
$A^1$ = manus prima. $A^2$ = complures manus recentiores
$a$ = cod. Parisinus 2713
$a^1$ = manus prima. $a^2$ = manus secunda. $a^3$ = complures manus recentiores
$B$ = cod. Vaticanus 909
$B^1$ = manus prima. $B^2$ = manus antiqua correctrix. $b$ = manus recentior. $b^s$ = $b$ superscripsit
$E$ = cod. Parisinus 2712
$E^1$ = manus prima. $E^2$ = manus recentiores

$L$ = cod. Laurentianus 32, 2
$L^1$ = manus prima. $l$ = manus recentior
$G$ = cod. Laurentianus 172
$G^1$ = manus prima. $g$ = manus recentior

---

$r$ = reliqui libri
*rec.* = alii recentiores libri
$*$ = litera vel accentus erasus

# ΕΥΡΙΠΙΔΟΥ

# ΕΚΑΒΗ

## Ὑπόθεσις Ἑκάβης.

*Μετὰ τὴν Ἰλίου πολιορκίαν οἱ μὲν Ἕλληνες εἰς τὴν ἀντιπέραν Τρῳάδος Χερρόνησον καθωρμίσθησαν, Ἀχιλλεὺς δὲ νυκτὸς ὁραθεὶς σφαγῆναι ἠξίου μίαν τῶν Πριάμου θυγατέρων. οἱ μὲν οὖν Ἕλληνες τιμῶντες τὸν ἥρωα Πολυξένην ἀποσπάσαντες Ἑκάβης ἐσφαγίασαν· Πολυμήστωρ δὲ ὁ τῶν Θρᾳκῶν βασιλεὺς ἕνα τῶν Πριαμιδῶν Πολύδωρον κατέσφαξεν. εἰλήφει δὲ τοῦτον παρὰ τοῦ Πριάμου ὁ Πολυμήστωρ εἰς παρακαταθήκην μετὰ χρημάτων. ἁλούσης δὲ τῆς πόλεως, κατασχεῖν αὐτοῦ βουλόμενος τὸν πλοῦτον φονεύειν ὥρμησεν καὶ φιλίας δυστυχούσης ὠλιγώρησεν. ἐκριφέντος δὲ τοῦ σώματος εἰς τὴν θάλασσαν, τὸ κλυδώνιον πρὸς τὰς τῶν αἰχμαλωτίδων σκηνὰς αὐτὸν ἐξέβαλεν. Ἑκάβη δὲ τὸν νεκρὸν θεασαμένη ἐπέγνω, κοινωσαμένη δὲ τὴν γνώμην Ἀγαμέμνονι, Πολυμήστορα σὺν τοῖς παισὶν αὐτοῦ ὡς ἑαυτὴν μετεπέμψατο, ὡς ἵνα θησαυροὺς ἐν Ἰλίῳ μηνύσῃ αὐτῷ· παραγενομένου δὲ τοὺς μὲν υἱοὺς κατέσφαξεν, αὐτὸν δὲ τῶν ὀφθαλμῶν ἐστέρησεν· ἐπὶ δὲ τῶν Ἑλλήνων λέγουσα τὸν κατήγορον ἐνίκησεν· ἐκρίθη γὰρ οὐκ ἄρχειν ὠμότητος, ἀλλ' ἀμύνασθαι τὸν κατάρξαντα.*

---

Argumentum deest in *ABL*; quod exhibui extat in *E* *ὑπόθεσις πολυδώρου* superscriptum argumento, quod invenitur in *G* alio atramento postea additum (vol. VI p. 3 edit. Matth.), cf. Gregorium Corinthium p. 17: *ἀλλὰ καὶ Εὐριπίδης ἐν Πολυΐδῳ* (leg. *Πολυδώρῳ*) *τῷ δράματι οἶσθ' οὖν ὃ δρᾶσον* (v. 225) *ἀντὶ τοῦ δράσεις ἐξήνεγκε* | lin. 11 *δυστυχούσης* in aliis libris, *δυστυχοῦς* *E* 15 post *μετεπέμψατο* addunt alii libri *κρύπτουσα* (vel *κρύψασα*) *τὸ γεγονὸς* 16 *ἵνα* om. *E*, habent alii libri | *παραγενομένου* in aliis libris, *παραγενομένῳ* *E* 19 addunt alii libri: *ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῇ ἀντιπέραν Τροίας Χερρονήσῳ· ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν αἰχμαλωτίδων· προλογίζει δὲ εἴδωλον Πολυδώρου.*

## ΠΟΛΥΔΩΡΟΥ ΕΙΔΩΛΟΝ.

*Ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας*
*λιπών, ἵν' Ἅιδης χωρὶς ᾤκισται θεῶν,*
*Πολύδωρος, Ἑκάβης παῖς γεγὼς τῆς Κισσέως*
*Πριάμου τε πατρός, ὅς μ', ἐπεὶ Φρυγῶν πόλιν*
*κίνδυνος ἔσχε δορὶ πεσεῖν Ἑλληνικῷ,*
*δείσας ὑπεξέπεμψε Τρωικῆς χθονὸς*
*Πολυμήστορος πρὸς δῶμα Θρῃκίου ξένου,*
*ὃς τήνδ' ἀρίστην Χερσονησίαν πλάκα*
*σπείρει, φίλιππον λαὸν εὐθύνων δορί.*
*πολὺν δὲ σὺν ἐμοὶ χρυσὸν ἐκπέμπει λάθρᾳ*
*πατήρ, ἵν', εἴ ποτ' Ἰλίου τείχη πέσοι,*
*τοῖς ζῶσιν εἴη παισὶ μὴ σπάνις βίου.*
*νεώτατος δ' ἦ Πριαμιδῶν, ὃ καί με γῆς*
*ὑπεξέπεμψεν· οὔτε γὰρ φέρειν ὅπλα*
*οὔτ' ἔγχος οἷός τ' ἦ νέῳ βραχίονι.*
*ἕως μὲν οὖν γῆς ὄρθ' ἔκειθ' ὁρίσματα*
*πύργοι τ' ἄθραυστοι Τρωικῆς ἦσαν χθονὸς*
*Ἕκτωρ τ' ἀδελφὸς οὑμὸς ηὐτύχει δορί,*
*καλῶς παρ' ἀνδρὶ Θρῃκὶ πατρῴῳ ξένῳ*

---

*εὐριπίδου ἑκάβη* superscr. *ALG*, minio superscr. al. man. rec. in *L πολυδωρ* (ceterae literae abscisae sunt) 1 *κεθμῶνα A υ* sup. *εθ* scr. $A^2$ | *γρ. καὶ σκότους* $A^1$ in marg. scholia scribens 3 schol. *ἔνιοι δὲ γράφουσιν· Ἑκάβης παῖς γεγὼς τῆς Κισσίας* (*κισσίας* Marc. 469, *κισσέως A*) et *γρ. τῆς κισσέως* (*Κισσίας* Kirchhoff) 5 *ἔσχε G ἔσχεν g* | *δουρὶ BG* 7 *θρῃικίου A θρῃκίου G*] *θρηϊκίου r* $A^2$ 8 *τήνδ'* Hermann] *τὴν* libri | *Χερσονησίαν* Brunck] *χερρονησίαν* libri 10 *λάθρα* libri 11 *πέση G οι* sup. *η* scr. $G^1$ 13 *ἦ*] *ἦν* libri, cfr. schol. cod. Vat. 1345 *ἀντὶ τοῦ ἤμην φησίν. Ἀττικῶς δὲ ἦν. καὶ χωρὶς δὲ τοῦ ν ἦ ἀντὶ τοῦ ἔα. οὕτω Δίδυμος. ἐν μέντοι τοῖς ἀντιγράφοις ἦν φέρεται καὶ κοινὴ ἀνάγνωσις ἦν*, quod scholium primitus ad *ἦ* pertinuisse apparet
15 *οἷός τ'*] *οἷσ τ' A ο* sup. *σ* scr. $A^2$ *τ' οἷος B οἷος* $B^2$ | *ἦν* libri 16 *ἔκειτ' ἐρείσματα* Scaliger 18 *ηὐτύχει BLG*] *εὐτύχει AE* 19 *ξένῳ*] *φίλῳ LG*

*τροφαῖσιν ὥς τις πτόρθος ηὐξόμην τάλας·*
*ἐπεὶ δὲ Τροία θ' Ἕκτορός τ' ἀπόλλυται*
*ψυχὴ πατρῴα θ' ἑστία κατεσκάφη*
*αὐτός τε βωμῷ πρὸς θεοδμήτῳ πίτνει*
*σφαγεὶς Ἀχιλλέως παιδὸς ἐκ μιαιφόνου,*
*κτείνει με χρυσοῦ τὸν ταλαίπωρον χάριν*
*ξένος πατρῷος καὶ κτανὼν ἐς οἶδμ' ἁλὸς*
*καθῆχ', ἵν' αὐτὸς χρυσὸν ἐν δόμοις ἔχῃ.*
*κεῖμαι δ' ἐπ' ἀκτῆς, ἄλλοτ' ἐν πόντου σάλῳ*
*πολλοῖς διαύλοις κυμάτων φορούμενος,*
*ἄκλαυτος ἄταφος· νῦν δ' ὑπὲρ μητρὸς φίλης*
*Ἑκάβης ἀίσσω, σῶμ' ἐρημώσας ἐμόν,*
*τριταῖον ἤδη φέγγος αἰωρούμενος,*
*ὅσονπερ ἐν γῇ τῇδε Χερσονησίᾳ*
*μήτηρ ἐμὴ δύστηνος ἐκ Τροίας πάρα.*
*πάντες δ' Ἀχαιοὶ ναῦς ἔχοντες ἥσυχοι*
*θάσσουσ' ἐπ' ἀκταῖς τῆσδε Θρῃκίας χθονός·*
*ὁ Πηλέως γὰρ παῖς ὑπὲρ τύμβου φανεὶς*
*κατέσχ' Ἀχιλλεὺς πᾶν στράτευμ' Ἑλληνικόν,*
*πρὸς οἶκον εὐθύνοντας ἐναλίαν πλάτην·*
*αἰτεῖ δ' ἀδελφὴν τὴν ἐμὴν Πολυξένην*
*τύμβῳ φίλον πρόσφαγμα καὶ γέρας λαβεῖν.*
*καὶ τεύξεται τοῦδ' οὐδ' ἀδώρητος φίλων*
*ἔσται πρὸς ἀνδρῶν· ἡ πεπρωμένη δ' ἄγει*
*θανεῖν ἀδελφὴν τῇδ' ἐμὴν ἐν ἡμέρᾳ.*

---

20 *τροφεῦσιν E* | *ὅστις A ὥστις* $A^{2}$ | *τάλας*] *μέγας* Earle 21 *τ'* om. *E* | *ἀπόλλυται B ο* sup. *αι* scr. *b ἀπόλλυται L ο* in *ω* mut. et *ται* rescr. *l ἀπώλετο g* in marg. scr. et sic schol. Hec. 177 22 fort. *πατρῷός* | *κατεσκάφθη E* 23. *τε*] *δὲ BE* | *λιθοδμήτωι A γρ. πρὸς θεοδμήτωι* $A^{2}$ in marg. scr. scholia scribens | *πιτνεῖ* libri 26 *ξεῖνος E* | *καθῆχ'* Herwerden] *μεθῆχ'* libri 28 *ἐπακτῆς A*] *ἐπ' ἀκταῖς r* | *ἄλλοτε πόντου A* | *σάλῳ* om. *A* add. $A^{2}$ 30 *ἄκλαυτος L*] *ἄκλαυστος r* | *ἄταφος* ante *ἄκλαυτος* (*ἄκλαυστος G*) ponunt *LG* 33 *ὅσον L περ* superscr. *l ἐστιν* superscr. $L^{1}$ | *Χερσονησίᾳ* Brunck] *χερρονησίᾳ* libri 35 *δ'*] *τ' A* 36 *θρῃϊκίας B θρῃϊκίης L* 38 *γρ. καὶ ἀχαϊκόν* $A^{1}$ in marg. scholia scribens 39 *ἐναλίαν AB*] *εἰναλίαν r*$A^{2}$, fort. *ἐνάλιον* | *πλάταν L* 42 *τοῦδ'*] *τοῦ δὲ G* | *οὐ γὰρ L* 44 *τῇδ' ἐμὴν ἐν ἡμέρᾳ* scripsi] *τὴν ἐμὴν τῇδ' ἡμέρᾳ AGl τὴν ἐμὴν* ****** *L γρ. τῷδ' ἐμὴν ἐν ἤματι* in marg. ad v. 40 adscr. scholia scribens $A^{1}$ *τῷδ' ἐμὴν ἐν ἤματι BE*

*δυοῖν δὲ παίδοιν δύο νεκρὼ κατόψεται*
*μήτηρ, ἐμοῦ τε τῆς τε δυστήνου κόρης.*
*φανήσομαι γάρ, ὡς τάφου τλήμων τύχω,*
*δούλης ποδῶν πάροιθεν ἐν κλυδωνίῳ.*
*τοὺς γὰρ κάτω σθένοντας ἐξῃτησάμην*
*τύμβου κυρῆσαι κὰς χέρας μητρὸς πεσεῖν.*
*τοὐμὸν μὲν οὖν ὅσονπερ ἤθελον τυχεῖν*
*ἔσται· γεραιᾷ δ' ἐκποδὼν χωρήσομαι*
*Ἑκάβῃ· περᾷ γὰρ ἥδ' ὑπὸ σκηνῆς πόδα*
*Ἀγαμέμνονος, φάντασμα δειμαίνουσ' ἐμόν.*
*φεῦ·*
*ὦ μῆτερ ἥτις ἐκ τυραννικῶν δόμων*
*δούλειον ἦμαρ εἶδες, ὡς πράσσεις κακῶς*
*ὅσονπερ εὖ ποτ'· ἀντισηκώσας δέ σε*
*φθείρει θεῶν τις τῆς πάροιθ' εὐπραξίας.*

ΕΚΑΒΗ.

*ἄγετ', ὦ παῖδες, τὴν γραῦν πρὸ δόμων,*
*ἄγετ' ὀρθοῦσαι τὴν ὁμόδουλον,*
*Τρῳάδες, ὑμῖν, πρόσθε δ' ἄνασσαν·*
*λάβετε φέρετε πέμπετ' ἀείρετέ μου*
*γεραιᾶς χειρὸς προσλαζύμεναι·*
*κἀγὼ σκολιῷ σκίπωνι χερὸς*
*διερειδομένα σπεύσω βραδύπουν*
*ἤλυσιν ἄρθρων προτιθεῖσα.*
*ὦ στεροπὰ Διός, ὦ σκοτία νύξ,*
*τί ποτ' αἴρομαι ἔννυχος οὕτω*
*δείμασι φάσμασιν; ὦ πότνια Χθών,*

---

45 Jυεῖν *G* *δυοῖν* *g* | *δὲ* om. *E* | *δύω* *BEL* 46 *δυστάνου κόρας* *L* 50 *κεἰς* libri | *χεῖρας* *AB* 52 *γεραιᾶσ* *L* *σ* del. *l* 53 *ἑκάβησ* *L* *σ* del. *l* | *σκηνὴν* *LG* *ὴν* in *ῆς* corr. *G*[1] 56 *δούλιον* *AB* | *εἶδες ἦμαρ* (*η* in ras. *B*[1]) *B* 59 personae nota non ante versum, sed in marg. dextro scripta in *A* | *δόμον* *A* *δόμων* *A*[2] 60 *ὁμόδουλον*] *ὁμόδουλόν νῦν* *L* 61 *τρωϊάδες* *AB* *ϊ* eras. *b* | *πρόσθεν δ'* *L* *πρόσθ'* *E* | *ἄνασαν* *A* 63 *πέμπετε* *E* | *μου*] *μου δέμας* *Lb*[s] 64 *γηραιᾶς* *L* 65 *σκιπῶινι* *A* *σκί∗πωνι* *L* *σκίμπονι* *G* *σκίμπωνι* *g* | *χειρὸς* *E* (cfr. Hesych. *σκίπωνι χειρός· βακτηρίᾳ χειρός*), *δέμας* Blaydes 66 *διερειδομένα* *E* *η* sup. *α* scr. *E*[1] *διερειδομένη* *LGb* 68 *στεροπὴ* *b* 69 *ποτε* *E* | *αἴρομ'* *B* | *ἐννυχίοις* Hartung 70 *φάσμασι* *E* | *χθών*] *γρ. νύξ* superscr. *A*[1] scholia scribens

ΧΟΡΟΣ.

*Ἑκάβη, σπουδῇ πρὸς σ' ἐλιάσθην*
*τὰς δεσποσύνους σκηνὰς προλιποῦσ',*
*ἵν' ἐκληρώθην καὶ προσετάχθην*
*δούλη, πόλεως ἀπελαυνομένη*
*τῆς Ἰλιάδος, λόγχης αἰχμῇ*
*δοριθήρατος πρὸς Ἀχαιῶν,*
*οὐδὲν παθέων ἐπικουφίζουσ',*
*ἀλλ' ἀγγελίας βάρος ἀραμένη*
*μέγα σοί τε, γύναι, κῆρυξ ἀχέων.*
*ἐν γὰρ Ἀχαιῶν πλήρει ξυνόδῳ*
*λέγεται δόξαι σὴν παῖδ' Ἀχιλεῖ*
*σφάγιον θέσθαι· τύμβου δ' ἐπιβὰς*
*οἶσθ' ὅτε χρυσέοις ἐφάνη σὺν ὅπλοις,*
*τὰς ποντοπόρους δ' ἔσχε σχεδίας*
*λαίφη προτόνοις ἐπερειδομένας,*
*τάδε θωΰσσων·*
*ποῖ δή, Δαναοί, τὸν ἐμὸν τύμβον*
*στέλλεσθ' ἀγέραστον ἀφέντες;*
*πολλῆς δ' ἔριδος συνέπαισε κλύδων,*
*δόξα δ' ἐχώρει δίχ' ἀν' Ἑλλήνων*
*στρατὸν αἰχμητήν, τοῖς μὲν διδόναι*
*τύμβῳ σφάγιον, τοῖς δ' οὐχὶ δοκοῦν.*
*ἦν δὲ τὸ μὲν σὸν σπεύδων ἀγαθὸν*
*τῆς μαντιπόλου Βάκχης ἀνέχων*
*λέκτρ' Ἀγαμέμνων·*
*τὼ Θησείδα δ', ὄζω Ἀθηνῶν,*

98 *προσελιάσθην* *AL*, *σ'* add. *A*[2]*l* *πρόσ' ἐλιάσθην* *BG* *σ* infra *όσ'* scr. *G*[1] 99 *προλειποῦσ'* *A*..sup. *ει* scr. *A*[2] *προλιποῦσα* *BG* 100 verba *καὶ προσετάχθην* delet Herwerden 103 *δο·ριθήρατος* *B* 104 *ἐπικουφίζουσ'*] Blaydes, *ἀποκουφίζουσ'* libri (*ἀποκουφίζουσα* *Gb*), cfr. Or. 1341 105 *ἀλλ'* om. *E* | *ἀραμένη* *L*] *ἀραμένα* *AE* *ἀρομένη* *B* *αἰρομένη* *G* *αι* et *ο* sup. *ἀρα* scr. *l* 106 verba *γύναι κήρυξ ἀχαίων* in ras. scr. *b* *ε* sup. *αι* in *ἀχαίων* scr. man. recentissima | *κῆρυξ* *G*] *κήρυξ* *r* 107 *πλήρει* *E* *ρ* in *θ* mut. *E*[2] 108 *ἀχιλεῖ* *A*] *ἀχιλλεῖ* *r* 110 *χρυσοῖς* *G* 114 *πῇ* *L* *η* rescr. *l* 115 *στέλλεσθε* *G* 116 om. *G* add. *g* in marg. | *πολλῆς* *B* *ὑ* sup. *λῆ* scr. *b* *δισσῆς* *g* | *συνέπαισε* rec.] *συνέπεσε* (*ξυνέπεσε* *E*) vet. libri 117 *ἑλλάνων* *G* *η* sup. *α* scr. *G*[1] *ἑλλήνων* *b*] *ἑλλάνων* *r* 120 *δὲ*] *δ' ὁ* *LG* 123 *ὄ·ω* *L* *ὄζω* *l* *ὄζ'* *G*

διοσῶν μύθων ῥήτορες ἦσαν·
γνώμῃ δὲ μιᾷ συνεχωρείτην,
τὸν Ἀχίλλειον τύμβον στεφανοῦν
αἵματι χλωρῷ, τὰ δὲ Κασάνδρας
λέκτρ' οὐκ ἐφάτην τῆς Ἀχιλείας
πρόσθεν θήσειν ποτὲ λόγχης.
σπουδαὶ δὲ λόγων κατατεινομένων
ἦσαν ἴσαι πως, πρὶν ὁ ποικιλόφρων
κόπις ἡδυλόγος δημοχαριστὴς
Λαερτιάδης πείθει στρατιὰν
μὴ τὸν ἄριστον Δαναῶν πάντων
δούλων σφαγίων εἵνεκ' ἀπωθεῖν,
μηδέ τιν' εἰπεῖν παρὰ Περσεφόνῃ
στάντα φθιμένων,
ὡς ἀχάριστοι Δαναοὶ Δαναοῖς
τοῖς οἰχομένοις ὑπὲρ Ἑλλήνων
Τροίας πεδίων ἀπέβησαν.
ἥξει δ' Ὀδυσεὺς ὅσον οὐκ ἤδη,
πῶλον ἀφέλξων σῶν ἀπὸ μαστῶν
ἔκ τε γεραιᾶς χερὸς ὁρμήσων.
ἀλλ' ἴθι ναούς, ἴθι πρὸς βωμούς,
ἵζ' Ἀγαμέμνονος ἱκέτις γονάτων,
κήρυσσε θεοὺς τούς τ' οὐρανίδας
τούς θ' ὑπὸ γαίας.
ἢ γάρ σε λιταὶ διακωλύσουσ'
ὀρφανὸν εἶναι παιδὸς μελέας,
ἢ δεῖ σ' ἐπιδεῖν τύμβου προπετῆ
φοινισσομένην αἵματι παρθένον

---

124 fort. διοσοῖν μύθοιν 128 ἀχιλείας rec.] ἀχιλλείας vet. libri 129 ποτε λόγχης θήσειν *G* 131 πως *EG*] πῶς *r* 132 ἡδύλογος *A* ἡδυλόγος $A^2$ 135 δοῦλον *A* δούλων $A^2$ | εἵνεκ' *LG* (sic)] οὕνεκ' *r* (οὕνεκ' *B*) 136 *ερσεφόνηι (litera erasa erat φ) *A* περσεφόνηι $A^2$ 139 τοῖς om. *E* 140 πεδίον *A* πεδίων $A^2$ πεδί*ν *B* πεδίον *b*, qui ω sup. ο scr. 141 ὀδυσεύς *LG*] ὀδυσσεύς *r* 142 ἀφέξων *L* | μασῶν *B* σ in στ corr. $B^2$ μα**ν *L* μαστῶν *l* 143 γηραιᾶς *B* | χερὸς *AG*] χειρὸς *r* | ἐξορμήσων *G* 145 proscribit Heimsoeth 146 οὐρανίους *L* οὐρανί*ας *B* οὐρανίδας $B^2l$ 147 γαίας Porson] γαῖαν libri 149 ὀρφανὴν $A^2b$ ὀρφανὰν *El* 150 δεῖ] fort. χρή | τύμβω *B* τύμβον *b* 151 verba αἵματι παρθένον delet Chr. Baier

*ἐκ χρυσοφόρου*
*δειρῆς νασμῷ μελαναυγεῖ.*
*ΕΚ.* *οἲ 'γὼ μελέα, τί ποτ' ἀπύσω;*
*ποίαν ἀχώ, ποῖον ὀδυρμόν;*
*δειλαία δειλαίου γήρως,*
*δουλείας τᾶς οὐ τλατᾶς,*
*τᾶς οὐ φερτᾶς· ὤμοι μοι.*
*τίς ἀμύνει μοι; ποία γέννα,*
*ποία δὲ πόλις;*
*φροῦδος πρέσβυς, φροῦδοι παῖδες.*
*ποίαν ἢ ταύταν ἢ κείναν*
*στείχω; ποῖ δ' ὁρμάσω; ποῦ τις*
*θεῶν ἢ δαίμων ἐπαρωγός;*
*ὦ κάκ' ἐνεγκοῦσαι Τρῳάδες, ὦ*
*κάκ' ἐνεγκοῦσαι*
*πήματ', ἀπωλέσατ' ὠλέσατ'· οὐκέτι μοι βίος*
*ἀγαστὸς ἐν φάει.*
*ὦ τλάμων ἄγησαί μοι*
*πούς, ἄγησαι τᾷ γραίᾳ*
*πρὸς τάνδ' αὐλάν· ὦ τέκνον, ὦ παῖ*
*δυστανοτάτας ματέρος, ἔξελθ'*
*ἔξελθ' οἴκων· ἄιε ματέρος*

---

154 *οἲ 'γὼ G*] *οἳ ἐγὼ B οἱ ἐγὼ AE οἵ ἐγὼ προλείπω λύεται δέ μου μέλη L* haec verba quae ex v. 438 illata sunt del. *l*, qui *οἲ ἐγὼ* ante *μελέα* vers. sequ. scr. 155 *ἀχὼ*] *ἠχὴν* Burges *ἀχὰν* Nauck. schol.: *τινὲς δὲ περισπῶσι τὸ ἀχῶ, ἵν' ᾖ ὁποίαν ἠχήσω βοήν* 156 *δειλαίου*] *δειλαί** B δειλαίου b* 157 *τᾶς οὐ τλατῆς G τῆς οὐ τλητῆς B* 158 *ὤμοι μοι BE*] *ὤμοι ὤμοι G οἶμοι L οἴμοι A* 159 *ἀμύνῃ AB* | *γενεά* Porson 162 *ἢ* post *ποίαν* om. *L* add. *l* *ἢ G* *γρ. ἢ* in marg. *b* | *ταύ*** L*, *ταύταν l* | *κείναν*] *κείνην L κείναν ὁδόν B* 163 *ποῖ EG*] *πῇ r* | *ὁρμάσω* recepi ex Dionys. de comp. verb. V p. 105: *ποίαν δῆθ' ὁρμάσω ταύταν ἢ κείναν, κείναν ἢ ταύταν;*] *ἥσω* libri 164 *θεῶν* antecedenti versui addunt libri | *δαίμων* rec. (*δαίμων νῷν* Musgrave)] *δαιμόνων* libri | *ἐπ' ἀρωγός* (sic, non *ἔστ' ἐπ' ἀρωγός*) *L* *ἐπαρωγὸς ἔσται G* 167 *πήματα* libri | *ἀπωλέσατε ὠλέσατε G ἀπολέσατ' ὀλέσατ' E* ω bis sup. ο scr. *E*[1] *ἀπωλέσατ' ἀπωλέσατ' L ἀπολέσατ' ἀπολέσατ' l* | *οὐδέτι A* 169 *τλάμων A*] *τλᾶμον BE τλῆμον LG τλήμων l* 169—70 *ἄγησαι L*] *ἄγησαι r* | fort. *μοι πούς, πoὺς ἄγησαι* 170 *ποὺ E ποῦ B* | *ἄγησαί μοι B* | *τῇ B τᾷ b* 172 *ματέρος*] *μρς B* 173 *ἔξελθε G* | verba *ἄϊε — τέκνον* om. *G*, add. in marg. man. recentissima | *ματρός L*

*ἀγγέλλουσ' Ἀργείων δόξαι*
*ψήφῳ τᾶς σᾶς περί μοι ψυχᾶς.*

ΠΛΞ. *ὦ δεινὰ παθοῦσ', ὦ παντλάμων,*
*ὦ δυστάνου μᾶτερ βιοτᾶς,*
*οἵαν οἵαν αὖ σοι λώβαν*
*ἐχθίσταν ἀρρήταν τ'*
*ὦρσέν τις δαίμων·*
*οὐκέτι σοι παῖς ἅδ' οὐκέτι δὴ*
*γήρᾳ δειλαίῳ δειλαία*
*συνδουλεύσω.*
*σκύμνον γάρ μ' ὥστ' οὐριθρέπταν,*
*μόσχον δειλαία δειλαίαν*
*εἰσόψει χειρὸς ἀναρπαστὰν*
*σᾶς ἄπο λαιμότομόν τ' Ἀίδα*
*γᾶς ὕπο πεμπομέναν σκότῳ, ἔνθα νεκρῶν μέτα*
*τάλαινα κείσομαι.*
*καὶ σοῦ μέν, μᾶτερ, δυστάνου*
*κλαίω πανδύρτοις θρήνοις,*
*τὸν ἐμὸν δὲ βίον, λώβαν λύμαν τ',*
*οὐ μετακλαίομαι, ἀλλὰ θανεῖν μοι*
*ξυντυχία κρείσσων ἐκύρησεν.*

---

195 *ἀγγέλουσ'* *A* *λ* add. *A*[2] 196 *ψήφοις* *A* | *μοι* om. *B* superscr. *b* 197 *παντλάμων* *A* (sed *ω* nunc rasura in *o* mutatum)] *παντλᾶμον* *r* 198 fort. *δύστανος* 199 *οἷαν οἷαν* *A* corr. *A*[2] 199—201 *οἷαν οἷαν* | *αὖ* — *ἐχθίσταν* | *ἀρρήταν* — *δαίμων* Th. Barthold 200 lacunam ante *ἐχθίσταν* statuit Hermann | *ἐχθίσταν* *A* *αἰσχίσταν* superscr. *A*[1] *αἰσχίσταν* *B* *ἐχθίσταν* del. Triclinius et *τ'* King 201 *ὦρσε τίς* libri 202 *οὐκ ἔστι σοι* *l* 203 *γήραϊ* *L* | *δηλαίῳ* *G* | *δειλαία δειλαίῳ* *E* | *γραίᾳ δειλαίαν δουλείαν* F. Gu. Schmidt 207 *ἰσόψει* *ABE* | *ἀναρπαστὰν* *A* *η* sup. *ὰ* scr. *A*[1] *ἀναρπάσταν* *B* *ἀναρπαστὴν* *Lb* 208 *ἀπολαιμότομόν τ'* *ABE* | *ἀΐδα** *A* 209 *ὑπὸ πεμπομέναν* rec.] *ὑποπεμπομέναν* libri veteres | *σκότω* *L*] *σκότος* *A* *σκότον* *r* (*ω* sup. *ον* scr. *G*[1]) 210 *τάλαινα* Seidler] *ἁ τάλαινα* libri 211 *σοῦ* ex schol. *ἀντὶ τοῦ περὶ σοῦ. ἢ ἐπὶ σοί, ὥσπερ καὶ θαῦμά σου φασὶν ἀντὶ τοῦ ἐπὶ σοί. τινὲς δέ φασι λείπειν τὸ χάριν. ἢ ἀπὸ κοινοῦ τὸν βίον, ἵν' ᾖ· κλαίω σου τὸν βίον* Heimsoeth] *σὲ* libri | *δυστάν*** (sic, erasae sunt duae vel tres literae) *A* *δύστᾰν* (sic, ´ sup. *α* in *ε* corr. et ´ sup. *υ* scr.) *A*[2] *δυστάνου βίου* *L* *δύστηνε* *B* *δύστανε* *r* 212 *πανδύρτοις* Blomfield] *πανοδύρτοις* libri | *πανδύρτους θρήνους* Heimsoeth 214 *κατακλαίομαι* Schaefer 215 *ξυντυχία** (erasum est *ι*) *A* | *ἐκήρυσεν* *E* *υ* super *η* et *η* super *υ* scr. *E*[2] *ἐκύρησε* *L*

ΧΟ. καὶ μὴν Ὀδυσσεὺς ἔρχεται σπουδῇ ποδός,
Ἑκάβη, νέον τι πρὸς σὲ σημανῶν ἔπος.

ΟΔΥΣΣΕΥΣ.

γύναι, δοκῶ μέν σ' εἰδέναι γνώμην στρατοῦ
ψῆφόν τε τὴν κρανθεῖσαν· ἀλλ' ὅμως φράσω.
ἔδοξ' Ἀχαιοῖς παῖδα σὴν Πολυξένην
σφάξαι πρὸς ὀρθὸν χῶμ' Ἀχιλλείου τάφου.
ἡμᾶς δὲ πομποὺς καὶ κομιστῆρας κόρης
τάσσουσιν εἶναι· θύματος δ' ἐπιστάτης
ἱερεύς τ' ἐπέσται τοῦδε παῖς Ἀχιλλέως.
οἶσθ' οὖν ὃ δρᾶσον; μήτ' ἀποσπασθῇς βίᾳ
μήτ' ἐς χερῶν ἅμιλλαν ἐξέλθῃς ἐμοί·
γίγνωσκε δ' ἀλκὴν καὶ παρουσίαν κακῶν
τῶν σῶν. σοφόν τοι κἀν κακοῖς ἃ δεῖ φρονεῖν.
ΕΚ. αἰαῖ· παρέστηχ', ὡς ἔοικ', ἀγὼν μέγας,
πλήρης στεναγμῶν οὐδὲ δακρύων κενός.
κἀγὼ γὰρ οὐκ ἔθνῃσκον οὗ με χρῆν θανεῖν,
οὐδ' ὤλεσέν με Ζεύς, τρέφει δ', ὅπως ὁρῶ
κακῶν κάκ' ἄλλα μείζον' ἡ τάλαιν' ἐγώ.
εἰ δ' ἔστι τοῖς δούλοισι τοὺς ἐλευθέρους
μὴ λυπρὰ μηδὲ καρδίας δηκτήρια
ἐξιστορῆσαι, σοὶ μὲν εἰρῆσθαι χρεών,
ἡμᾶς δ' ἀκοῦσαι τοὺς ἐρωτῶντας τάδε.
ΟΔ. ἔξεστ', ἐρώτα· τοῦ χρόνου γὰρ οὐ φθονῶ.
ΕΚ. οἶσθ' ἡνίκ' ἦλθες Ἰλίου κατάσκοπος,
δυσχλαινίᾳ τ' ἄμορφος, ὀμμάτων τ' ἄπο
φόνου σταλαγμοὶ σὴν κατέσταζον γένυν;

---

216 *ΧΟ.* om. *E* 224 ἱρεύς *E* | ἐπέσται Nauck] ἐπέστη libri 225 δρᾶσον (εις sup. ον scr. m. 1) *A* δρᾶσον *G* δράσεις *EL* schol.: τὰ καλὰ τῶν ἀντιγράφων δρᾶσον ἔχει | ἀποσπάσῃς *L* 226 χειρῶν *L* 227 γίγνωσκ' ἀνάγκην Herwerden | κακῶν παρουσίαν *L* 228 τοι] τι *EL* cum Orione anth. I, 4 229 αἲ αἲ *A* αἰ αἰ *E* αἶ αἶ *LG* | ἔοικε *A* ἔοικεν *L* 231 κἄγωγ' ἄρ' L. Dindorf | ἔθνησ*κον *A* (fuerat potius ἐθνῄσκον?) | με χρῆν rec.] μ' ἐχρῆν veteres libri (οὐ μ' ἐχρῆν *A*) 232 ὤλεσε *G* 239 ἡνίκα *A* 240 ταμορφο* *A* τ' ἄμορφος *A*[2] | fort. δυσχλαινίαις (quod proposuit Porson) ἄμορφος, ὀμμάτων δ' | τ' (ante ἄπο) sup. vers. add. *A*[1] om. *E* δ' *L*

ΟΔ. οἶδ'· οὐ γὰρ ἄκρας καρδίας ἔψαυσέ μου.
ΕΚ. ἔγνω δέ σ' Ἑλένη καὶ μόνη κατεῖπ' ἐμοί;
ΟΔ. μεμνήμεθ' ἐς κίνδυνον ἐλθόντες μέγαν.
ΕΚ. ἥψω δὲ γονάτων τῶν ἐμῶν ταπεινὸς ὤν;
ΟΔ. ὥστ' ἐνθανεῖν γε σοῖς πέπλοισι χεῖρ' ἐμήν.
ΕΚ. ἔσωσα δῆτά σ' ἐξέπεμψά τε χθονός;
ΟΔ. ὥστ' εἰσορᾶν γε φέγγος ἡλίου τόδε.
[ΕΚ. τί δῆτ' ἔλεξας δοῦλος ὢν ἐμὸς τότε;
ΟΔ. πολλῶν λόγων εὑρήμαθ', ὥστε μὴ θανεῖν.]
ΕΚ. οὔκουν κακύνῃ τοῖσδε τοῖς βουλεύμασιν,
ὃς ἐξ ἐμοῦ μὲν ἔπαθες οἷα φῄς παθεῖν,
δρᾷς δ' οὐδὲν ἡμᾶς εὖ, κακῶς δ' ὅσον δύνῃ;
ἀχάριστον ὑμῶν σπέρμ', ὅσοι δημηγόρους
ζηλοῦτε τιμάς· μηδὲ γιγνώσκοισθέ μοι,
οἳ τοὺς φίλους βλάπτοντες οὐ φροντίζετε,
ἢν τοῖσι πολλοῖς πρὸς χάριν λέγητέ τι.
ἀτὰρ τί δὴ σόφισμα τοῦθ' ἡγούμενοι
ἐς τήνδε παῖδα ψῆφον ὥρισαν φόνου;
πότερα τὸ χρή σφ' ἐπήγαγ' ἀνθρωποσφαγεῖν
πρὸς τύμβον, ἔνθα βουθυτεῖν μᾶλλον πρέπει;
ἢ τοὺς κτανόντας ἀνταποκτεῖναι θέλων
ἐς τήνδ' Ἀχιλλεὺς ἐνδίκως τείνει φόνον;
ἀλλ' οὐδὲν αὐτὸν ἥδε γ' εἴργασται κακόν.
Ἑλένην νιν αἰτεῖν χρῆν τάφῳ προσφάγματα·
κείνη γὰρ ὤλεσέν νιν ἐς Τροίαν τ' ἄγει.
εἰ δ' αἰχμαλώτων χρή τιν' ἔκκριτον θανεῖν
κάλλει θ' ὑπερφέρουσαν, οὐχ ἡμῶν τόδε·

---

243 *μόνη A* ι post η add. *A*[2] | *κατεῖπέ μοι* libri, corr. Brunck 245 *δὲ*] *τὲ A* 246 *ἐνθανεῖν γε*] *ἔν γε φῦναι* Herwerden 247—48 om. *E*, minio inter lineas postea add. 248 *γε* om. *E* (sic, non *δή* habet) 249—50, quos ante 247 transponunt rec., delevi 251 *οὐκοῦν* libri (*οὐκ οὖν A*) 252 *φῇς A* 253 *κακὸν* rec. | *δύνᾳ* Porson 256 *φροντίζετε LG*] *γινώσκετε AE* (*γ* in ras. *E*[1]) *γρ. γινώσκετε l* in marg. 258 *δή* om. *L* 260 *χρή* Nauck] *χρῆν* libri | *ἀνθρωποκτονεῖν G* cum Eust. in Il. p. 1179 261 *βουτυθεῖν A* corr. *A*[2] 263 *τῆσδ'* Blaydes | *τίνει AE* 264 *οὐδὲν*] *οὐδέν γ' E* | *ἥδε γ'*] *ἥδ' A*

265 fort. *Ἑλένης* | *προσφάγματα G*] *πρόσφαγμά* (τι superscr. m. 1) *B* *πρόσφαγμα r* 266 *ὤλεσε BLG* | *ἄγει E* οι super ει scr. *E*[2] 267 *αἰχμαλώτων EL*] *αἰχμάλωτον r*

*ΧΟ.* οὐκ ἔστιν οὕτω στερρὸς ἀνθρώπου φύσις,
ἥτις γόους σοὺς καὶ μακρῶν ὀδυρμάτων
κλύουσα θρήνους οὐκ ἂν ἐκβάλοι δάκρυ.
*ΟΔ.* Ἑκάβη, διδάσκου μηδὲ τῷ θυμουμένῳ
τὸν εὖ λέγοντα δυσμενῆ ποιοῦ φρενί.
ἐγὼ τὸ μὲν σὸν σῶμ᾽ ὑφ᾽ οὗπερ ηὐτύχουν
σῴζειν ἕτοιμός εἰμι κοὐκ ἄλλως λέγω·
ἃ δ᾽ εἶπον εἰς ἅπαντας οὐκ ἀρνήσομαι,
Τροίας ἁλούσης ἀνδρὶ τῷ πρώτῳ στρατοῦ
σὴν παῖδα δοῦναι σφάγιον ἐξαιτουμένῳ.
ἐν τῷδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις,
ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ
μηδὲν φέρηται τῶν κακιόνων πλέον.
ἡμῖν δ᾽ Ἀχιλλεὺς ἄξιος τιμῆς, γύναι,
θανὼν ὑπὲρ γῆς Ἑλλάδος κάλλιστ᾽ ἀνήρ.
οὔκουν τόδ᾽ αἰσχρόν, εἰ βλέποντι μὲν φίλῳ
χρώμεσθ᾽, ἐπεὶ δ᾽ ὄλωλε, μὴ χρώμεσθ᾽ ἔτι;
εἶεν· τί δῆτ᾽ ἐρεῖ τις, ἤν τις αὖ φανῇ
στρατοῦ τ᾽ ἄθροισις πολεμίων τ᾽ ἀγωνία;
πότερα μαχούμεθ᾽ ἢ φιλοψυχήσομεν,
τὸν κατθανόνθ᾽ ὁρῶντες οὐ τιμώμενον;
καὶ μὴν ἔμοιγε ζῶντι μέν, καθ᾽ ἡμέραν
κεἰ σμίκρ᾽ ἔχοιμι, πάντ᾽ ἂν ἀρκούντως ἔχοι·
τύμβον δὲ βουλοίμην ἂν ἀξιούμενον
τὸν ἐμὸν ὁρᾶσθαι· διὰ μακροῦ γὰρ ἡ χάρις.
εἰ δ᾽ οἰκτρὰ πάσχειν φῄς, τάδ᾽ ἀντάκουέ μου·
εἰσὶν παρ᾽ ἡμῖν οὐδὲν ἧσσον ἄθλιαι
γραῖαι γυναῖκες ἠδὲ πρεσβῦται σέθεν,
νύμφαι τ᾽ ἀρίστων νυμφίων τητώμεναι,
ὧν ἥδε κεύθει σώματ᾽ Ἰδαία κόνις.

---

Porson] ὠὑτὸς *G* αὐτὸς *r* | οὔτ᾽ αὐτὸν *A* 296 οὐκ] τίς Gregorius Cor. p. 64 | οὕτως *AE* | ἀνθρώπων *E*. 297 γόους σοὺς scripsi] γόων σῶν libri 301 σῶμ᾽ *E* σῶμα *A* | ηὐτύχουν omnes libri 303 πάντας *E* | ἀρνήσομαι] fort. ἀναίνομαι 306 ἐν τούτῳ γὰρ πάσχουσιν Eustratius in Aristot. eth. p. I[b] τούτῳ etiam lex. Vindob. p. 187, 15 | πόλλεις *A* 311 οὔκουν *L*] οὐκοῦν *r* 312 ὄλωλε] ἄπεστι *E* 317 καθημέραν *BEL* corr. *b* 318 ἔχη *E* οι sup. η scr. *E*[1] ἔχ* *L* ἔχοι *l* 322 εἰσὶ *ELG* ν add. *l* 323 πρεσβύτις *B*

*τόλμα τάδ'· ἡμεῖς δ', εἰ κακῶς νομίζομεν*
*τιμᾶν τὸν ἐσθλόν, ἀμαθίαν ὀφλήσομεν·*
*οἱ βάρβαροι δὲ μήτε τοὺς φίλους φίλους*
*ἡγεῖσθε μήτε τοὺς καλῶς τεθνηκότας*
*θαυμάζεθ', ὡς ἂν ἡ μὲν Ἑλλὰς εὐτυχῇ,*
*ὑμεῖς δ' ἔχηθ' ὅμοια τοῖς βουλεύμασιν.*
*ΧΟ.* *αἰαῖ· τὸ δοῦλον ὡς κακὸν πέφυκ' ἀεὶ*
*τολμᾷ θ' ἃ μὴ χρή, τῇ βίᾳ νικώμενον.*
*ΕΚ.* *ὦ θύγατερ, οὑμοὶ μὲν λόγοι πρὸς αἰθέρα*
*φροῦδοι μάτην ῥιφθέντες ἀμφὶ σοῦ φόνου·*
*σὺ δ', εἴ τι μείζω δύναμιν ἢ μήτηρ ἔχεις,*
*σπούδαζε πάσας ὥστ' ἀηδόνος στόμα*
*φθογγὰς ἱεῖσα, μὴ στερηθῆναι βίου.*
*πρόσπιτνε δ' οἰκτρῶς τοῦδ' Ὀδυσσέως γόνυ*
*καὶ πεῖθ'· ἔχεις δὲ πρόφασιν· ἔστι γὰρ τέκνα*
*καὶ τῷδε, τὴν σὴν ὥστ' ἐποικτεῖραι τύχην.*
*ΠΟΛ.* *ὁρῶ σ', Ὀδυσσεῦ, δεξιὰν ὑφ' εἵματος*
*κρύπτοντα χεῖρα καὶ πρόσωπον ἔμπαλιν*
*στρέφοντα, μή σου προσθίγω γενειάδος.*
*θάρσει· πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία·*
*ὡς ἕψομαί γε τοῦ τ' ἀναγκαίου χάριν*
*θανεῖν τε χρῄζουσ'· εἰ δὲ μὴ βουλήσομαι,*
*κακὴ φανοῦμαι καὶ φιλόψυχος γυνή.*
*τί γάρ με δεῖ ζῆν; ᾗ πατὴρ μὲν ἦν ἄναξ*
*Φρυγῶν ἁπάντων· τοῦτό μοι πρῶτον βίου·*
*ἔπειτ' ἐθρέφθην ἐλπίδων καλῶν ὕπο*
*βασιλεῦσι νύμφη, ζῆλον οὐ σμικρὸν γάμων*

---

328—331 olim damnabat Hartung  329 *μη*** *L* *μὴ δὲ* *l*  330 *θαυμάζεσθ'* *BE* *θαυμάζε*** *L* *θαυμάζεθ'* *l*  331 *ἔχοιθ'* *Lb*[r] *ἔχοιτ'* *E* | *ὅμοια*] *ἄξια* *E* | *βουλεύμασι* *B*  332 *αἰαῖ*] *αἶ αἶ* *A* *αἶ αἶ* *r* | *πέφυκ' ἀεὶ* *G* cum Stobaeo flor. 62, 25 (sup. *ἀεὶ* scr. *G*[1] *γρ. αἶ* (sic))] *πεφυκέναι* *r* in marg. scr. *l* *γρ. πέφυκ* (ceterae literae abscisae). schol. rec.: *τὸ πέφυκ' ἀεὶ ἔν τινι λίαν παλαιῷ τῶν ἀντιγράφων εὕρηται*  333 *νικώμενον*] *κρατούμενον* Stobaeus  334 *θύγατερ οὑμοὶ*] **********'μοὶ* *L* *τέκνον ὁὑμοί* *l*  335 *ῥιφθέντες* rec.] *ῥιφέντες* veteres libri  339 *πρόσπιτνε* scripsi] *πρόσπιπτε* libri | *οἰκτρῶς*] *ἵκτωρ* Burges (malim *ἱκέτις*)  340 *δὲ*] *γὰρ* *BEl* **** *L*  346 *γε τοῦ τ'*] *** τοῦ ** *B* *σοι τοῦ γ'* *b* *'γὼ τοῦ τ'* Naber  352 *μικρὸν* *LG* *σ* ante *μ* add. *l* | *γάμων* *ELG*] *βίου* *AB* *γάμου* *b*[s]

ἔχουσ', ὅτου δῶμ' ἑστίαν τ' ἀφίξομαι·
δέσποινα δ' ἡ δύστηνος Ἰδαίαισιν ἦ
γυναιξὶ παρθένοις τ' ἀπόβλεπτος μέτα,
ἴση θεοῖσι πλὴν τὸ κατθανεῖν μόνον·
νῦν δ' εἰμὶ δούλη. πρῶτα μέν με τοὔνομα
θανεῖν ἐρᾶν τίθησιν οὐκ εἰωθὸς ὄν·
ἔπειτ' ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας
τύχοιμ' ἄν, ὅστις ἀργύρου μ' ὠνήσεται,
τὴν Ἕκτορός τε χἀτέρων πολλῶν κάσιν,
προσθεὶς δ' ἀνάγκην σιτοποιὸν ἐν δόμοις,
σαίρειν τε δῶμα κερκίσιν τ' ἐφεστάναι
λυπρὰν ἄγουσαν ἡμέραν μ' ἀναγκάσει·
λέχη δὲ τἀμὰ δοῦλος ὠνητός ποθεν
χρανεῖ, τυράννων πρόσθεν ἠξιωμένα.
οὐ δῆτ'· ἀφίημ' ὀμμάτων ἐλεύθερον
φέγγος τόδ', Ἅιδῃ προστιθεῖσ' ἐμὸν δέμας.
ἄγ' οὖν μ', Ὀδυσσεῦ, καὶ διέργασαί μ' ἄγων·
οὔτ' ἐλπίδος γὰρ οὔτε του δόξης ὁρῶ
θάρσος παρ' ἡμῖν ὥς ποτ' εὖ πρᾶξαί με χρή.
μῆτερ, σὺ δ' ἡμῖν μηδὲν ἐμποδὼν γένῃ,
λέγουσα μηδὲ δρῶσα· συμβούλου δέ μοι
θανεῖν πρὶν αἰσχρῶν μὴ κατ' ἀξίαν τυχεῖν.
ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν,
φέρει μέν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ·
θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος.
[ἢ ζῶν· τὸ γὰρ ζῆν μὴ καλῶς μέγας πόνος.]
ΧΟ. δεινὸς χαρακτὴρ κἀπίσημος ἐν βροτοῖς
ἐσθλῶν γενέσθαι, κἀπὶ μεῖζον ἔρχεται

---

354 ἦν libri 355 παρθένοις τ' *EGA*[2]] παρθένοισι τ' *B* παρθένοις *AL* | μέτα] μέγα Canter 356 θεῇσι *LG* οι sup. ῃ scr. *G*[1] 359 δεσποτῶν γ' *L* 361 ***τέρων *L* χ' ἀτέρων *l* | πολλῶν] πρόμων Herwerden 363 κερκίσι *BEG* | ἐφιστάναι *L* 364 ἡμέρα μ' *A* 366 ** πρόσθεν *L* π rescr. *l* 367 ἐλευθέρων Blomfield 368 τόδ' ἀ*δῃ *L* τόδ' ᾅδῃ *l* γρ. τόδ' ἤδη sup. vers. scr. *A*[1] scholia scribens 369 ἄγ' οὖν μ' *G*] ἀγοῦ μ' *BE* ἄγου μ' *AL* ἄγ' οὖν Thomas Mag. p. 81, 14 371 πράξαι *BG* 372 ἐμποδὼν μηδὲν *G* 374 αἰσχρῶν] fort. ἐχθρῶν 375 κακῶν] πόνων Stobaeus flor. 30, 3 378, quem habet Stob. l. l. et 121, 20, delevit Nauck | μὴ καλῶς μέγας πόνος] ἐν κακοῖς πόνος μέγας Stobaeus fl. 30, 3 379 ἐμβροτοῖς *A* μ in ν corr. *A*[2] 380 μεῖζον] πλεῖον *B* πλεῖστον Stobaeus fl. 88, 6

δὸς καὶ παρειὰν προσβαλεῖν παρηίδι·
ὡς οὔποτ' αὖθις, ἀλλὰ νῦν πανύστατον
[ἀκτῖνα κύκλον θ' ἡλίου προσόψομαι].
τέλος δέχου δὴ τῶν ἐμῶν προσφθεγμάτων.
ὦ μῆτερ, ὦ τεκοῦσ', ἄπειμι δὴ κάτω.
ΕΚ. ὦ θύγατερ, ἡμεῖς δ' ἐν φάει δουλεύσομεν.
ΠΛΞ. ἄνυμφος ἀνυμέναιος ὧν με χρῆν τυχεῖν.
ΕΚ. οἰκτρὰ σύ, τέκνον, ἀθλία δ' ἐγὼ γυνή.
ΠΛΞ. ἐκεῖ δ' ἐν Ἅιδου κείσομαι χωρὶς σέθεν.
[ΕΚ. οἴμοι· τί δράσω; ποῖ τελευτήσω βίον;
ΠΛΞ. δούλη θανοῦμαι, πατρὸς οὖσ' ἐλευθέρου.]
ΕΚ. ἡμεῖς δὲ πεντήκοντά γ' ἄμμοροι τέκνων.
ΠΛΞ. τί σοι πρὸς Ἕκτορ' ἢ γέροντ' εἴπω πόσιν;
ΕΚ. ἄγγελλε πασῶν ἀθλιωτάτην ἐμέ.
ΠΛΞ. ὦ στέρνα μαστοί θ', οἵ μ' ἐθρέψαθ' ἡδέως.
ΕΚ. ὦ τῆς ἀώρου θύγατερ ἀθλία τύχης.
ΠΛΞ. χαῖρ', ὦ τεκοῦσα, χαῖρε Κασάνδρα τέ μοι,
ΕΚ. χαίρουσιν ἄλλοι, μητρὶ δ' οὐκ ἔστιν τόδε.
ΠΛΞ. ὅ τ' ἐν φιλίπποις Θρῃξὶ Πολύδωρος κάσις.
ΕΚ. εἰ ζῇ γ'· ἀπιστῶ δ'· ὧδε πάντα δυστυχῶ.
ΠΛΞ. ζῇ καὶ θανούσης ὄμμα συγκλῄσει τὸ σόν.
ΕΚ. τέθνηκ' ἔγωγε πρὶν θανεῖν κακῶν ὕπο.
ΠΛΞ. κόμιζ', Ὀδυσσεῦ, μ' ἀμφιθεὶς κάρᾳ πέπλους·
ὡς πρὶν σφαγῆναί γ' ἐκτέτηκα καρδίαν
θρήνοισι μητρὸς τήνδε τ' ἐκτήκω γόοις.

---

412 om. *A*, in marg. add. $A^2$ (qui προσόψομαι primum scr., dein προσ erasit et ἐσ in ras. scr.) $A^1$ scholia scribens inter v. 411 et 413 literis minoribus scripsit: ἀντὶ τοῦ (sic) κύκλον θ' ἡλίου προσόψομαι. versum, quem in archetypo codicis *A* non defuisse demonstrat litera θ', delevi, cfr. 435 sq. 413 δέχου *Eb*] γρ. δ' ἔχει, scripto η super ει, in marg. $E^1$ * ἔχη *A* δ' ἔχη $A^2$ δέχη *r* 416 μ' ἐχρῆν libri 418 δ' in ras. $A^2$ 419—420 proscripsit Ienni 421 ἄμοιροι *B* ἄμμοιροι *E*
423 ἄγγελε *AB* λ add. $A^2$ 424 μασθοί *AE* | ἐθρέψατ' *BG* corr. $B^2G^1$ ἐθρέψασθ' *E* 425 ὢ *BE* | ἀθλία Markland] ἀθλίου *A* ἀθλίας *r*
426 χαῖρε κασάνδρα *G* ρε in ρ' ὦ mut. et σ infra σ scr. $G^1$ | κασσάνδρα *L* | τ' ἐμοί libri, corr. Matthiae 427 ἔστι *BEG* | τόδε *B*] χαρά *r* γρ. τόδε superscr. $A^1$ scholia scribens 428 Θρῃξὶ Hermann] θραξὶ libri (in *A* superior pars literae α evanuit ita, ut α nunc sit similis η) 429 γ'] δ' *B* | δ'] γ' *BL* 430 συγκλείσει libri 432 μ' om. *BEL* | κάρᾳ πέπλους Kirchhoff] κάρα πέπλοις libri 433 γ'] μ' *L* 434 τ'] γ' *L*

ὦ φῶς· προσειπεῖν γὰρ σὸν ὄνομ᾽ ἔξεστί μοι,
μέτεστι δ᾽ οὐδὲν πλὴν ὅσον χρόνον ξίφους
βαίνω μεταξὺ καὶ πυρᾶς Ἀχιλλέως.
ΕΚ. οἲ 'γώ· προλείπω· λύεται δέ μου μέλη.
ὦ θύγατερ, ἅψαι μητρός, ἔκτεινον χέρα,
δός· μὴ λίπῃς μ᾽ ἄπαιδ᾽. ἀπωλόμην, φίλαι.
[ὣς τὴν Λάκαιναν σύγγονον Διοσκόροιν
Ἑλένην ἴδοιμι· διὰ καλῶν γὰρ ὀμμάτων
αἴσχιστα Τροίαν εἷλε τὴν εὐδαίμονα.]

ΧΟ. αὔρα, ποντιὰς αὔρα, stroph.
ἅτε ποντοπόρους κομίζεις
θοὰς ἀκάτους ἐπ᾽ οἶδμα λίμνας,
ποῖ με τὰν μελέαν πορεύσεις;
τῷ δουλόσυνος πρὸς οἶκον
κτηθεῖσ᾽ ἀφίξομαι;
ἢ Δωρίδος ὅρμον αἴας
ἢ Φθιάδος, ἔνθα τὸν
καλλίστων ὑδάτων πατέρα
φασὶν Ἀπιδανὸν γύας λιπαίνειν;

ἢ νάσων, ἁλιήρει antistr.
κώπᾳ πεμπομέναν τάλαιναν,
οἰκτρὰν βιοτὰν ἔχουσαν οἴκοις,
ἔνθα πρωτόγονός τε φοῖνιξ
δάφνα θ᾽ ἱεροὺς ἀνέσχε
πτόρθους Λατοῖ φίλᾳ
ὠδῖνος ἄγαλμα Δίας;
σὺν Δηλιάσιν τε κού-

435 γὰρ om. *E* | σὸν ὄμμ᾽ Jacobs 438 οἲ ἐγὼ *BLG* οἴ ἐγὼ *AE* | δὲ om. *E* | μοι *B* 440 μ᾽ om. *L* 441—43 damnavit Hartung (choro tribuit Hermann) 441 ὡς *A* ὣς *A*[2] 442 καλῶν γὰρ] γὰρ καλῶν *L* 444 αὔρα — αὔρα *A*] αὖρα — αὖρα *r* 445 ἅτις Barnes 446 λίμνης *EL* 449 κληθεῖσ᾽ ex schol. τίνι δούλη ὀνομασθεῖσα O. Hoefer, fort. κληρωθεῖσ᾽ ἵξομαι 450 ἦ *GA*[2] (ἢ denuo *A*[3]) 451 τὸν] τῶν *EG* τὸν del. Porson, qui in antistropha 462 κούραις scribit 452 πατέρα] fort. ποτὸν (deleto antea τὸν) 454 γύας Hermann] τὰς γυίας rec., πεδία veteres libri 455 νάσων *E* o sup. ω scr. *E*[2] 457 οἴκοις] οἴσεις Weil, fort. οἴκους (i. e. νάσων οἴκους) 460 φίλας Hartung, fort. φίλους 462 δηλιάσι *BLG* | κούραις *ELG*

*ραισιν Ἀρτέμιδός τε θεᾶς*
*χρυσέαν ἄμπυκα τόξα τ' εὐλογήσω;*

*ἢ Παλλάδος ἐν πόλει* stroph.
*τᾶς καλλιδίφρου θεᾶς*
*ναίουσ' ἐν κροκέῳ πέπλῳ*
*ζεύξομαι ἅρα πώλους ἐν*
*δαιδαλέαισι ποικίλλουσ'*
*ἀνθοκρόκοισι πήναις,*
*ἢ Τιτάνων γενεὰν*
*τὰν Ζεὺς ἀμφιπύρῳ*
*κοιμίζει φλογμῷ Κρονίδας;*

*ὤμοι τεκέων ἐμῶν,* antistr.
*ὤμοι πατέρων χθονός θ',*
*ἃ καπνῷ κατερείπεται*
*τυφομένα δορίκτητος*
*Ἀργείων· ἐγὼ δ' ἐν ξεί-*
*νᾳ χθονὶ δὴ κέκλημαι*
*δούλα, λιποῦσ' Ἀσίαν,*
*Εὐρώπας θεράπναν*
*ἀλλάξασ' Ἅιδα θαλάμους.*

ΤΑΛΘΥΒΙΟΣ.

*ποῦ τὴν ἄνασσαν δή ποτ' οὖσαν Ἰλίου*
*Ἑκάβην ἂν ἐξεύροιμι, Τρῳάδες κόραι;*
*ΧΟ.* *αὕτη πέλας σου νῶτ' ἔχουσ' ἐπὶ χθονί,*
*Ταλθύβιε, κεῖται ξυγκεκλῃμένη πέπλοις.*

---

464 *τε* om. *L* 465 *χρυσέαν τ' L* 467 *τᾶς A τὰς A*[2] *τῆς B καλλιδίφρουσ A σ* rescr. *A*[2] | *θεᾶς ναίουσ'* Nauck] *ἀθαναίας* (*ἀθηναίας G*) libri 468 *κροκαίω BL* 469 *ἅρα* rec.] *ἄρα A ἅρματα B ἅρματι rb*[a] | *ἐν* om. *L* 470 *δαιδαλαίαις B δαιδαλαίαισι B*[2] *δαιδαλέῃσι LG δαιδαλταῖσι* Dindorf 472 *ἢ*] *καὶ* Burges 475 om. *E* 477 *καπνῷ* om. *B* (sed superscr. *B*[1] scholia scribens: *ἥτις καπνῷ ἀφανίζεται*) 478 *δορύκτητος A* ut vid., in *υ* et *η* rasura, ut nunc *δορίκτιτος* legatur 479 *Ἀργεῖων* Hermann, sed vide ad v. 470 480 *κέκλῖμαι B κέκλημαι B*[2] 481 *δοῦλα A δούλη L* | *λείπουσ'* Musgrave 482 *γρ. θεράπναν* minio superscr. *E*[1]] *θεράπ∗ναν A αι* sup. *π∗ν* scr. *A*[2] *θεράπαιναν r* 483 *ἀλλάξασ A ἀλλάξασ' A*[2] | *Ἅιδα* Canter] *ἀΐδα* libri | *θαλάμων* Hartung, malim antea *θεραπνᾶν* cum Purgoldo 486 *νῶτ' ἔχουσ'*] *νωχελῶς* A. Hecker 487 *ξυγκεκλημένη A*] *ξυγκεκλιμένη A*[2] *συγκεκλιμένη B συγκεκλεισμένη rb*[a]

ἢ πρὸς τὸ δεινὸν ἤλθεθ' ὡς ἐχθράν, γέρον,
κτείνοντες; εἰπὲ καίπερ οὐ λέξων φίλα.

ΤΑ. διπλᾶ με χρῄζεις δάκρυα κερδᾶναι, γύναι,
σῆς παιδὸς οἴκτῳ· νῦν τε γὰρ λέγων κακὰ
τέγξω τόδ' ὄμμα πρὸς τάφῳ θ' ὅτ' ὤλλυτο.
παρῆν μὲν ὄχλος πᾶς Ἀχαιικοῦ στρατοῦ
πλήρης πρὸ τύμβου σῆς κόρης ἐπὶ σφαγάς·
λαβὼν δ' Ἀχιλλέως παῖς Πολυξένην χερὸς
ἔστησ' ἐπ' ἄκρου χώματος, πέλας δ' ἐγώ·
λεκτοί τ' Ἀχαιῶν ἔκκριτοι νεανίαι,
σκίρτημα μόσχου σῆς καθέξοντες χεροῖν,
ἕσποντο. πλῆρες δ' ἐν χεροῖν λαβὼν δέπας
πάγχρυσον αἴρει χειρὶ παῖς Ἀχιλλέως
χοὰς θανόντι πατρί· σημαίνει δέ μοι
σιγὴν Ἀχαιῶν παντὶ κηρῦξαι στρατῷ.
κἀγὼ καταστὰς εἶπον ἐν μέσοις τάδε·
σιγᾶτ', Ἀχαιοί, σῖγα πᾶς ἔστω λεώς,
σίγα σιώπα· νήνεμον δ' ἔστησ' ὄχλον.
ὃ δ' εἶπεν· ὦ παῖ Πηλέως, πατὴρ δ' ἐμός,
δέξαι χοάς μοι τάσδε κηλητηρίους,
νεκρῶν ἀγωγούς· ἐλθὲ δ', ὡς πίῃς μέλαν
κόρης ἀκραιφνὲς αἷμ', ὅ σοι δωρούμεθα
στρατός τε κἀγώ· πρευμενὴς δ' ἡμῖν γενοῦ
λῦσαί τε πρύμνας καὶ χαλινωτήρια
νεῶν δὸς ἡμῖν πρευμενοῦς τ' ἀπ' Ἰλίου
νόστου τυχόντας πάντας ἐς πάτραν μολεῖν.
τοσαῦτ' ἔλεξε, πᾶς δ' ἐπηύξατο στρατός.
εἶτ' ἀμφίχρυσον φάσγανον κώπης λαβὼν
ἐξεῖλκε κολεοῦ, λογάσι δ' Ἀργείων στρατοῦ

516 ἤλθετ' *A* 519 λέξων *L* 520 τάφον *B* 521 ἀχαϊκοῦ libri 525 λεκτοί] δισσοί F. Gu. Schmidt 528 **ρει *A* ἄ*ρει *a*] ἔρρει *r* $A^2 a^2$ | αἴρει χειρὶ] fort. ἄρδην εἶχε (εἶχε proposuit etiam F. Gu. Schmidt) 530 κηρύξαι libri 531 καταστὰς *Aa* (παρα sup. κατα scr. $a^2$)] παραστὰς *r* 532 σῖγα *Aal*] σίγα *BL* σιγᾶ *G* $A^2 a^2$ 534 ὃ δ' *Aa*] ὅδ' *G* ὁ δ' *r* 535 μοι rec.] μου veteres libri, cfr. 605, 789 540 δ' post δὸς add. *B* $a^2$ | πρευμενοῦς] εὐμαροῦς Heimsoeth, fort. εὐσταλοῦς | τ' om. *B* 541 πάτρας *E* et $A^2$, qui τρας rescripsit vel correxit 542 ἐπηύξατο omnes libri 543 ἀμφιχρύσου Herwerden 544 κουλεοῦ *E* $a^3$ | στρατοῦ om. *B* add. *b*

*νεανίαις ἔνευσε παρθένον λαβεῖν.*
*ἡ δ', ὡς ἐφράσθη, τόνδ' ἐσήμηνεν λόγον·*
*ὦ τὴν ἐμὴν πέρσαντες Ἀργεῖοι πόλιν,*
*ἑκοῦσα θνῄσκω· μή τις ἅψηται χροὸς*
*τοὐμοῦ· παρέξω γὰρ δέρην εὐκαρδίως.*
*ἐλευθέραν δέ μ', ὡς ἐλευθέρα θάνω,*
*πρὸς θεῶν μεθέντες κτείνατ'· ἐν νεκροῖσι γὰρ*
*δούλη κεκλῆσθαι βασιλὶς οὖσ' αἰσχύνομαι.*
*λαοὶ δ' ἐπερρόθησαν Ἀγαμέμνων τ' ἄναξ*
*εἶπεν μεθεῖναι παρθένον νεανίαις.*
*[οἳ δ', ὡς τάχιστ' ἤκουσαν ὑστάτην ὄπα,*
*μεθῆκαν, οὗπερ καὶ μέγιστον ἦν κράτος.]*
*κἀπεὶ τόδ' εἰσήκουσε δεσποτῶν ἔπος,*
*λαβοῦσα πέπλους ἐξ ἄκρας ἐπωμίδος*
*ἔρρηξε λαγόνας ἐς μέσας παρ' ὀμφαλόν,*
*μαστούς τ' ἔδειξε στέρνα θ' ὡς ἀγάλματος*
*κάλλιστα, καὶ καθεῖσα πρὸς γαῖαν γόνυ*
*ἔλεξε πάντων τλημονέστατον λόγον·*
*ἰδού, τόδ' εἰ μὲν στέρνον, ὦ νεανία,*
*παίειν προθυμῇ, παῖσον, εἰ δ' ὑπ' αὐχένα*
*χρῄζεις, πάρεστι λαιμὸς εὐτρεπὴς ὅδε.*
*ὃ δ' οὐ θέλων τε καὶ θέλων οἴκτῳ κόρης*
*τέμνει σιδήρῳ πνεύματος διαρροάς·*
*κρουνοὶ δ' ἐχώρουν. ἡ δὲ καὶ θνῄσκουσ' ὅμως*
*πολλὴν πρόνοιαν εἶχεν εὐσχήμων πεσεῖν,*
*κρύπτουσ' ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.*

546 *ἦδ'* *BE* | *τόνδ' ἐσήμηνεν* *El*] *τόνδε σήμηινεν* *A* *τόνδ' ἐσήμηνε* *aBL* *τόνδ' ἐσήμανεν* *G* 549 *γὰρ*] *δὲ* *AL* corr. *A*[2] 550 *ἐλευθέρως θάνω* Elmsley 551 *κτείνετ'* *A* 553 *τ' ἄναξ*] *δ' ἄναξ* *BLG* 554 *εἶπε* *BLG* 555. 556 eiecit Iacobs 555 *ὑστέραν* *A* *γρ.* *καὶ ὑστέραν* *a*[1] in marg. 559 *λαγόνος* rec. | *μέσας* Brunck] *μέσον* libri 560 *ἀγαλμάτων* *G* 561 *καὶ κατθεῖσα* *BEG* *****εῖσα* *L* *καὶ καθεῖσα* *l* 563 *ἰδοῦ* *A* 565 *εὐτρεπὴς* (*τ* ras. ex *π* corr.) *aG* *εὐπρεπὴς* *L* 566 *οὖν* (*αὖ* malit Nauck) *θέλων τε κοὐ θέλων* Kayser 567 *πνευμόνων* Valckenaer, cfr. frg. 983 N. 568 *θνῄσκουσ'*] *πίπτουσ'* codd. nonnulli Hermogenis apud Walzium III p. 181 569 *εὐσχήμων* Plinius epist. IV, 11 (*μήποτ' ἀσχήμων* papyr. Herculan. 831 apud Gomperzium Sitzungsber. d. Wiener Akad. ph. hist. Cl. 80 p. 757)] *εὐσχήμως* *aELG* cum Luciano Demosth. enc. 47 et Galeno XVIII, 2, 8 et plerisque codd. Hermogenis *εὐσήμως* *A* *εὐσχημόνως* *B* cum Clemente Alex. strom. II p. 182 S., Galeno XIV, 236, codice uno Hermogenis 570 schol. rec.: *ἔπεσεν εἰς τὸ*

ἐπεὶ δ' ἀφῆκε πνεῦμα θανασίμῳ σφαγῇ,
οὐδεὶς τὸν αὐτὸν εἶχεν Ἀργείων πόνον·
ἀλλ' οἳ μὲν αὐτῶν τὴν θανοῦσαν ἐκ χερῶν
φύλλοις ἔβαλλον, οἳ δὲ πληροῦσιν πυρὰν
κορμοὺς φέροντες πευκίνους, ὁ δ' οὐ φέρων
πρὸς τοῦ φέροντος τοιάδ' ἤκουεν κακά·
ἕστηκας, ὦ κάκιστε, τῇ νεάνιδι
οὐ πέταλον οὐδὲ κορμὸν ἐν χεροῖν ἔχων;
οὐκ εἶ τι δώσων τῇ περίσσ' εὐκαρδίῳ
ψυχήν τ' ἀρίστῃ; τοιάδ' ἀμφὶ σῆς κλύων
παιδὸς θανούσης εὐτεκνωτάτην λέγω
πασῶν γυναικῶν, δυστυχεστάτην δέ σε.

ΧΟ. δεινόν τι πῆμα Πριαμίδαις ἐπέζεσεν
πόλει τε τἠμῇ θεῶν ἀνάγκαισιν τόδε.

ΕΚ. ὦ θύγατερ, οὐκ οἶδ' εἰς ὅ τι βλέψω κακῶν,
πολλῶν παρόντων· ἢν γὰρ ἅψωμαί τινος,
τόδ' οὐκ ἐᾷ με, παρακαλεῖ δ' ἐκεῖθεν αὖ
λύπη τις ἄλλη διάδοχος κακῶν κακοῖς.
καὶ νῦν τὸ μὲν σὸν ὥστε μὴ στένειν πάθος
οὐκ ἂν δυναίμην ἐξαλείψασθαι φρενός·
τὸ δ' αὖ λίαν παρεῖλες ἀγγελθεῖσά μοι
γενναῖος. οὔκουν δεινόν, εἰ γῆ μὲν κακὴ
τυχοῦσα καιροῦ θεόθεν εὖ στάχυν φέρει,
χρηστὴ δ' ἁμαρτοῦσ' ὧν χρεὼν αὐτὴν τυχεῖν
κακὸν δίδωσι καρπόν, ἄνθρωποι δ' ἀεὶ

---

κακόζηλον, ὅπερ κακίζουσιν οἱ ὀβελίζοντες, delet versum Wheeler | κρύπτουσ' *G* (sic) cum Clemente, Hermogene, Eusthatio in Il. p. 216] κρύπτουσα θ' *E* κρύπτειν θ' (ουσα sup. ειν scr. m. 1, rescr. al. m.) *a* κρύπτειν θ' *r* schol. *B*: κρύπτουσα ἃ χρὴ μὴ βλέπειν τοὺς τῶν ἀνδρῶν ὀφθαλμούς | χρεών] ἐχρῆν Clemens 574 δὲ πληροῦσι libri δ' ἐπληροῦσαν Choeroboscus II p. 537 (Bekkeri An. III p. 1293 Cram. An. Ox. IV p. 182) 575 πευκίνουσ' *A* 576 ἤκουε *BL* 578 πέταλον οὐδὲ κορμὸν Bergk (κορμὸν iam Schott)] πέπλον οὐδὲ κόσμον libri 580 κλύων scripsi] λέγων *Aab*[a] λέγον *rA*[2]*a*[2] 581 εὐτεκνοτάτην *BE* εὐγονωτάτην *G* | λέγω scripsi (ex v. 580)] δέ σε libri 582 δυστοιχειστάτην *A* corr. *A*[2] | δέ σε scripsi (ex v. 581)] θ' ὁρῶ libri (θ' om. rec. cum Choerobosco II p. 551) 583 ἐπέζεσεν *AEl*] ἐπέζεσε *r* 584 ἀνάγκαισιν Herwerden] ἀναγκαῖον libri 589 fort. μὴ οὐ 591 τοῦ δ' Blaydes 592 γενναῖος *aE* α sup. ος scr. *a*[1]*E*[1] | δεινὸν μὲν εἰ *A* μὲν del. *A*[2] 593 εὖ στάχυν *LG*] εὔσταχυν *r* 594 ὧν τυχεῖν αὐτὴν χρεών Mekler 595 ἄνθρωποι (vel ἐν βροτοῖς) Hermann] ἀνθρώποις libri | αἰεὶ *B*

*Πρίαμε, γεραιά θ' ἥδ' ἐγὼ μήτηρ τέκνων,*
*ὡς ἐς τὸ μηδὲν ἥκομεν, φρονήματος*
*τοῦ πρὶν στερέντες. εἶτα δῆτ' ὀγκούμεθα*
*ὃ μέν τις ἡμῶν πλουσίοισι δώμασιν,*
*ὃ δ' ἐν πολίταις τίμιος κεκλημένος.*
*τὰ δ' οὐδέν· ἄλλως φροντίδων βουλεύματα*
*γλώσσης τε κόμποι. κεῖνος ὀλβιώτατος,*
*ὅτῳ κατ' ἦμαρ τυγχάνει μηδὲν κακόν.*

ΧΟ. *ἐμοὶ χρῆν συμφοράν,* stroph.
*ἐμοὶ χρῆν πημονὰν γενέσθαι,*
*Ἰδαίαν ὅτε πρῶτον ὕλαν*
*Ἀλέξανδρος εἰλατίναν*
*ἐτάμεθ', ἅλιον ἐπ' οἶδμα ναυστολήσων*
*Ἑλένας ἐπὶ λέκτρα, τὰν*
*καλλίσταν ὁ χρυσοφαὴς*
*Ἅλιος αὐγάζει.*

*πόνοι γὰρ καὶ πόνων* antistr.
*ἀνάγκαι κρείσσονες κυκλοῦνται.*
*κοινὸν δ' ἐξ ἰδίας ἀνοίας*
*κακὸν τᾷ Σιμουντίδι γᾷ*
*ὀλέθριον ἔμολε συμφορά τ' ἀπ' ἄλλων.*
*ἐκρίθη δ' ἔρις, ἃν ἐν Ἴ-*
*δᾳ κρίνει τρισσὰς μακάρων*
*παῖδας ἀνὴρ βούτας,*

*ἐπὶ δορὶ καὶ φόνῳ καὶ ἐμῶν μελάθρων λώβᾳ·*
*στένει δὲ καί τις ἀμφὶ τὸν εὔροον Εὐρώταν*
*Λάκαινα πολυδάκρυτος ἐν δόμοις κόρα,*

---

*κνώτατε* (ο sup. ω scr. m. 1) *E εὐτεκνότατε Ba*[2] *εὐτεκνώτατα A εὐγονώτατε G* 621 *θ' ἥδ'*] *δ' B* 623 *ὠγκούμεθα* G. Schmid 624 *πλουσίοισι* Bothe] *πλουσίοις ἐν* libri 626 *τὰ δ'* Reiske] *τάδ'* libri | *οὐδὲν ἀλλ' ἢ* Reiske 628 *κατῆμαρ AL* 635 *ἑλένης L* 637 *ἥλιος B ἅλιος a ῆ* sup. *ᾶ* scr. *a*[2] 638 *καὶ* om. *L* 639 *κρέσσονες G μείζονες B* 641 *τᾶι — γᾶι a ῆ* bis sup. *ᾶ* scr. *a*[2] *τᾷ — γῇ G* | *σιμουντίδι AB*] *σιμουντίδᾳ r* 642 *τ' ἀπ' ἄλλων* (*τ' ἀπάλλων AB*)] *τε τλάμων* Weil fort. *τε πάντων* (*θ' ἁπάντων* F. Gu. Schmidt) 650 *εὔροον* Hermann] *εὔρουν AaEL εὔρρουν BG*

πολιόν τ' ἐπὶ κρᾶτα μάτηρ
τέκνων θανόντων
τίθεται χέρα δρύπτεταί τε παρειάν,
δίαιμον ὄνυχα τιθεμένα σπαραγμοῖς.

ΘΕΡΑΠΑΙΝΑ.

γυναῖκες, Ἑκάβη ποῦ ποθ' ἡ παναθλία,
ἡ πάντα νικῶσ' ἄνδρα καὶ θῆλυν σπορὰν
κακοῖσιν; οὐδεὶς στέφανον ἀνθαιρήσεται.
ΧΟ. τί δ', ὦ τάλαινα σῆς κακογλώσσου βοῆς;
ὡς οὔποθ' εὕδει λυπρά σου κηρύγματα.
ΘΕ. Ἑκάβῃ φέρω τόδ' ἄλγος· ἐν κακοῖσι δὲ
οὐ ῥᾴδιον βροτοῖσιν εὐφημεῖν στόμα.
ΧΟ. καὶ μὴν περῶσα τυγχάνει δόμων ὕπερ
ἥδ', ἐς δὲ καιρὸν σοῖσι φαίνεται λόγοις.
ΘΕ. ὦ παντάλαινα κἄτι μᾶλλον ἢ λέγω,
δέσποιν', ὄλωλας κοὐκέτ' εἶ βλέπουσα φῶς,
ἄπαις ἄνανδρος ἄπολις ἐξεφθαρμένη.
ΕΚ. οὐ καινὸν εἶπας, εἰδόσιν δ' ὠνείδισας.
ἀτὰρ τί νεκρὸν τόνδε μοι Πολυξένης
ἥκεις κομίζουσ', ἧς ἀπηγγέλθη τάφος
πάντων Ἀχαιῶν διὰ χερὸς σπουδὴν ἔχειν;
ΘΕ. ἥδ' οὐδὲν οἶδεν, ἀλλά μοι Πολυξένην
θρηνεῖ, νέων δὲ πημάτων οὐχ ἅπτεται.
ΕΚ. οἲ 'γὼ τάλαινα· μῶν τὸ βακχεῖον κάρα
τῆς θεσπιῳδοῦ δεῦρο Κασάνδρας φέρεις;
ΘΕ. ζῶσαν λέλακας, τὸν θανόντα δ' οὐ στένεις

653 πολιὰν *BL* ὸν sup. ἀν scr. *b* | τ'] δ' *BLG* | μήτηρ *aBL* 655 τε *EG*] δὲ *B* om. *r* unde 653—655 πολιά τε κρᾶτα μάτηρ τέκνων θανόντων δρύπτεται παρειάν Hartung 656 γρ. καὶ δίδυμον *a*[1] in marg. 662 οὔποτ' *A* | σου] τοι F. Gu. Schmidt μοι Herwerden 663 Ἑκάβῃ] fort. καινὸν 665 ὕπερ *AEL*] ἄπο *BG* (*E*[2] superscr. ἀπό) ὑπό *a*[2] in ras. γρ. ἄπο superscr. *a*[3] πάρος F. Gu. Schmidt 666 ἧδε *L* | ἐς δὲ καιρὸν] εἰς καιρὸν *A* εἰς καιρὸν δὲ *EL* fort. τυγχάνει γὰρ ἐκ δόμων, ἐς καιρὸν ἥδε σοῖσι 667 κἄτι *ELG*] κάτι *a* καὶ ἔτι *AB* 668 κοὐκέτ' *AaBEGl*] οὐκέτ' *La*[2] 669 secludit F. Gu. Schmidt 670 εἰδόσι* *a* εἰδόσι *BLGA*[2] 672 ἀπηγγέλη *E* | τάφος] fort. πυρὰ 673 πάντων * *B* | χειρὸς *E* | ἔχων *B* γρ. ἔχειν *b*[2] 676 οἴ 'γὼ *G*] οἴ ἐγὼ *aBL* οἱ ἐγὼ *AE* οἱ ἐγὼ *a*[2] 677 κασάνδρας *EL*] κασσάνδρας *r*

τόνδ'· ἀλλ' ἄθρησον σῶμα γυμνωθὲν νεκροῦ,
εἴ σοι φανεῖται θαῦμα καὶ παρ' ἐλπίδα.
*ΕΚ.* οἴμοι, βλέπω δὴ παῖδ' ἐμὸν τεθνηκότα,
Πολύδωρον, ὅν μοι Θρῄξ ἔσῳζ' οἴκοις ἀνήρ.
ἀπωλόμην δύστηνος, οὐκέτ' εἰμὶ δή.

ὦ τέκνον τέκνον,
αἰαῖ, κατάρχομαι νόμον
βακχεῖον, ἐξ ἀλάστορος
ἀρτιμαθὴς νέον.
*ΘΕ.* ἔγνως γὰρ ἄτην παιδός, ὦ δύστηνε σύ;
*ΕΚ.* ἄπιστ' ἄπιστα, καινὰ καινὰ δέρκομαι.
ἕτερα δ' ἀφ' ἑτέρων κακὰ κακῶν κυρεῖ·
οὐδέποτ' ἀστένακτος ἀδάκρυτος ἀ-
μέρα ἐπισχήσει.
*ΧΟ.* δείν', ὦ τάλαινα, δεινὰ πάσχομεν κακά.
*ΕΚ.* ὦ τέκνον τέκνον ταλαίνας ματρός,
τίνι μόρῳ θνῄσκεις,
τίνι πότμῳ κεῖσαι
πρὸς τίνος ἀνθρώπων;
*ΘΕ.* οὐκ οἶδ'· ἐπ' ἀκταῖς νιν κυρῶ θαλασσίοις.
*ΕΚ.* ἔκβλητον, ἢ πέσημα φοινίου δορός,
ἐν ψαμάθῳ λευρᾷ;

---

680 *ἐλπίδα* a ἐλπίδα LG*] *ἐλπίδας r* | versum delet Herwerden 685 *αἰαῖ*] *αἲ αἲ AaE αἶ αἶ* $ra^{2}$ | *νόμον* $ab^{3}$] *νόμων ABEl* (*ων* sup. *ον* scr. $a^{2}$ *ων* sup. *ων* scr. $A^{2}$ (sic)) *γόων G **** L γρ. γόον* superscr. $a^{1}$ *γρ. γόων* superscr. $A^{1}$ scholia scribens, in marg. scr. *l* 686 *βακχεῖον AaB*] *βακχείων r ων* sup. *ον* scr. $A^{2}a^{2}$ 687 *ἀρτιμαθὴς A* schol.: *γρ. ἀρτιμαθῆ νόμον* | *νέον* scripsi] *κακῶν* libri 690 *ἕτερα δ'*] *ἕτερ' B* | *ἐφ'* $a^{2}$ 691 *ἀστένακτος ἀδάκρυτος* Bothe] *ἀδάκρυτος ἀστένακτος AaBEl ἀδάκρυτον ἀστένακτον LG* | *ἀμέρα* Bothe] *ἀμέρα μ'* libri 692 post *ἐπισχήσει* add. $B^{1}$ scholia scribens spatio trium literarum vacuo relicto *αἶ αἶ τῶν κακῶν* 693 *ΧΟ.*] *θε. χορ.* (utramque notam scr. m. 1) *a θερ. B* — (= *θερ.*) *L* 694 *μητρός BE* corr. $E^{1}$ 697 *ἀνθρώπου L* 698 *θαλασσίοις* Hartung] *θαλασσίαις* libri

699 *ἔκβολον* Weil | *φοινίου BLG*] *φονίου r* 700 *θερ* (superscr. *ά*) praefigunt libri (lineolam *L*), Hecubae, cui primus restituit Lachmann, esse intellexerunt veteres grammatici, $a^{1}$ enim (rescr. ab $a^{2}$) in marg. annotavit: *τινὲς καὶ τοῦτο τῆς ἑκάβης εἶναί φασιν* | *ψαμμάθῳ* $Ba^{2}$ | *λευρὰ B*

ἥκω δ' ἀποστελῶν σε· τἀκεῖθεν γὰρ εὖ
πεπραγμέν' ἐστίν, εἴ τι τῶνδ' ἐστὶν καλῶς.
ἔα· τίν' ἄνδρα τόνδ' ἐπὶ σκηναῖς ὁρῶ
θανόντα Τρώων; οὐ γὰρ Ἀργεῖον πέπλοι
δέμας περιπτύσσοντες ἀγγέλλουσί μοι.
ΕΚ. δύστην', ἐμαυτὴν γὰρ λέγω λέγουσα σέ,
Ἑκάβη, τί δράσω; πότερα προσπέσω γόνυ
Ἀγαμέμνονος τοῦδ' ἢ φέρω σιγῇ κακά;
ΑΓ. τί μοι προσώπῳ νῶτον ἐγκλίνασα σὸν
δύρῃ, τὸ πραχθὲν δ' οὐ λέγεις, τίς ἔσθ' ὅδε.
ΕΚ. ἀλλ', εἴ με δούλην πολεμίαν θ' ἡγούμενος
γονάτων ἀπώσαιτ', ἄλγος ἂν προσθείμεθ' ἄν.
ΑΓ. οὔτοι πέφυκα μάντις, ὥστε μὴ κλύων
ἐξιστορῆσαι σῶν ὁδὸν βουλευμάτων.
ΕΚ. ἆρ' ἐκλογίζομαί γε πρὸς τὸ δυσμενὲς
μᾶλλον φρένας τοῦδ', ὄντος οὐχὶ δυσμενοῦς;
ΑΓ. εἴ τοί με βούλει τῶνδε μηδὲν εἰδέναι,
ἐς ταὐτὸν ἥκεις· καὶ γὰρ οὐδ' ἐγὼ κλύειν.
ΕΚ. οὐκ ἂν δυναίμην τοῦδε τιμωρεῖν ἄτερ
τέκνοισι τοῖς ἐμοῖσι. τί στρέφω τάδε;
τολμᾶν ἀνάγκη, κἂν τύχω κἂν μὴ τύχω.
Ἀγάμεμνον, ἱκετεύω σε τῶνδε γουνάτων
καὶ σοῦ γενείου δεξιᾶς τ' εὐδαίμονος.
ΑΓ. τί χρῆμα μαστεύουσα; μῶν ἐλεύθερον
αἰῶνα θέσθαι; ῥᾴδιον γάρ ἐστί σοι.
ΕΚ. οὐ δῆτα· τοὺς κακοὺς δὲ τιμωρουμένη
αἰῶνα τὸν σύμπαντα δουλεύειν θέλω.
ΑΓ. καὶ δὴ τίν' ἡμᾶς εἰς ἐπάρκεσιν καλεῖς;
ΕΚ. [οὐδέν τι τούτων ὧν σὺ δοξάζεις, ἄναξ.]

---

731 τὰ κεῖθεν AaE corr. a² 732 ἐστὶν EGl] ἐστὶ r 734 ἀργεῖον LG] ἀργείων E ἀργεῖοι r 735 περιπτύσσοντες] γρ. στέλλοντες sup. πτύσσοντες scr. a¹ scholia scribens | ἀγγέλουσι AaE λ sup. λ scr. E¹ 736 delet F. Gu. Schmidt 739 νῶτον] νῶτ' E 740 δύρηι Aa] ὀδύρῃ r (ὀδυρῇ a²) | πραχθὲν ex κραθὲν corr. a² et a³ 742 ἄλγος αὖ Brunck | προσθείμεθ' ἂν AE] προσθείμεθα aG προσθείμεθ' ἄλγει L 747 τοι Aa] τι r 750 ἐμοῖσ L 752 γουνάτων AL] γονάτων r 756—58 om. Aa (in A 755 ultimus est fol. 32ᵛ versus), add. a² in marg. 756 δὲ] γὰρ E 757 δουλεύειν LG] δουλεύσειν E δουλεῦσαι a² 758 ἐπάρκεσιν LG] ἐπάρκειαν Ea² 759 seclusit

*ὁρᾷς νεκρὸν τόνδ', οὗ καταστάζω δάκρυ;*
ΑΓ. *ὁρῶ· τὸ μέντοι μέλλον οὐκ ἔχω μαθεῖν.*
ΕΚ. *τοῦτόν ποτ' ἔτεκον κἄφερον ζώνης ὕπο.*
ΑΓ. *ἔστιν δὲ τίς σῶν οὗτος, ὦ τλῆμον, τέκνων;*
ΕΚ. *οὐ τῶν θανόντων Πριαμιδῶν ὑπ' Ἰλίῳ.*
ΑΓ. *ἦ γάρ τιν' ἄλλον ἔτεκες ἢ κείνους, γύναι;*
ΕΚ. *ἀνόνητά γ', ὡς ἔοικε, τόνδ' ὃν εἰσορᾷς.*
ΑΓ. *ποῦ δ' ὢν ἐτύγχαν', ἡνίκ' ὤλλυτο πτόλις;*
ΕΚ. *πατήρ νιν ἐξέπεμψεν ὀρρωδῶν θανεῖν.*
ΑΓ. *ποῖ τῶν τότ' ὄντων χωρίσας τέκνων μόνον;*
ΕΚ. *ἐς τήνδε χώραν, οὗπερ ηὑρέθη θανών.*
ΑΓ. *πρὸς ἄνδρ' ὃς ἄρχει τῆσδε Πολυμήστωρ χθονός;*
ΕΚ. *ἐνταῦθ' ἐπέμφθη πικροτάτου χρυσοῦ φύλαξ.*
ΑΓ. *θνῄσκει δὲ πρὸς τοῦ καὶ τίνος πότμου τυχών;*
ΕΚ. *τίνος γ' ὑπ' ἄλλου; Θρῄξ νιν ὤλεσε ξένος.*
ΑΓ. *ὦ τλῆμον· οὗ που χρυσὸν ἠράσθη λαβεῖν;*
ΕΚ. *τοιαῦτ', ἐπειδὴ συμφορὰν ἔγνω Φρυγῶν.*
ΑΓ. *ηὗρες δὲ ποῦ νιν, ἢ τίς ἤνεγκεν νεκρόν;*
ΕΚ. *ἥδ', ἐντυχοῦσα ποντίας ἀκτῆς ἔπι.*
ΑΓ. *τοῦτον ματεύουσ' ἢ πονοῦσ' ἄλλον πόνον;*
ΕΚ. *λούτρ' ᾤχετ' οἴσουσ' ἐξ ἁλὸς Πολυξένῃ.*
ΑΓ. *κτανών νιν, ὡς ἔοικεν, ἐκβάλλει ξένος.*
ΕΚ. *θαλασσόπλαγκτόν γ', ὧδε διατεμὼν χρόα.*
ΑΓ. *ὦ σχετλία σὺ τῶν ἀμετρήτων πόνων.*
ΕΚ. *ὄλωλα κοὐδὲν λοιπόν, Ἀγάμεμνον, κακῶν.*
ΑΓ. *φεῦ φεῦ· τίς οὕτω δυστυχὴς ἔφυ γυνή;*
ΕΚ. *οὐκ ἔστιν, εἰ μὴ τὴν τύχην αὐτὴν λέγοις.*
*ἀλλ' ὧνπερ εἵνεκ' ἀμφὶ σὸν πίτνω γόνυ*

---

Hartung (hunc versum interpolatum esse, cum v. 756—758 intercidissent, iudicat H. Behrns) 760 *οὐ* *A* *οὗ* *A*[2] 761 *μαθεῖν*] *φράσαι* *a* 762 *καὶ ἔφερον* *Aa* *κἄφερον* *a*[2] 763 *ἔστι* *A* 767 *ἐτύγχανεν* *L*[1] | *πόλις* *EL* et *ὄλλυται πόλις* Bothe 768 *ἐξέπεμψε* *A* 770 *εὑρέθη* libri 773 *πότμο** *A* *πότμου* *A*[1] 774 *γ'* minio superscr. *E*[1] postea inser. *L*[1] | *ὤλεσεν* *A* 775 *οὗ* scripsi] *ἦ* libri (*ἦ* *A* *ἤ* *A*[2]) 777 *εὗρες* libri | *ἤνεγκε** *a* *ἤνεγκε* *G* 778 *ἀκτῆς*] *ἁλὸς* *LG* 779 *μαστεύουσ'* *A*[2]*a*[2] 780 *ἐξ ἁλὸς οἴσουσα* *L* 782 *θαλασσόπλαγκτον* *aE*[1] (*γ* in ras. scr. *E*[1])] *θαλασσόπλακτον* *r* 784 *κακ** *E* *ῶν* sup. **** scr. *E*[1] *κακόν* *L* 785 *οὕτως* *AE* | *ἔφυ* (*υ* ex *η* corr. man. 1 vel 2) *A* *ἔφυ* (*υ* rescr. vel corr. *l*) *L* *ἔφη* *E* 786 *λέγεις* *LG* cum Eustathio in Il. p. 651 787 *ἀλῶνπερ* (*ω* ex *λ* corr. m. 1) *A* | *οὕνεκ'* libri | *πίτνω*

*ἄκουσον. εἰ μὲν ὅσιά σοι παθεῖν δοκῶ,*
*στέργοιμ' ἄν· εἰ δὲ τοὔμπαλιν, σύ μοι γενοῦ*
*τιμωρὸς ἀνδρὸς ἀνοσιωτάτου ξένου,*
*ὃς οὔτε τοὺς γῆς νέρθεν οὔτε τοὺς ἄνω*
*δείσας δέδρακεν ἔργον ἀνοσιώτατον*
*κοινῆς τραπέζης πολλάκις τυχὼν ἐμοί,*
*ξενίας τ' ἀριθμῷ πρῶτα τῶν ἐμῶν φίλων·*
*τυχὼν δ' ὅσων δεῖ καὶ λαβὼν προμηθίαν*
*ἔκτεινε, τύμβου δ', εἰ κτανεῖν ἐβούλετο,*
*οὐκ ἠξίωσεν, ἀλλ' ἀφῆκε πόντιον.*
*ἡμεῖς μὲν οὖν δοῦλοί τε κἀσθενεῖς ἴσως·*
*ἀλλ' οἱ θεοὶ σθένουσι χὠ κείνων κρατῶν*
*νόμος· νόμῳ γὰρ τοὺς θεοὺς ἡγούμεθα*
*καὶ ζῶμεν ἄδικα καὶ δίκαι' ὡρισμένοι·*
*ὃς ἐς σ' ἀνελθὼν εἰ διαφθαρήσεται,*
*καὶ μὴ δίκην δώσουσιν οἵτινες ξένους*
*κτείνουσιν ἢ θεῶν ἱερὰ τολμῶσιν φέρειν,*
*οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον.*
*ταῦτ' οὖν ἐν αἰσχρῷ θέμενος αἰδέσθητί με·*
*οἴκτειρον ἡμᾶς ὡς γραφεύς τ' ἀποσταθεὶς*
*ἰδοῦ με κἀνάθρησον οἷ' ἔχω κακά.*
*τύραννος ἦ ποτ', ἀλλὰ νῦν δούλη σέθεν,*
*εὔπαις ποτ' οὖσα, νῦν δὲ γραῦς ἄπαις θ' ἅμα,*
*ἄπολις ἔρημος, ἀθλιωτάτη βροτῶν.*
*οἴμοι τάλαινα, ποῖ μ' ὑπεξάγεις πόδα;*
*ἔοικα πράξειν οὐδέν· ὦ τάλαιν' ἐγώ.*
*τί δῆτα θνητοὶ τἄλλα μὲν μαθήματα*

---

scripsi] *πίπτω* libri 789 *σύ μου A* 790 *ἀξενωτάτου ξένου* Bothe 791 *τοὺς γῆς*] *θεοὺς γῆς* Burges | **νέρθεν* (*ε* erasum ante *ν*) *A* 793—97 damnat Nauck (794—95 iam Matthiae eiecit, 794—97 Dindorf) 794 *τ'*] *θ' A* | *πρῶτα*] *ταπρῶτα E* | *φίλων ALG*] *ξένων aE γρ. καὶ ξένων* $A^1$ in marg. 795 *δ'* om. *A* add. $A^2$ | *ὅσον Aa ω* sup. *ο* scr. $a^2$ 796 *εἰ* in ras. $A^2$ | *ἠβούλετο a* 799 *κρατῶν*] *νόμος* Schenkl deletis versibus 800. 801, quos ab interpolatore additos esse coniecit Nauck 800 *τοὺς*] *καὶ* Dindorf 802 *εἰ* ex *ἢ* corr. $A^2$ 804 *τολμῶσι*A τολμῶσι LG* 805, quem affert Stobaeus flor. 43, 13. 105, 34, priore loco cum aliis perditae fabulae versibus coniunctus est 806 *μ* L με l* 807 **ρα*εύς A γραφεύς* $A^2$ 808 *ἴδου Aa ιδοῦ E* | *οἷ A οἷ'* $A^2$ 809 *δέσποινα γάρ ποτ' L γρ. τύραννος ἦν ποτ'* in marg. *l* *ἦν* libri 810 suspectus 812 *ποῦ L* 814 *δὴ τὰ A δῆτα* $A^2$

ἢ Δαιδάλου τέχναισιν ἢ θεῶν τινος,
ὡς πάνθ' ὁμαρτῇ σῶν ἔχοιντο γουνάτων
κλαίοντ' ἐπισκήπτοντα παντοίους λόγους.
ὦ δέσποτ', ὦ μέγιστον Ἕλλησιν φάος,
πιθοῦ, παράσχες χεῖρα τῇ πρεσβύτιδι
τιμωρόν, εἰ καὶ μηδέν ἐστιν, ἀλλ' ὅμως.
ἐσθλοῦ γὰρ ἀνδρὸς τῇ δίκῃ θ' ὑπηρετεῖν
καὶ τοὺς κακοὺς δρᾶν πανταχοῦ κακῶς ἀεί.
ΧΟ. δεινόν γε, θνητοῖς ὡς ἅπαντα συμπίτνει,
καὶ τὰς ἀνάγκας οἱ νόμοι διώρισαν,
φίλους τιθέντες τούς γε πολεμιωτάτους
ἐχθρούς τε τοὺς πρὶν εὐμενεῖς ποιούμενοι.
ΑΓ. ἔγωγε καὶ σὸν παῖδα καὶ τύχας σέθεν,
Ἑκάβη, δι' οἶκτον χεῖρά θ' ἱκεσίαν ἔχω
καὶ βούλομαι θεῶν θ' εἵνεκ' ἀνόσιον ξένον
καὶ τοῦ δικαίου τήνδε σοι δοῦναι δίκην,
εἴ πως φανείη γ' ὥστε σοί τ' ἔχειν καλῶς,
στρατῷ τε μὴ δόξαιμι Κασάνδρας χάριν
Θρῄκης ἄνακτι τόνδε βουλεῦσαι φόνον.
ἔστιν γὰρ ᾗ ταραγμὸς ἐμπέπτωκέ μοι·
τὸν ἄνδρα τοῦτον φίλιον ἡγεῖται στρατός,
τὸν κατθανόντα δ' ἐχθρόν· εἰ δ' ἐμοὶ φίλος
ὅδ' ἐστί, χωρὶς τοῦτο κοὐ κοινὸν στρατῷ.
πρὸς ταῦτα φρόντιζ'· ὡς θέλοντα μέν μ' ἔχεις
σοὶ ξυμπονῆσαι καὶ ταχὺν προσαρκέσαι,
βραδὺν δ', Ἀχαιοῖς εἰ διαβληθήσομαι.
ΕΚ. φεῦ.
οὐκ ἔστι θνητῶν ὅστις ἔστ' ἐλεύθερος·

---

839 ἔχοιτο *Aa* ν sup. ι scr. *a*[2] | γονάτων *EG* 841 ἕλλησιν *aL*[1]] ἕλλησι *r* 842 παράσχες Is. Voſs παράσχε* (σ post ε erasum) *G*] π*ρ*σχ* *A* πάρ*σχε *E* πάρασχε *rE*[1]*A*[2] 846 συμπιτνεῖ libri 848 πολεμωτάτους *A* ι super μω scr. *A*[2] 850 ἔγωγε *LG*] ἐγὼ σὲ *r* 851 ἱκέσιαν *Aa*[2] ἱκεσίαν *A*[2] ἱκέσιον *a* 852 οὕνεκ' libri 853 τήνδε (ον sup. ήν scr. m. 1) *L* τόνδε *G* | δίκην *LG* (et *E*[2] in marg.)] χάριν *r* 854 φανείην γ' *LGa*[2] 855 δόξαι με Kvičala | κασσάνδρας *aG* 857 ᾗ] ἣ *A* ἥ *A*[2] οἷ *G* ἥ superscr. *g* 858 φίλιον *Aa* (alterum ι in ras. *a*[1])] φίλον *r* | ἡγεῖσθαι *A* ἡγεῖται *A*[2] 859 δ' ἐμοὶ Elmsley] δέ σοι libri 860 τοῦτο κοὐ] τοῦτ' οὐ *A* κ inter τ' et ὁ inseruit *A*[2] | στρατῶ *A* οῦ super ω scr. *A*[1] 862 σὺ *A* σοὶ *A*[2] 864 φεῦ versui sequenti addunt libri 864 οὐκ ἔστιν ἀνδρῶν Aristoteles rhet. II, 21

ἢ χρημάτων γὰρ δοῦλός ἐστιν ἢ τύχης,
ἢ πλῆθος αὐτὸν πόλεος ἢ νόμων γραφαὶ
εἴργουσι χρῆσθαι μὴ κατὰ γνώμην τρόποις.
ἐπεὶ δὲ ταρβεῖς τῷ τ' ὄχλῳ πλέον νέμεις,
ἐγώ σε θήσω τοῦδ' ἐλεύθερον φόβου.
σύνισθι μὲν γάρ, ἤν τι βουλεύσω κακὸν
τῷ τόνδ' ἀποκτείναντι, συνδράσῃς δὲ μή.
ἢν δ' ἐξ Ἀχαιῶν θόρυβος ἢ 'πικουρία
πάσχοντος ἀνδρὸς Θρῃκὸς οἷα πείσεται
φανῇ τις, εἶργε μὴ δοκῶν ἐμὴν χάριν.
τὰ δ' ἄλλα θάρσει· πάντ' ἐγὼ θήσω καλῶς.
ΑΓ. πῶς οὖν; τί δράσεις; πότερα φάσγανον χερὶ
λαβοῦσα γραίᾳ φῶτα βάρβαρον κτενεῖς,
ἢ φαρμάκοισιν ἢ 'πικουρίᾳ τινί;
τίς σοι ξυνέσται χείρ; πόθεν κτήσῃ φίλους;
ΕΚ. στέγαι κεκεύθασ' αἵδε Τρῳάδων ὄχλον.
ΑΓ. τὰς αἰχμαλώτους εἶπας, Ἑλλήνων ἄγραν;
ΕΚ. σὺν ταῖσδε τὸν ἐμὸν φονέα τιμωρήσομαι.
ΑΓ. καὶ πῶς γυναιξὶν ἀρσένων ἔσται κράτος;
ΕΚ. δεινὸν τὸ πλῆθος σὺν δόλῳ τε δύσμαχον.
ΑΓ. δεινόν· τὸ μέντοι θῆλυ μέμφομαι γένος.
ΕΚ. τί δ'; οὐ γυναῖκες εἷλον Αἰγύπτου τέκνα
καὶ Λῆμνον ἄρδην ἀρσένων ἐξῴκισαν;
ἀλλ' ὣς γενέσθω· τόνδε μὲν μέθες λόγον,
πέμψον δέ μοι τήνδ' ἀσφαλῶς διὰ στρατοῦ
γυναῖκα. καὶ σὺ Θρῃκὶ πλαθεῖσα ξένῳ
λέξον· καλεῖ σ' ἄνασσα δή ποτ' Ἰλίου
Ἑκάβη, σὸν οὐκ ἔλασσον ἢ κείνης χρέος,
καὶ παῖδας· ὡς δεῖ καὶ τέκν' εἰδέναι λόγους
τοὺς ἐξ ἐκείνης. τὸν δὲ τῆς νεοσφαγοῦς

---

866 *αὐτῶν L* | *πόλεος* Aldina] *πόλεως* libri 868 *πλεῖον L* 870 *ἤν* in ras. *l* 871 *συνδράμῃς G* 873 *Θρῃκὸς οἷα*] *οἷα γάρ μοι L* 876 *πῶς οὖν;*] fort. *τί οὖν;* cfr. Hipp. 598 | *πότερον AE* 877 *γραῖα aEL γραία a²* 878 *τίνι Aa* 879 *ξύνεστι A ξυνέσται A²* 880 *κεκεύθουσ' G κεύθουσ' L κεκεύθασ' l* | *οἵδε*] *ὧδε G* 881 *εἶπας* om. *E* | *ἄγρας A ἄγραν A²* 882 *τὸν ἐμὸν*] *τέκνον* Earle 883 *ἀ*** L ἀρσένων l* 888 *ὣς EA²*] *ὡς r* | *γενέσθαι LGa²* | *μέθος A μέθες A²* 890 *πλαθεῖσα AaG*] *πλασθεῖσα ELa³ πλαγχθεῖσα A²* 891 *δή*] *πρίν* Elmsley 894 *ἐκείνου Aa* corr. *a²*

Πολυξένης ἐπίσχες, Ἀγάμεμνον, τάφον,
ὡς τώδ' ἀδελφὼ πλησίον μιᾷ φλογί,
δισσὴ μέριμνα μητρί, κρυφθῆτον χθονί.
ΑΓ. ἔσται τάδ' οὕτω· καὶ γὰρ εἰ μὲν ἦν στρατῷ
πλοῦς, οὐκ ἂν εἶχον τήνδε σοι δοῦναι χάριν·
νῦν δ', οὐ γὰρ ἵησ' οὐρίους πνοὰς θεός,
μένειν ἀνάγκη πλοῦν ὁρῶντας ἥσυχον.
γένοιτο δ' εὖ πως· πᾶσι γὰρ κοινὸν τόδε
ἰδίᾳ θ' ἑκάστῳ καὶ πόλει, τὸν μὲν κακὸν
κακόν τι πάσχειν, τὸν δὲ χρηστὸν εὐτυχεῖν.

ΧΟ. σὺ μέν, ὦ πατρὶς Ἰλιάς, stroph.
τῶν ἀπορθήτων πόλις οὐκέτι λέξῃ·
τοῖον Ἑλλάνων νέφος ἀμφί σε κρύπτει
δορὶ δὴ δορὶ πέρσαν.
ἀπὸ δὲ στεφάναν κέκαρσαι
πύργων, κατὰ δ' αἰθάλου
κηλῖδ' οἰκτροτάταν κέχρωσαι·
τάλαιν', οὐκέτι σ' ἐμβατεύσω.

μεσονύκτιος ὠλλύμαν, antistr.
ἦμος ἐκ δείπνων ὕπνος ἡδὺς ἐπ' ὄσσοις
σκίδναται, μολπᾶν δ' ἄπο καὶ χοροποιὸν
θυσίαν καταπαύσας
πόσις ἐν θαλάμοις ἔκειτο,
ξυστὸν δ' ἐπὶ πασσάλῳ,
ναύταν οὐκέθ' ὁρῶν ὅμιλον
Τροίαν Ἰλιάδ' ἐμβεβῶτα.

---

897 δισσὴ μέριμνα *G*] δισσ* μέριμν[α] *A* δισσὼ μέριμνα $A^2$ δισσῇ μερίμνα *L* δισσῇ μερίμνῃ *aE* αἱ sup. δισσῇ et αι sup. νῃ scr. $a^2$ 898 εἰ] ἦν *E* 900 οὐρίους *aE*] οὐρίας *r* 901 ἡσύχους Elmsley 902 πῶς] σοί G. Schmid | κοινὸν] καλὸν C. F. Nagel 907 τοῖον King] τοῖον δ' *Aa* τοιόνδ' *r* 909 δὴ om. *ELG* add. *l* 910 δὲ] γὲ *L* | στεφάνων *G* 911 αἰθάλου καπνοῦ libri καπνοῦ del. Triclinius 912 οἰκτροτάτα* *a* οἰκτρότατα $Ga^2$ 913 τάλαινα *G* 914 ὀλλύμαν *E* corr. $E^2$ ὀλόμαν *L* ὀλοίμαν *l* 915 ἐκ *G*] * ἐκ *aA* δ' ἐκ *EL* | ὕπνος om. *L* add. *l* | ἁδὺς Dindorf 916 κίδναται *G* | μολπᾶν *aEG*] μολπὰν $Aa^2$ μολπῶν *L* | ἄπο] ὄπα Burges | χοροποιῶν scripto ο super ῶ *E*] χοροποιῶν *Aa* χαροποιὸν $A^2a^2$ χαροποιῶν *LG* 918 θυσίαν *AaEL*] θυσιᾶν $E^2l$ θυσιῶν *G*, fort. θαλίαν 922 Τροίαν] πάτραν Burges | ἐμβεβῶτα Triclinius] ἐμβεβαῶτα libri

*ἂν μήτε πέλαγος ἅλιον ἀπαγάγοι πάλιν,*
*μήτε πατρῷον ἵκοιτ' ἐς οἶκον.*

ΠΟΛΥΜΗΣΤΩΡ.

*ὦ φίλτατ' ἀνδρῶν Πρίαμε, φιλτάτη δὲ σύ,*
*Ἑκάβη, δακρύω σ' εἰσορῶν πόλιν τε σὴν*
*τήν τ' ἀρτίως θανοῦσαν ἔκγονον σέθεν.*
*φεῦ·*
*οὐκ ἔστι πιστὸν οὐδέν, οὔτ' εὐδοξία*
*οὔτ' αὖ καλῶς πράσσοντα μὴ πράξειν κακῶς.*
*φύρουσι δ' αὐτὰ θεοὶ πάλιν τε καὶ πρόσω*
*ταραγμὸν ἐντιθέντες, ὡς ἀγνωσίᾳ*
*σέβωμέν αὐτούς. ἀλλὰ ταῦτα μὲν τί δεῖ*
*θρηνεῖν προκόπτοντ' οὐδὲν ἐς πρόσθεν κακῶν;*
*σὺ δ', εἴ τι μέμφῃ τῆς ἐμῆς ἀπουσίας,*
*σχές· τυγχάνω γὰρ ἐν μέσοις Θρῄκης ὅροις*
*ἀπών, ὅτ' ἦλθες δεῦρ'· ἐπεὶ δ' ἀφικόμην,*
*ἤδη πόδ' ἔξω δωμάτων αἴροντί μοι*
*ἐς ταὐτὸν ἥδε συμπίτνει δμωὶς σέθεν,*
*λέγουσα μύθους, ὧν κλύων ἀφικόμην.*

*ΕΚ.* *αἰσχύνομαί σε προσβλέπειν ἐναντίον,*
*Πολυμῆστορ, ἐν τοιοῖσδε κειμένη κακοῖς.*
*ὅτῳ γὰρ ὤφθην εὐτυχοῦσ', αἰδώς μ' ἔχει*
*ἐν τῷδε πότμῳ τυγχάνουσ' ἵν' εἰμὶ νῦν*
*κοὐκ ἂν δυναίμην προσβλέπειν ὀρθαῖς κόραις.*
*ἀλλ' αὐτὸ μὴ δύσνοιαν ἡγήσῃ σέθεν,*
*Πολυμῆστορ· ἄλλως δ' αἴτιόν τι καὶ νόμος,*
*γυναῖκας ἀνδρῶν μὴ βλέπειν ἐναντίον.*

---

950 *ἂν*] *ἦν* $La^2$ 952 *εἰς* $LG^1$ 953 ut spurium notat Nauck 954 *τοσὰν* *L* *τε σὴν* *l* 956 *ἔστι* *L*] *ἔστιν* *r* | *πιστὸν οὐδὲν* *AL*] *οὐδὲν πιστὸν* *r* 957 *πράξαντα* Stobaeus flor. 105, 35 | *πρά***** *L* *πράξειν* *l* 958 *φ?ρουσιν* *A* *φύρουσιν* $A^2$ *φέρουσιν* man. rec. | *αὐτὰ* Hermann] *αὖθ' οἱ* *AaG* *αὖθ' οἱ* *E* *δ' αὖθ'* rescr. et *οἱ θεοὶ* in ras. scr. *l* *αὖ τοι* $a^2$. in marg. scr. $a^3$ *γρ. αὖθ' οἱ θεοὶ ἢ αὐτοὶ* 963 *'τύγχανον* (sic) *G* *ἐτύγχανον* $a^2$ et $a^3$ | *μέσοις* *A* *μέσης* $A^1$ *οι* sup. *η* scr. $A^2$ 966 *συμπίτνει* *Ἀ*] *συμπιτνεῖ* $aEGA^2$ *συμπίπτει* *L* 967 *ἀφικόμην*] *πάρειμί σοι* Weil, *ἐφεσπόμην* R. Prinz (malim *ἅμ' ἑσπόμην*) 969 *πολυμήστορ'* *A* ʹ in ˜ mut. vid. $A^2$ 970—75 damnat Dindorf (971 iam Porson, 973—75 Hartung spurios notavit) 972 *προσ******* *a* *προσβλέπειν* $a^1$ | *σ'* post *προσβλέπειν* add. rec.

ΠΛΜ. καὶ θαῦμά γ' οὐδέν. ἀλλὰ τίς χρεία σ' ἐμοῦ;
τί χρῆμ' ἐπέμψω τὸν ἐμὸν ἐκ δόμων πόδα;
ΕΚ. ἴδιον ἐμαυτῆς δή τι πρὸς σὲ βούλομαι
καὶ παῖδας εἰπεῖν σούς· ὀπάονας δέ μοι
χωρὶς κέλευσον τῶνδ' ἀποστῆναι δόμων.
ΠΛΜ. χωρεῖτ'· ἐν ἀσφαλεῖ γὰρ ἥδ' ἐρημία.
φίλη μὲν εἶ σύ, προσφιλὲς δέ μοι τόδε
στράτευμ' Ἀχαιῶν. ἀλλὰ σημαίνειν σε χρῆν
τί χρὴ τὸν εὖ πράσσοντα μὴ πράσσουσιν εὖ
φίλοις ἐπαρκεῖν· ὡς ἕτοιμός εἰμ' ἐγώ.
ΕΚ. πρῶτον μὲν εἰπὲ παῖδ' ὃν ἐξ ἐμῆς χερὸς
Πολύδωρον ἔκ τε πατρὸς ἐν δόμοις ἔχεις,
εἰ ζῇ· τὰ δ' ἄλλα δεύτερόν σ' ἐρήσομαι.
ΠΛΜ. μάλιστα· τοὐκείνου μὲν εὐτυχεῖς μέρος.
ΕΚ. ὦ φίλταθ', ὡς εὖ κἀξίως σέθεν λέγεις.
ΠΛΜ. τί δῆτα βούλει δεύτερον μαθεῖν ἐμοῦ;
ΕΚ. εἰ τῆς τεκούσης τῆσδε μέμνηταί τί που.
ΠΛΜ. καὶ δεῦρό γ' ὥς σε κρύφιος ἐζήτει μολεῖν.
ΕΚ. χρυσὸς δὲ σῶς ὃν ἦλθεν ἐκ Τροίας ἔχων;
ΠΛΜ. σῶς, ἐν δόμοις γε τοῖς ἐμοῖς φρουρούμενος.
ΕΚ. σῶσόν νυν αὐτὸν μηδ' ἔρα τῶν πλησίον.
ΠΛΜ. ἥκιστ'· ὀναίμην τοῦ παρόντος, ὦ γύναι.
ΕΚ. οἶσθ' οὖν ὃ λέξαι σοί τε καὶ παισὶν θέλω;
ΠΛΜ. οὐκ οἶδα· τῷ σῷ τοῦτο σημανεῖς λόγῳ.
ΕΚ. ἔστ', ὦ φιληθεὶς ὡς σὺ νῦν ἐμοὶ φιλῇ,
ΠΛΜ. τί χρῆμ' ὃ κἀμὲ καὶ τέκν' εἰδέναι χρεών;
ΕΚ. χρυσοῦ παλαιαὶ Πριαμιδῶν κατώρυχες.
ΠΛΜ. ταῦτ' ἔσθ' ἃ βούλει παιδὶ σημῆναι σέθεν;
ΕΚ. μάλιστα, διὰ σοῦ γ'· εἶ γὰρ εὐσεβὴς ἀνήρ.

976 σ'] οι super σ' scr. $E^1$ 982 μὲν εἶ *LG*] μὲν ἡμῖν εἶ *r* | δ' ἐμοὶ *L* 983 σε χρῆν *A* σε χρῆ* *a*] σε χρὴ *r* $a^2$ σε δεῖ Brunck 984 τί] ὡς *E* | χρὴ] δεῖ Nauck 990 φίλτατ' *LG* | λέγεις σέθεν *L* 992 που Herwerden] μου libri 993 δεῦρ' ὄγ' *LG* | κρύφιος *aLG*] κρυφίως *AE* ως sup. ος scr. $a^2$ 994 et 995 σῶις *A* 995 δόμοις γε] δόμοισι *G* 996 σῶσόν νυν *E*] σῶσον νῦν *L* σῶσον νῦν *r* | τῶν] τοῦ *G* cum Eustathio in Il. p. 52. 792. 1312 et schol. Hom. apud Cramerum A. Par. III p. 81 | πλησίον] πλειόνων F. Gu. Schmidt 998 οὖν om. *L* | ὃ rec. (et Porson)] ἃ libri | παισὶ* *a* παισὶ *LG* ν add. *l* 999 τούτῳ *G* 1000 ἔστ' ὦ Hermann] ἔστω libri 1003 σημ***** *L* σημῆναι *l*

*ΠΑΜ.* τί δῆτα τέκνων τῶνδε δεῖ παρουσίας;
*ΕΚ.* ἄμεινον, ἢν σὺ κατθάνῃς, τούσδ' εἰδέναι.
*ΠΑΜ.* καλῶς ἔλεξας τῇδε καὶ σοφώτερον.
*ΕΚ.* οἶσθ' οὖν Ἀθάνας Ἰλίας ἵνα στέγαι;
*ΠΑΜ.* ἐνταῦθ' ὁ χρυσός ἐστι; σημεῖον δὲ τί;
*ΕΚ.* μέλαινα πέτρα γῆς ὑπερτέλλουσ' ἄνω.
*ΠΑΜ.* ἔτ' οὖν τι βούλει τῶν ἐκεῖ φράζειν ἐμοί;
*ΕΚ.* σῶσαί σε χρήμαθ' οἷς συνεξῆλθον θέλω.
*ΠΑΜ.* ποῦ δῆτα; πέπλων ἐντὸς ἢ κρύψασ' ἔχεις;
*ΕΚ.* σκύλων ἐν ὄχλῳ ταῖσδε σῴζεται στέγαις.
*ΠΑΜ.* ποῦ δ'; αἵδ' Ἀχαιῶν ναύλοχοι περιπτυχαί.
*ΕΚ.* ἴδιαι γυναικῶν αἰχμαλωτίδων στέγαι.
*ΠΑΜ.* τἄνδον δὲ πιστὰ κἀρσένων ἐρημία;
*ΕΚ.* οὐδεὶς Ἀχαιῶν ἔνδον, ἀλλ' ἡμεῖς μόναι.
ἀλλ' ἕρπ' ἐς οἴκους· καὶ γὰρ Ἀργεῖοι νεῶν
λῦσαι ποθοῦσιν οἴκαδ' ἐκ Τροίας πόδα·
ὡς πάντα πράξας ὧν σε δεῖ στείχῃς πάλιν
ξὺν παισὶν οὗπερ τὸν ἐμὸν ᾤκισας γόνον.

*ΧΟ.* οὔπω δέδωκας, ἀλλ' ἴσως δώσεις δίκην·
ἀλίμενόν τις ὡς ἐς ἄντλον πεσὼν
λέχριος ἐκπεσῇ φίλας καρδίας,
ἀμέρσας βίον. τὸ γὰρ ὑπέγγυον
Δίκᾳ καὶ θεοῖσιν οὗ συμπίτνει,
ὀλέθριον ὀλέθριον κακόν.
ψεύσει σ' ὁδοῦ τῆσδ' ἐλπὶς ἥ σ' ἐπήγαγεν
θανάσιμον πρὸς Ἀίδαν, ὦ τάλας·
ἀπολέμῳ δὲ χειρὶ λείψεις βίον.

---

1005 τῶν γε *L* 1006 τούσ γ' *L* 1007 ἔλεξας· τῇδε Boissonade 1013 πέπλον *A* πέπλων *A*[2] | ἐντὸς ἢ] ἐν στολῇ Jacobs | ἢ] ἡ *A*[2] 1016 ἴδιαι *E*] ἰδίᾳ *r* 1022 ξυμπαισὶν *A* ξὺμπαισὶν *a* | οὗπερ *A* ἧπερ *A*[2] 1024 chori notam non versui 1024 sed 1025 praefixit *A*[1], erasit et ante 1024 scr. *A*[2] 1025 ἀλίμενον] ἅλιον οὖν Herwerden | πεσὼν rec.] ἐμπεσὼν vet. libri 1026 ἐκπεσῇ *Gl* ἐκπέσῃ *r* | φίλης *L* | φίλων κερδέων Herwerden 1029 βίον Hermann] βίοτον libri 1030 δίκῃ *L* | θεοῖς *AE* | οὗ Hemsterhuys] οὐ libri | συμπίτνει *A*] συμπιτνεῖ *rA*[2] 1031 alterum ὀλέθριον delebat Hermann in priore editione, delet etiam, nisi aliquot in initio versus syllabae exciderint, Dindorf 1032 ψεύσεισ δ' *A* δ' del. et ' sup. σ scr. *A*[2] | ἥσ *A* ἥ σ' *A*[2] | ἐπήγαγεν *AE*] ἐπήγαγε *r* 1033 θανάσιμον] fort. θηλυφόνον | ὦ rec.] ἰὼ vet. libri 1034 δὲ minio superscr. *E*[1] | βίοτον *AL*

ΠΟΛΥΜΗΣΤΩΡ.

ὤμοι ἐγώ, πᾷ βῶ,
πᾷ στῶ, πᾷ κέλσω;
τετράποδος βάσιν θηρὸς ὀρεστέρου
τιθέμενος ἐπὶ χεῖρα κατ' ἴχνος; ποίαν
ἢ ταύταν ἢ τάνδ'
ἐξαλλάξω, τὰς
ἀνδροφόνους μάρψαι
χρῄζων Ἰλιάδας, αἵ με διώλεσαν;
τάλαιναι κόραι τάλαιναι Φρυγῶν,
ὦ κατάρατοι,
ποῖ καί με φυγᾷ πτώσσουσι μυχῶν;
εἴθε μοι ὀμμάτων αἱματόεν βλέφαρον
ἀκέσσαιο τυφλὸν ἀκέσσαι', Ἅλιε,
φέγγος ἀπαλλάξας.
ἆ ἆ,
σίγα· κρυπτὰν βάσιν αἰσθάνομαι
τάνδε γυναικῶν. πᾷ πόδ' ἐπᾴξας
σαρκῶν ὀστέων τ' ἐμπλησθῶ,
θοίναν ἀγρίων τιθέμενος θηρῶν,
ἀρνύμενος λώβαν
λύμας ἀντίποιν' ἐμᾶς; ὦ τάλας.
ποῖ πᾷ φέρομαι τέκν' ἔρημα λιπὼν
Βάκχαις Ἅιδου διαμοιρᾶσαι,
σφακτὰ κυσίν τε φοινίαν δαῖτ' ἀνή-

---

1056 sq. et 1080 ita permutandi videntur, ut hic legatur: ὤμοι ἐγώ, ποῦ (ut est in rec.) στῶ, πᾷ κάμψω, πᾷ βῶ; 1059 $a^2$ in marg. scr. λείπει | ποίαν alterum add. *l* 1060 ἢ ante ταύταν om. *L* add. *l* 1064 τάλαιναι κόραι τάλαιναι Seidler et Hermann] τάλαιναι τάλαιναι κόραι libri 1065 ὦ *aLG*] ὦ̄ (sic m. 1) *E* ἰώ *A* 1066 φυγῇ *G* | πτήσσουσι Blaydes 1068 ἀκέσσαιο τυφλὸν ἀκέσσαι' Weil] ἀκέσαιο ἀκέσαιο τυφλὸν libri (ἀκέσσαι' ἀκέσσαι', Ἅλιε, τυφλὸν Dindorf) 1070 σίγα bis *L* 1071 τάνδε Seidler] τᾶνδε *AaBEG* τῶνδε *L* | ἐπαΐξας libri 1073 ἀγρίαν *A* | τιθέμενος θηρῶν Seidler] θηρῶν (θηρίων *G*) τιθέμενος libri | τέ post τιθέμενος add. *l* 1074 αἰνύμενος *A* 1075 ἀντίποινα λύμας *L* | λύμ** *E* λύμαν $E^1$ ς sup. ν scr. $E^2$ | ὦ Seidler et Hermann] ἰώ libri 1077 διαμοιρᾶσαι *A*] διαμοιράσαι *r* 1078 σφακτὰ Hermann] σφακτὰν libri | κυσίν *Aa*] κυσὶ *r* | φοινίαν rec.] φονίαν vet. libri 1078 sq. ἀνήμερόν τ' οὐρείαν Hermann] ἀνήμερον οὐρείαν (οὐρεῖαν *B* ο super ου scr. *b*) τ' libri

*μερόν τ' οὐρείαν ἐκβολάν;*
*πᾷ στῶ, πᾷ κάμψω, πᾷ βῶ,*
*ναῦς ὅπως ποντίοις πείσμασι λινόκροκον*
*φᾶρος στέλλων, ἐπὶ τάνδε συθεὶς*
*τέκνων ἐμῶν φύλαξ*
*ὀλέθριον κοίταν;*
*ΧΟ.* *ὦ τλῆμον, ὥς σοι δύσφορ' εἴργασται κακά·*
*δράσαντι δ' αἰσχρὰ δεινὰ τἀπιτίμια*
*[δαίμων ἔδωκεν ὅστις ἐστί σοι βαρύς].*
*ΠΛΜ.* *αἰαῖ, ἰὼ Θρῄκης*
*λογχοφόρον ἔνοπλον εὔιππον Ἄ-*
*ρει κάτοχον γένος.*
*ἰὼ Ἀχαιοί, ἰὼ Ἀτρεῖδαι.*
*βοὰν βοὰν ἀϋτῶ, βοάν·*
*ὢ ἴτε, μόλετε πρὸς θεῶν.*
*κλύει τις ἢ οὐδεὶς ἀρκέσει; τί μέλλετε;*
*γυναῖκες ὤλεσάν με,*
*γυναῖκες αἰχμαλωτίδες·*
*δεινὰ δεινὰ πεπόνθαμεν.*
*ὤμοι ἐμᾶς λώβας.*
*ποῖ τράπωμαι, ποῖ πορευθῶ;*
*ἀμπτάμενος οὐράνιον*
*ὑψιπετὲς ἐς μέλαθρον, Ὠρίων*
*ἢ Σείριος ἔνθα πυρὸς φλογέας ἀφίη-*

---

1080 fort. *πᾷ βῶ, ποῦ στῶ, πᾷ κέλσω;* (ex v. 1056 sq., verba *πᾷ βῶ* iam Porson ante *πᾷ στῶ* transposuit, *ποῦ στῶ* Wakefield coniecit) 1081 *ναῦς ὅπως*] fort. *ναὸς* (*ναὸς ὅπως* Musgrave) | *πείσμασιν EL* 1082 *φᾶρος A*] *φάρος rA²* | *τάνδε συθεὶς Aa*] *τάνδ' ἐσυθεὶς B* (, inter ε et σ scr. *b*) *τάνδ' ἐσσυθεὶς ra²* 1083 *ἐμῶν*] *μου* Hartung 1085 *εἴγασται B* 1086 *δ' AB*] *τ' r* 1087 e v. 723 huc retractum delevit Hermann | *ἔθηκεν L* 1088 *αἰαῖ*] *αἶ αἶ aE αἶ αἶ B αἶ αἶ αἶ αἶ A αἶ αἶ αἶ αἶ LG* 1089 *ἄρει* libri 1091 *ἰὼ ἰὼ ἀχαιοί G* 1092 *βοᾶν βοᾶν A* | secundum *βοάν* fere erasum in *E* | *βοάν A η* sup. *ά* scr. *A¹* hoc tertium *βοάν* om. *L* 1093 *ὢ B*] *ὦ AL ἰὼ G* om. *aE*, *ἴτε* Aldina, unde *ἴτ'* Porson 1096 *αἰχμαλωτίδες aL*] *αἰχμαλώτιδες rl* 1097 *δεινὰ φεῦ δεινὰ* Weil, alterum *δεινὰ* quod om. rec. delet Bothe 1098 *ἐμὰς A* 1099 *ποῖ—ποῖ*] *πᾶ—πᾶ L* 1100 *αἰθέρ'* (*αἰθέρα AaE*) *ἀμπτάμενος* libri: *αἰθέρα* delevit Hermann secundum schol. in *a*: *ἔν τισι τὸ αἰθέρα οὐ φέρεται*, sed pro *οὐράνιον* (*οὐράνιος* Gloël) scribendum videtur *αἰθέριος* 1101 *ὑψιπετής L* | *ὠρίων BGa¹*] *ὠρίων EL **ρίων A ὦ ὠρίων A¹* (vel *A²*) *a* 1102 fort. *φλογέους*

*σιν ὄσσων αὐγάς, ἢ τὸν ἐς Ἀίδα*
*μελάγχρωτα πορθμὸν ᾄξω τάλας;*
*ΧΟ.* *συγγνώσθ', ὅταν τις κρείσσον' ἢ φέρειν κακὰ*
*πάθῃ, ταλαίνης ἐξαπαλλάξαι ζόης.*

ΑΓΑΜΕΜΝΩΝ.

*κραυγῆς ἀκούσας ἦλθον· οὐ γὰρ ἥσυχος*
*πέτρας ὀρείας παῖς λέλακ' ἀνὰ στρατὸν*
*Ἠχὼ διδοῦσα θόρυβον· εἰ δὲ μὴ Φρυγῶν*
*πύργους πεσόντας ᾔσμεν Ἑλλήνων δορί,*
*φόβον παρέσχεν οὐ μέσως ὅδε κτύπος.*
*ΠΛΜ.* *ὦ φίλτατ'· ᾐσθόμην γάρ, Ἀγάμεμνον, σέθεν*
*φωνῆς ἀκούσας· εἰσορᾷς ἃ πάσχομεν;*
*ΑΓ.* *ἔα·*
*Πολυμῆστορ ὦ δύστηνε, τίς σ' ἀπώλεσεν;*
*τίς ὄμμ' ἔθηκε τυφλὸν αἱμάξας κόρας,*
*παῖδάς τε τούσδ' ἔκτεινεν; ἢ μέγαν χόλον*
*σοὶ καὶ τέκνοισιν εἶχεν ὅστις ἦν ἄρα.*
*ΠΛΜ.* *Ἑκάβη με σὺν γυναιξὶν αἰχμαλωτίσιν*
*ἀπώλεσ', οὐκ ἀπώλεσ', ἀλλὰ μειζόνως.*
*ΑΓ.* *τί φής; σὺ τοὔργον εἴργασαι τόδ', ὡς λέγει;*
*σὺ τόλμαν, Ἑκάβη, τήνδ' ἔτλης ἀμήχανον;*
*ΠΛΜ.* *ὤμοι, τί λέξεις; ἦ γὰρ ἐγγύς ἐστί που;*
*σήμηνον, εἰπὲ ποῦ 'σθ', ἵν' ἁρπάσας χεροῖν*
*διασπάσωμαι καὶ καθαιμάξω χρόα.*

---

1105 *ὄσων* *A* *ὄσσων* *A*² | *ἀΐδα* *EGa*³] *ἀΐδαν* *A* (*ν* nunc fere erasum) *aB*² (*ου* superscr. *b*) *ἀΐδαο* *BL* 1106 *μελάγχρωτα*] *μελαγχρῶτα* *AL* *μελανοχρῶτα* *aBEl* *μελανόχρωτα* *B*¹ | ante *πορθμὸν* in marg. add. *εἰς τόν* *b* | *ἀΐξω* libri 1107 *συγγνώσθ'* *G*] *σύγγνωσθ'* (sic m. 1) *E* *σύγγνωσθ'* *r* | *κρεῖσσον* *AB*² *κρεῖσσον'* *A*² *κρείσσον'* *B* et denuo *b* | *φέρει** *B* *φέρειν* *b* *φέρει* *L* 1108 *πάθη* *A* *πάσχη* *A*² | fort. *τάλαιναν σάρκ' ἀπαλλάξαι*, cfr. Hel. 302 | *ζόης* Porson] *ζοῆς* *L* (*οῆς* rescr. *l*) *ζωῆς* *r* 1109 *ἥσυχος* (*'* sup. *υ* et *ως* sup. *ος* scr. *a*¹*E*¹) *aE* *ἡσύχως* *B* fort. *εὔστομος* 1110 fort. *ὀρείου* | *λελ*** *A* *λέλακ'* *A*¹ vel *A*² 1112 *ᾔσμεν* Etym. m. p. 438] *ἴσμεν* libri (*ἴσμεν* *A*) 1113 *παρέσχεν ἂν οὐ* *AB* *παρεῖχεν οὐ* rec. recte ut videtur 1115 *φωνὴν* Blaydes 1116 *ἀπώλεσεν* *AEG*] *ἀπώλεσε* *r* 1118 *ἦ* *AB* corr. *A*²*B*¹ 1120 *αἰχμαλωτίσιν* *ALa*²] *αἰχμαλωτίσι* *G* *αἰχμαλώτισιν* *aE* *αἰχμαλώτοισιν* *B* 1121 *μείζονα* Elmsley 1122 *σὺ* *A* in *σοὶ* mut. *A*² | *εἴργασται* *A* 1123 *ἀμήχανον*] fort. *ἀμαίμακον* 1125 *ποὔστιν ἵν'* *L* 1126 *καθαιμάζω* *G*

*ᾔνουν, ὑπ' αὐγὰς τούσδε λεύσσουσαι πέπλους·*
*ἄλλαι δὲ κάμακε Θρῃκίω θεώμεναι*
*γυμνόν μ' ἔθηκαν διπτύχου στολίσματος.*
*ὅσαι δὲ τοκάδες ἦσαν, ἐκπαγλούμεναι*
*τέκν' ἐν χεροῖν ἔπαλλον, ὡς πρόσω πατρὸς*
*γένοιντο, διαδοχαῖς ἀμείβουσαι χερῶν·*
*κᾆτ' ἐκ γαληνῶν, πῶς δοκεῖς; προσφθεγμάτων*
*εὐθὺς λαβοῦσαι φάσγαν' ἐκ πέπλων ποθὲν*
*κεντοῦσι παῖδας, αἳ δὲ πολυπόδων δίκην*
*ξυναρπάσασαι τὰς ἐμὰς εἶχον χέρας*
*καὶ κῶλα· παισὶ δ' ἀρκέσαι χρῄζων ἐμοῖς,*
*εἰ μὲν πρόσωπον ἐξανισταίην ἐμόν,*
*κόμης κατεῖχον, εἰ δὲ κινοίην χέρας,*
*πλήθει γυναικῶν οὐδὲν ἤνυον τάλας.*
*τὸ λοίσθιον δέ, πῆμα πήματος πλέον,*
*ἐξειργάσαντο δείν'· ἐμῶν γὰρ ὀμμάτων,*
*πόρπας λαβοῦσαι, τὰς ταλαιπώρους κόρας*
*κεντοῦσιν αἱμάσσουσιν· εἶτ' ἀνὰ στέγας*
*φυγάδες ἔβησαν· ἐκ δὲ πηδήσας ἐγὼ*
*θὴρ ὣς διώκω τὰς μιαιφόνους κύνας,*
*[ἅπαντ' ἐρευνῶν τοῖχον ὡς κυνηγέτης]*
*βάλλων ἀράσσων. τοιάδε σπεύδων χάριν*
*πέπονθα τὴν σήν, πολέμιον τὸν σὸν κτανών,*
*Ἀγάμεμνον. ὡς δὲ μὴ μακροὺς τείνω λόγους,*
*εἴ τις γυναῖκας τῶν πρὶν εἴρηκεν κακῶς*
*ἢ νῦν λέγων ἔστιν τις ἢ μέλλει λέγειν,*

---

1154 *ᾔνουν* Hermann] *ᾔνουν θ'* libri | *τούσδ' ελεύσουσαι* *A* ' post *δ* del. *A*[2] | *λεύσουσαι* *Gb* *λεύσουσι* *B* 1155 *κάμακε Θρῃκίω* Hartung] *κάμακα θρῃκίαν* libri 1156 *ἔθηκα* *B* *αν* sup. *α* scr. *B*[2] | schol.: *γρ. καὶ στοχίσματος* (*στοχάσματος* Hartung) 1158 *ἐν χεροῖν ἔπαλλον*] fort. *ἀγκάλαις ἤμειβον* 1159 *γένοιτο* *B* *ν* sup. *οι* scr. *B*[2] | *διαδοχαῖς* *AaEL*] *διαδοχαῖσσιν* (prius *σ* del. *B*[2]) *B* *διαδοχαῖσιν* *Gl* | *χερῶν* *G*] *γρ. καὶ ἀμείβουσαι χεροῖν* *a*[2] scholia scribens in marg. *διὰ χερός* *r* | fort. *διαδοχαῖσι πάλλουσαι χερῶν* 1162 *πολυπόδων* Verrall] *πολεμίων* libri 1163 *τὰς*] *τάς γ'* *E* 1165 *ἐξαναστaίην* *L* 1166 *κόμην* *E* 1167 *ἤνυτον* Porson 1169 *δεινά* *aL* 1171 *στέγας* *G* *στέγος* *g* 1172 *ἐκ*] *ἐν* Herwerden 1174 eiecit R. Prinz 1175 *ἀρράσσων* *B* 1176 *τὸν* *L*] *τε* *r* 1178 *ὅστις* Stobaeus flor. 73, 9 | *εἴρηκε** *a* *εἴρηκε* *BG* 1179 *ἔστι** *τις* *a* *ἐστί* (*ἔστι* *G*) *τις* *BLG* *τίς ἐστιν* *E* *λέγει τις ἢ πάλιν μέλλει* Stobaeus | versus suspectus

ἅπαντα ταῦτα συντεμὼν ἐγὼ φράσω·
γένος γὰρ οὔτε πόντος οὔτε γῆ τρέφει
τοιόνδ᾽· ὁ δ᾽ αἰεὶ ξυντυχὼν ἐπίσταται.
ΧΟ. μηδὲν θρασύνου μηδὲ τοῖς σαυτοῦ κακοῖς
τὸ θῆλυ συνθεὶς ὧδε πᾶν μέμψῃ γένος.
[πολλαὶ γὰρ ἡμῶν αἳ μέν εἰσ᾽ ἐπίφθονοι,
αἳ δ᾽ εἰς ἀριθμὸν τῶν κακῶν πεφύκαμεν.]
ΕΚ. Ἀγάμεμνον, ἀνθρώποισιν οὐκ ἐχρῆν ποτε
τῶν πραγμάτων τὴν γλῶσσαν ἰσχύειν πλέον·
ἀλλ᾽, εἴτε χρήστ᾽ ἔδρασε, χρήστ᾽ ἔδει λέγειν,
εἴτ᾽ αὖ πονηρά, τοὺς λόγους εἶναι σαθροὺς
καὶ μὴ δύνασθαι τἄδικ᾽ εὖ λέγειν ποτέ.
σοφοὶ μὲν οὖν εἰσ᾽ οἱ τάδ᾽ ἠκριβωκότες,
ἀλλ᾽ οὐ δύνανται διὰ τέλους εἶναι σοφοί,
κακῶς δ᾽ ἀπώλοντ᾽· οὔτις ἐξήλυξέ πω.
καί μοι τὸ μὲν σὸν ὧδε φροιμίοις ἔχει·
πρὸς τόνδε δ᾽ εἶμι καὶ λόγοις ἀμείψομαι,
ὃς φῂς Ἀχαιῶν πόνον ἀπαλλάσσων διπλοῦν
Ἀγαμέμνονός θ᾽ ἕκατι παῖδ᾽ ἐμὸν κτανεῖν.
ἀλλ᾽, ὦ κάκιστε, πρῶτον οὔποτ᾽ ἂν φίλον
τὸ βάρβαρον γένοιτ᾽ ἂν Ἕλλησιν γένος
οὐδ᾽ ἂν δύναιτο. τίνα δὲ καὶ σπεύδων χάριν
πρόθυμος ἦσθα; πότερα κηδεύσων τινὰ

1180 συντεμών] συντιθεὶς rec. cum Stobaeo | φράσσω *A* 1182 τὸ σὸν δ᾽ *A* τοσόνδ᾽ *a* τοιόνδ᾽ $A^2 a^3$ | αἰεὶ *EL*] ἀεὶ *r* | γρ. ὁ δ᾽ αὐταῖς ξυντυχών $A^1$ in marg. 1183 θρασυν . . . . ᾽ ου *A* ᾽ sup. υ scr. et literas inter ν et ο delevit $A^2$ | μηδὲ *EGl*] μήτε *r* | σαυτοῦ *aEG*$B^2$] αὑτοῦ *r* 1184 μέμψῃ *B* φῃ sup. ψῃ scr. $B^2$ μέμφηι $a^3$ μέμφου *G* μέμψῃ in ras. *l* 1185—86 quos habet Stob. flor. 69, 16, damnavit Dindorf 1185 αἱ μὲν om. *A* 1187 fort. οὐχὶ χρῆν 1188 γλῶτταν *LG* 1189 εἴτ᾽ ἔδρασαν χρηστά Kuiper 1190 εἴτ᾽ *AG* εἰ δ᾽ *L* 1191 τὰ δίκαι᾽ εὖ περιστέλλειν i. e. τἄδικ᾽ εὖ περιστελεῖν cod. Marc. 507 cfr. O. Hense act. soc. phil. Lips. VI p. 334, unde suspiceris scribendum esse καὶ μηδέν᾽ αὐχεῖν τἄδικ᾽ εὖ περιστελεῖν, cfr. Med. 582 1193 δύνανται vet. libri (etiam *B*) δύναιντ᾽ ἂν rec. 1194 fort. κακῶν δ᾽ ἐπηύροντ᾽ | ἀπώλοντ᾽ οὔτις *G* et cod. Marc. 507] ἀπώλοντο κοὔτις *r* 1195 ὧδε rec.] ὧδ᾽ ἐν vet. libri 1196 fort. λόγοις σ᾽ 1197 ὃς *aBELA*$^2$] ὡς *A*$a^2$ ($a^2$ ὃς superscr.) πῶς *G*$B^2$ superscr. $a^3$ | φὴς *aBLG*$A^2$ φῂς *E* φῆς *A* φησ᾽ $B^2$ et φήσ᾽ Nauck | πόνον] γρ. καὶ φόνον superscr. $A^1$ scholia scribens 1200 ἕλλησι *ABG* 1201 οὐδ᾽ Dindorf] οὔτ᾽ libri | καὶ om. *L* 1202 fort. κηδεύων

ἢ συγγενὴς ὤν, ἢ τίν' αἰτίαν ἔχων;
ἢ σῆς ἔμελλον γῆς τεμεῖν βλαστήματα
πλεύσαντες αὖθις; τίνα δοκεῖς πείσειν τάδε;
ὁ χρυσός, εἰ βούλοιο τἀληθῆ λέγειν,
ἔκτεινε τὸν ἐμὸν παῖδα καὶ κέρδη τὰ σά.
ἐπεὶ δίδαξον τοῦτο· πῶς, ὅτ' ηὐτύχει
Τροία, πέριξ δὲ πύργος εἶχ' ἔτι πτόλιν
ἔζη τε Πρίαμος Ἕκτορός τ' ἤνθει δόρυ,
τί δ' οὐ τότ', εἴπερ τῷδ' ἐβουλήθης χάριν
θέσθαι, τρέφων τὸν παῖδα κἀν δόμοις ἔχων
ἔκτεινας ἢ ζῶντ' ἦλθες Ἀργείοις ἄγων;
ἀλλ' ἡνίχ' ἡμεῖς οὐκέτ' ἐσμὲν ἐν φάει,
καπνὸς δ' ἐσήμην' ἄστυ πυρπολούμενον,
ξένον κατέκτας σὴν μολόντ' ἐφ' ἑστίαν.
πρὸς τοῖσδε νῦν ἄκουσον, ὡς φανῇς κακός.
χρῆν σ', εἴπερ ἦσθα τοῖς Ἀχαιοῖσιν φίλος,
τὸν χρυσὸν ὃν φῂς οὐ σὸν ἀλλὰ τοῦδ' ἔχειν
δοῦναι φέροντα πενομένοις τε καὶ χρόνον
πολὺν πατρῴας γῆς ἀπεξενωμένοις·
σὺ δ' οὐδὲ νῦν πω σῆς ἀπαλλάξαι χερὸς
τολμᾷς, ἔχων δὲ καρτερεῖς ἔτ' ἐν δόμοις.
καὶ μὴν τρέφων μὲν ὥς σε παῖδα χρῆν τρέφειν
σώσας τε τὸν ἐμόν, εἶχες ἂν καλὸν κλέος·
ἐν τοῖς κακοῖς γὰρ ἀγαθοὶ σαφέστατοι
φίλοι· τὰ χρηστὰ δ' αὔθ' ἕκαστ' ἔχει φίλους.
εἰ δ' ἐσπάνιζες χρημάτων, ὃ δ' ηὐτύχει,
θησαυρὸς ἄν σοι παῖς ὑπῆρχ' οὑμὸς μέγας·
νῦν δ' οὔτ' ἐκεῖνον ἄνδρ' ἔχεις σαυτῷ φίλον,

---

1203 ἢ prius om. *L*, add. m. antiqua 1206 *βουλ*** L βούλοιο* m. ant. 1208 *εὐτύχει* libri 1209 *εἶχ' ἔτι*] *εἴχετο A* o in *ην* corr. *A² εἶχε τὴν L* | *πτόλιν E*] *πόλιν r* 1211 fort. *τί οὐ* | *τόδ' A τῷδ' A²* 1212 *τὸν* om. *L* add. *l* 1214 *ἐσμὲν AB*] *ἦμεν aE εἶμεν LG* 1215 *καπνὸς* Canter] *καπνῷ* libri | *πυρπολούμενον* Heimsoeth] *πολεμίων ὕπο* libri 1217 *ὡς φανῇ E οἷς φανῇ* Herwerden *ὡς φαίνῃ* Gloël 1218 *ἀχαιοῖσι* a ἀχαιοῖσι BEG ν* sup. *σι* scr. *E¹* 1220 *τε*] *τότε A* 1221 *ἀπεξε*νωμένοις E* 1222 *πω* A* 1224 *παῖδα χρῆν* scripsi] *παῖδ' ἐχρῆν* libri 1226 *τοῖς κακοῖς*] *κακοῖσι G* | *ἀγαθοὶ*] *οἱ 'γαθοὶ L οἱ ἀγαθοὶ r* | *σαφέστεροι L* 1227 *αὔθ' ἕκαστ' AaEG αὐθέκαστ' BL* 1228 *εὐτύχει* libri fort. *ηὐθένει* 1229 *ὑπῆρχεν G*

*ΕΚ.* οὐ γάρ με χαίρειν χρή σε τιμωρουμένην;
*ΠΑΜ.* ἀλλ' οὐ τάχ', ἡνίκ' ἄν σε ποντία νοτὶς
*ΕΚ.* μῶν ναυστολήσῃ γῆς ὅρους Ἑλληνίδος;
*ΠΑΜ.* κρύψῃ μὲν οὖν πεσοῦσαν ἐκ καρχησίων.
*ΕΚ.* πρὸς τοῦ βιαίων τυγχάνουσαν ἁλμάτων;
*ΠΑΜ.* αὐτὴ πρὸς ἱστὸν ναὸς ἀμβήσῃ ποδί.
*ΕΚ.* ὑποπτέροις νώτοισιν ἢ ποίῳ τρόπῳ;
*ΠΑΜ.* κύων γενήσῃ πύρσ' ἔχουσα δέργματα.
*ΕΚ.* πῶς δ' οἶσθα μορφῆς τῆς ἐμῆς μετάστασιν;
*ΠΑΜ.* ὁ Θρῃξὶ μάντις εἶπε Διόνυσος τάδε.
*ΕΚ.* σοὶ δ' οὐκ ἔχρησεν οὐδὲν ὧν ἔχεις κακῶν;
*ΠΑΜ.* οὐ γάρ ποτ' ἂν σύ μ' εἷλες ὧδε σὺν δόλῳ.
*ΕΚ.* θανοῦσα δ' ἢ ζῶσ' ἐνθάδ' ἐκπλήσω βίον;
*ΠΑΜ.* θανοῦσα· τύμβῳ δ' ὄνομα σῷ κεκλήσεται
*ΕΚ.* μορφῆς ἐπῳδόν, ἢ τί, τῆς ἐμῆς ἐρεῖς;
*ΠΑΜ.* κυνὸς ταλαίνης σῆμα, ναυτίλοις τέκμαρ.
*ΕΚ.* οὐδὲν μέλει μοι σοῦ γέ μοι δόντος δίκην.
*ΠΑΜ.* καὶ σήν γ' ἀνάγκη παῖδα Κασάνδραν θανεῖν.
*ΕΚ.* ἀπέπτυσ'· αὐτῷ ταῦτα σοὶ δίδωμ' ἔχειν.
*ΠΑΜ.* κτενεῖ νιν ἡ τοῦδ' ἄλοχος, οἰκουρὸς πικρά.
*ΕΚ.* μήπω μανείη Τυνδαρὶς τοσόνδε παῖς.
*ΠΑΜ.* καὐτόν γε τοῦτον, πέλεκυν ἐξάρασ' ἄνω.
*ΑΓ.* οὗτος σύ, μαίνῃ καὶ κακῶν ἐρᾷς τυχεῖν;
*ΠΑΜ.* κτεῖν', ὡς ἐν Ἄργει φόνια λουτρά σ' ἀμμένει.
*ΑΓ.* οὐχ ἕλξετ' αὐτόν, δμῶες, ἐκποδὼν βίᾳ;
*ΠΑΜ.* ἀλγεῖς ἀκούων; *ΑΓ.* οὐκ ἐφέξετε στόμα;
*ΠΑΜ.* ἐγκλήετ'· εἴρηται γάρ. *ΑΓ.* οὐχ ὅσον τάχος
νήσων ἐρήμων αὐτὸν ἐκβαλεῖτέ που,

---

1258 *χρή ELG*] *χρῆν r* 1260 *ναυστολήσει B* 1261 *κρύψει G* 1263 *ναὸς A νεώς A*[2] *νηὸς LG* | *ἀμβήσῃ aLG*] *ἐμβήσῃ ra*[2] 1265 *πῦρσ' G πῦρ A πύρσ' A*[2] 1266 *δ'* om. *L* 1267 *Θρῃξὶ*] *θρὴξ ὁ E* 1270 *βίον*] *πότμον* Musgrave *μόρον* Brunck *φάτιν* Weil 1271 *σῷ aEL*] *σὸν r* | *κεκλήσεται*] *τεθήσεται* Nauck 1275 *γ'*] *δ'* Kirchhoff | *κασάνδραν BEL*] *κασσάνδραν r* 1276 *αὐτῶν G* | *ταυτά A* 1277 *κτενεῖ* A* 1278 *μή πως* Hermann 1279 *γε L*] *σε AaEG* („at tum prior versus Agamemnoni tribuendus erat" Porson) *δε B* | *ἐξάρασ A* 1280 *ἀγ.* in ras. *aE*, erat *ἐκ.* 1281 *ἐν* om. *L* | *λουτρᾶσ A λουτρά σ' A*[2] | *ἀμμένει Γ*] ****μένει L ἀναμενεῖ A ἀναμένει r* 1283 *ἐφέξεται B ε* sup. *αι* scr. *B*[1] 1284 *ἐγκλείετ'* libri *γρ. καὶ πιέζετε* in marg. *A*[1] superscr. *a*[1] 1285 *ἐκβάλητε A* | *ποι B που* superscr. *b*

*ἐπείπερ οὕτω καὶ λίαν θρασυστομεῖ;*
*Ἑκάβη, σὺ δ', ὦ τάλαινα, διπτύχους νεκροὺς*
*στείχουσα θάπτε· δεσποτῶν δ' ὑμᾶς χρεὼν*
*σκηναῖς πελάζειν, Τρῳάδες· καὶ γὰρ πνοὰς*
*πρὸς οἶκον ἤδη τάσδε πομπίμους ὁρῶ.*
*εὖ δ' ἐς πάτραν πλεύσαιμεν, εὖ δὲ τἀν δόμοις*
*ἔχοντ' ἴδοιμεν τῶνδ' ἀφειμένοι πόνων.*
*ΧΟ.* *ἴτε πρὸς λιμένας σκηνάς τε, φίλαι,*
*τῶν δεσποσύνων πειρασόμεναι*
*μόχθων· στερρὰ γὰρ ἀνάγκη.*

---

1287 fort. *διπτύχω νεκρώ* 1294 *δεσποσύνων*] *δουλοσύνων* Hartung in fine *τέλος ἑκάβης AB τέλος εὐριπίδου ἑκάβης aEL* nulla subscriptio in *G*

# APPENDIX

coniecturas minus probabiles continens.

8 *ὃς γῆν* Nauck

10 *σύν μοι* Radermacher 12 *παισὶ*] *πᾶσι* Arnaud 13 *ᾧ* rec. 13—15, 27—34 (in v. 26 cum Herwerdeno *καὶ μεθῆκ' ἐς* scribens) delet (30—34 auctore Usenero) Klinkenberg 16 *ὀρθ' ἔτ' ἦν ἐρείσματα*, deleto v. 17, Herwerden 17 *χθονὸς*] *πόλεως* Nauck 18 *ηὐτύχει*] fort. *ηὐθένει*

20 *τραφεὶς νέος τις πτόρθος ηὐξόμην δέμας* F. Gu. Schmidt | *τάλας*] *καλαῖς* Wakefield, *νέος* Blaydes 25 *χρυσοῦ*] *κέρδους* Richard 26 *καὶ μεθῆκ' ἐς*, versu 27 deleto, Herwerden 27 *χρυσὸν*] *κτήματ'* Weil 29 *πολλοῖς*] *ἄλλοις* Usener

31 *Ἑκάβης*] *κεφαλῆς* A. Roemer | *ἀΐσσω*] *ἀνᾴσσω* Pierson, *ἀλύω* Hartung | *Ἑκάβης ἀΐσσω*] fort. *κινύσσομαι 'γὼ* 31 sq. *ᾄσσω τριταῖον φέγγος αἰωρούμενος*, ceteris deletis, Arnim 32 *τρίτον τόδ' ἤδη* Blaydes | *αἰωρούμενον* Canter 35 *ἔχοντες*] *λιπόντες* Blaydes

41 *πρόσσφαγμα* Wakefield | *λαβεῖν*] *λαχεῖν* Porson 46 *ἐμόν* Sakorraphos 47 sq. delet Klinkenberg 49 *σθένοντας*] *κρατοῦντας* vel *κραίνοντας* Blaydes

51 *τοὔπ' ἐμὲ μὲν οὖν ὅσωνπερ* Kvičala | *οἷόν περ* Weidner, *ὅσων περ* Bernardakis, *ὅσουπερ* Blaydes 53 *ὑπὸ*] *ἀπὸ* King | *ὑπὲρ σκηνὴν* (olim *πρὸ σκηνῆς*) Musgrave | *ποδί* Wakefield 54 delet Usener, 54—58 Klinkenberg 55 *φεῦ* delet Muretus 59—97 in stroph. et antistr. redigit Seidler

60 *τὴν ὁμόδουλον νῦν* Aldina, unde *νῦν ὁμόδουλον* (omisso *τὴν*) Porson 62 *λάβετε φέρετε*] *ἄγετε φέρετε ῥίπτετε* Blaydes | versum delebat olim Hartung 63 *γραίας* Valckenaer 65 *χερὸς*] etiam *χεροῖν* Blaydes 68 verba *ὦ στεροπὰ Διός* delet Weidgen | *ὦ πότνια Χθών* et 70 *ὦ σκοτία νύξ* Porson 69 *τί ποτ' ἄρ' αἴρομαι* Wakefield, *τίπτ' ἄρ' ἀείρομαι* Blaydes | *ἐννυχίοις αἴρομαι* O. Menzer

70 *φάσμασι δείμασιν* cl. El. 711 Camper, *δεινοῖς φάσμασιν* Blaydes 71 post 68 collocat Wakefield 73 *ἣν*] *τὰν* King 75 sq. *ἀμφὶ Πολυξείνης τε φίλης φοβερὰν ἐδάημεν* (ceteris deletis) Nauck | in v. 75—97 quae ad Polyxenam pertinent, ab Euripide abiudicat Chr. Baier 76 *φοβερὰν*] *φανερὰν* Musgrave | *φοβερὰν ὄψιν ἴδον, ἔμαθον, ἐδάην* Seidler | *ἔμαθον ἐδάην*] *μῦθόν τ' ἐδάην* Heath

80 *ὃς μένος* Wakefield | *μόνος οἰκτρῶν ἄγκυρα δόμων* Herwerden, *μόνος οἰκῶν ἄγκυρα δόμων* olim coniciebam | *ἄγκυρ' ἅτ' ἐμῶν* Reiske,

(ἐσθῶ; ποῦ τις vel potius) ἥσω πόδα; ποῦ τις | θεῶν olim Hermann, ποῖ πόδα δ' ἥσω; ποῦ τις | θεῶν Weil | ποῦ τίς Bothe 163 sq. στείχω; ποίαν δῆθ' ὁρμάσω; ποῦ ⟨μοι⟩ τις θεῶν ἢ δαίμων ἐστὶν ἀρωγός; Porson, στείχω; ποῦ τίς θεῶν ἢ δαίμων | ἐπαρωγός; ἰὼ κτἑ. Hermann | τίς θεὸς King 164 ἢ δαίμων ἔστ' ἐπαρωγός; in rec. libris, ἢ τίς δαίμων ἐπαρωγός; Brunck, ἢ δαίμων ἐστὶν ἀρωγός; Nauck, ἢ δαίμων ἔσται ἀρωγός; Dindorf, (ἢ δαιμόνων ἀρωγός; Bernardakis) 165 sqq. ὦ κάκ' ἐνεγκοῦσαι πήματ', ἀπωλέσατ', ὠλέσατε, Τρῳάδες· οὐκέτι κτἑ. vel potius ὦ κάκ' ἐνεγκοῦσαι Τρῳάδες πήματ', ἀπωλέσατ'· οὐκέτι κτἑ. Bothe 167 ἀπ' ἔμ' ὠλέσατ' ὠλέσατ' vel ὠλέσατ' ὠλέσατ' Battier 169 sq. ὦ.. πούς, ἄγησαι τᾷ γηραιᾷ Hermann

173 ἔξελθ' delet Bothe 173 sqq. ἄιε ματέρος, τέκνον, φάμαν περὶ σᾶς ψυχᾶς (ceteris deletis) Weil 174 ⟨ἔξελθ', ἄιε ματέρος⟩ αὐδάν, | ὦ τέκνον κτἑ. Hermann 174 sq. αὐδάν, τέκνον, ὡς εἰδῇς οἵαν ἀΐω φάμαν Hartung, qui olim 174—176 delebat, αὐδάν, τέκνον, ὡς ἀίω φάμαν Nauck 174 sqq. verba ὦ τέκνον.. ψυχᾶς cum Hecubae oratione 180 coniungebat olim Hermann 176 ψυχᾶς ⟨ὤμοι μοι⟩ Dindorf 177 alterum μᾶτερ delet Bothe

180 ὤ μοί μοι, τέκνον (ut est in rec. libro) Hermann, qui olim ἰώ, τέκνον, ὡς εἰδῇς.. ψυχᾶς (ex 174—176), ἰώ μοι τέκνον coniciebat 181 με] δὲ Blaydes 184 alterum δειμαίνω delet Bothe 185 ποτ'] τόδ' Weil | versum suspectum habet H. Buchholtz 186 ὦ τέκνον τέκνον] τέκνον ὦ τέκνον Dindorf, τέκνον μέλεον Herwerden, ὦ τέκνον οἰκτρὸν Weil | ματέρος Bothe 187 τί ποτ' Nauck | τί δ' ὅ τόδ' ἀγγελεῖς (olim τί τόδ' ἐπαγγελεῖς;) Hermann, τί τόδ' ἀπαγγέλλεις; Seidler, τί δὲ τόδ' ἀγγελεῖς Hartung 188 sqq. σφάξαι σ' Ἀργείων γέννα ξυντείνει πρὸς τύμβον κοινᾷ Πηλείδα γνώμᾳ Camper, σφάξαι σ' Ἀργείων, ὦ τέκνον, κοινὰ ξυντείνει πρὸς τύμβον Πηλείδα γνώμα Blaydes | κοινᾷ.. γνώμᾳ Πηλείδα γέννα Purgold

190 Πηλείδᾳ, γέννα Hermann, Πηλείδα γέννᾳ Lenting | γένν' King, etiam θῦμα Blaydes, γέννᾳ delebat olim Hartung 192 μοι om. rec. 192 sq. μάννσον μάννσον, μᾶτερ aut μάννσόν μοι μάννσον H. Buchholtz 193 μάννσον delet Bothe | μᾶτερ eicit Battier 196 ψήφῳ σᾶς περί μοι ψυχᾶς King, ψήφῳ τᾶς σᾶς μοι ψυχᾶς Seidler, ψήφῳ περὶ σᾶς μοι ψυχᾶς Hartung, ψήφῳ τᾶς σᾶς ἀμφὶ ψυχᾶς Heimsoeth, ψήφῳ τάδε δὴ περὶ σᾶς ψυχᾶς Blaydes 198 τᾶς δυστάνου Hermann | ὦ δυστάνα μᾶτερ βιοτᾶς Wakefield, ὦ δυστάνα μᾶτερ γενεᾶς Blaydes 199 alterum οἵαν delet Bothe | αὖ] ἐπὶ Blaydes

200 ⟨λώβαν⟩ ἐχθίσταν, ⟨οἴμοι⟩ vel ⟨οἴμοι, λώβαν⟩ ἐχθίσταν Hermann, ⟨τάνδ'⟩ ἐχθίσταν Hartung | ἄρρητόν τ' Blaydes 200 sq. ἐχθίσταν ἀρρήταν τις δαίμων ὦρσεν δυσδαίμων Seidler 201 τις delet Hermann 202 σοι] σῷ coniciebam 203 γηραλέᾳ δειλαίᾳ Battier, γραίᾳ δειλαίᾳ δειλαία Blaydes 206 suspectum habet Sakorraphos 207 ὄψει Battier | ἀνάρπαστον Blaydes 208 σᾶς ἄπο addubitat Lehrs | λαιμοτόμου τ' Ἀΐδα Reiske | θ' Ἅιδᾳ Hermann 208 sq. vulgo Ἀΐδᾳ γᾶς ὑποπεμπομέναν σκότον 209 σκότον] κάτω Herwerden

211 σὲ (omisso καί) μὲν ὦ (ὦ addidit King) μᾶτερ δύστανε βίου Porson et Hermann, καὶ σὲ μέν, ὦ μᾶτερ, δύστανον Seidler, καὶ σέ γε, μᾶτερ, δύστανε βίου olim Nauck, καὶ τὰν σὰν μέν, μᾶτερ, βιοτὰν Kayser, καὶ σοῦ μέν, μᾶτερ, δύστανον Bernardakis | καὶ σὸν μέν

Kirchhoff 212 *θρήνοις πανοδύρτοις* Porson 214 *οὐκ ἀποκλάομαι* vel *οὐκ ἔτι κλάομαι* Blaydes 214 sq. verba *ἀλλὰ.. ἐκύρησεν* suspecta habet Kayser 215 *ξυντυχία*] *δαίμων* Kayser, *πότμος* Weil | *ξυντυχίᾳ κρείσσον' ἔκυρσε* Musgrave, *ξυντυχίᾳ κρείσσονι κύρσει* Porson, *ξυντυχία κρείσσων κύρσει* olim Hermann | *ἐκύρησεν*] *ἐπέκρανεν* Blaydes

221 *χῶμ'*] *σῆμ'* Camper 227 *γίγνωσκε δ' ἀκμὴν* Sakorraphos, *γίγνωσκε δ' ἄτην* Blaydes

236 *σὲ μὲν ἀμείβεσθαι χρεὼν* Herwerden 236 sq. *σοὶ μὲν εἰρῆσθαι* (*εἰρήσθω* Kvičala) *τάδε.. ἐρωτῶντας χρεὼν* olim Nauck, *σὲ μὲν ἐρωτᾶσθαι χρεὼν.. ἐρωτῶντας τάδε* Weil 237 *τοὺς*] *τέως* Musgrave

241 *φόνου*] *δόλου* Musgrave, *φόβου* Porson, fort. *δρόσου* | *φόνιοι σταλαγμοὶ σὴν κάτ' ἔσταζον γένυν* Blaydes 246 *ὥστ' ἐνταχῆναι* Brunck, *ὥστ' ἐμβαλεῖν γε* Herwerden | *πέπλοισιν ᾠόμην* F. Gu. Schmidt 247 *δῆτα*] *δ' εἶτα* Bernardakis 248 *εἰσορᾶν νῦν* Aem. Portus, *εἰσορᾶν δὴ* Brunck, *εἰσορᾶν με* anonymus 249 sq. ante 245 collocat (245 *τε* recipiens) Czwalina

251 *οὐκοῦν μ' ἀμύνει* olim Nauck | *τοῖσδε σοῖς* rec. 255 (*μηδ' ἐγιγνώσκεσθε* Bernardakis) | *γιγνώσκοισθ' ἐμοὶ* Brunck 258 *ἡγούμενοι*] *ηὑρημένοι* Blaydes

260 *τὸ χρεὼν* Scaliger 261 delet Wilamowitz 265 *προσσφάγματα* Wakefield 266 *ἢ 'ς Τροίαν γ' ἄγει* Seager (quidni *ἢ Τροίαν ἄγει*?) 269 sq. delet Herwerden, unum 270 C. Busche

275 *ἐγὼ*] *μελῶν* F. Gu. Schmidt 277 *τὸ τέκνον*] *τέκνον τόδ'* Burges

281 *πόλις*] *πόσις* Wakefield, *ἀσπὶς* Burges, *κόσμος* vel *πόθος* Hartung, *πολιᾶς* Czwalina, *βίος* Weil | *δμωὶς* vel *τροφὸς* Blaydes, fort. *πατρὶς*, cfr. Soph. Ai. 518 | *μόνη ποθεινή, βάκτρον ἡγεμὼν θ' ὁδοῦ* F. Gu. Schmidt 282 *ἃ*] *οὐ* Blaydes 283 *αἰὲν εὖ πράξειν δοκεῖν* F. Gu. Schmidt

293 *κακῶς*] *πικρῶς* Stadtmueller | *λέγῃς*] *κλύῃς* Holzner 293 sq. *λέγῃ στόμα, νικᾷ· λόγος* F. Gu. Schmidt 294 *λόγος δ' ἐκ τῶν ἀδοξούντων* Blaydes 297 *μακρῶν*] *πικρῶν* Herwerden 298 *θρηνοῦσ'* Reiske, (*γλήνους* vel) *θρήνοις* Musgrave 299 *τοι θυμουμένη* Kvičala

300 *τὸν εὐνοοῦντα* R. Prinz | *ποιοῦ σέθεν* vel *σαυτῇ ποιοῦ* Blaydes 306 *ἐνταῦθα γὰρ* Blaydes

310 *κάλλιστ' ἀνὴρ εἰς Ἑλλάδος θανὼν ὕπερ* Jebb | *κάλλιστα δή* Blaydes 312 (*ἐχρώμεθ', ἐπεὶ* Reiske) | *ἐχρώμεθ', εἰ δ' ἄπεστι* olim Nauck | *ἐχρώμεθ', ὡς δ' ὄλωλε, μὴ χρώμεσθ' ἔτι* Cobet 314 *πολέμιός τ'* Blaydes 319 *τύμβον δ' ἂν ἐθέλοιμ' ἀξιούμενον στεφῶν* Hartung

320 *τὸν ἐμὸν*] *στεφάνων* Porson, *στεφῶν* Weil, *τιμῶν* Sakorraphos, *νομίμων* Holzner 323 *γραῖαι*] *χῆραι* Burges 326 *δ'* delet Bothe, *γ'* conicit Lenting 328—331 delet Hartung 328 *τοὺς ἐσθλοὺς φίλους* Nauck, *τοὺς φθιτοὺς φίλους* R. Prinz

332 sq. *κακὸν πεφυκέναι τολμᾶν θ' ἃ.. τῆς βίας* Reiske | *κακὸν πέφυκ' ἀεὶ τολμᾶν ἃ* olim Nauck, *κακὸν πεφηνέναι τολμᾶν θ' ἃ* olim coniciebam, *κακόν· πέφυκε γὰρ τολμᾶν ἃ* Herwerden | hos versus Hecubae dat Tyrwhitt 338 *λεῖσα φωνάς* Blaydes

348 *κακὴ φανοῦμαι κοὐδὲν ἧσσον ἔψομαι* ex Epicteti imitatione (enchir. 77) Porson

350 *Φρυγῶν· ἀπαντᾷ* Heimsoeth, *Φρυγῶν· ἀπάντων* Bernardakis

τοῦτό μοι τρόπις βίον Musgrave 351 ὅθεν γ' ἐθρέφθην Camper | ὕπο] ἄπο Blaydes 355 παρθένων τ' Kirchhoff | ἐπίβλεπτος Is. Voſs 359 ὠμοφρόνων L. Dindorf

361 κἀγαθῶν πολλῶν Brunck, καρτερῶν τ' ἄλλων Burges | versum delet F. Gu. Schmidt 362 olim delebat Nauck 362 sq. προσθεὶς δὲ σαίρειν κερκίσιν τ' ἐφεστάναι δμωάν μ' ἀνάγκη σιτοποιὸς ἐν δόμοις Burges 367 δμμ' ἔχουσ' ἐλεύθερον Ienni 369 διέργασαί μ' ἑλὼν F. Gu. Schmidt, malim διέργασαι λαβών

370 ἐλπίδας οὔτε τούκ δόξης Reiske | του] που Heath 371 θάρσος παρεστὼς ὥς ποτ' εὖ πράξαιμεν ἂν Herwerden | θάρσος παρ' ὑμῖν Reiske, θάρσος παρὸν νῦν F. Gu. Schmidt 373 μήτε δρῶσα Brunck | δέ με Herwerden 376 ἐντεθεὶς Naber, ἐνδεθεὶς Blaydes 377 εὐτυχὴς ἴσως Blaydes 378 ζῆν μὴ εὐκόλως M. Seyffert

381 τοὔνομ' ὅστις ἄξιος olim Hermann 385 ὑμεῖς Kvičala 387 ἔτεκον ἐγὼ Πάριν Brunck

396 πολλή μ' . . συνθανεῖν ἐμῇ Sakorraphos 397—400 sic disponit: 397. 400. 399. 398 Richard 398 ὅπως; ὁποῖα κισσὸς ἕξομαι δρυός Kayser, οὐκ οἶσθα; (vel εὖ ἴσθι vel ἄπριγδα) κισσὸς δρυὸς ὅπως τῆσδ' ἕξομαι Blaydes | ὁποῖα] ὅμοια Reiske, etiam ὅπως; ὁ Blaydes | ὅπως] ἀπρὶξ olim coniciebam, ἐγὼ Sybel, ἐπεὶ vel ὅμως Herwerden 399 οὐκ, ἤν πίθῃ γε Blaydes

401 ἐγὼ μὲν rec., ἔγωγε Reiske 402 σύ γ', ὦ παῖ Λαρτίου Burges 408 σπασθεῖσα; παῦσαι Burges, πάσχουσ' ἃ πείσει Blaydes | ἀξία Lenting

416 ἀνυμέναιος] ἀμπλακοῦσά θ' vel οὐδ' ἔγκληρος R. Prinz 417 τέκνον, μᾶλλον ἀθλία δ' ἐγώ F. Gu. Schmidt, τέκνον, ἀθλία δ' ἐγὼ πλέον Blaydes 419 ποῖ τελευτήσω τάδε; vel πῇ τελευτήσω βίον Nauck

425 ὦ σῆς . . ἀθλίας τύχης Hermann 426 τ' ἐμή rec. 427 (χαίρωσιν ἄλλοι King), χαίροις σὺν ἄλλοις Burges, χαίροιεν ἄλλοι olim coniciebam

435 σὸν ὅμμ' ἔτ' ἔστι μοι Jacobs 437 βαίνω] φαίνει Camper, βλέπω Blaydes

441 sqq. πῶς τὴν . . Διοσκόροιν ὀλουμένην ἴδοιμ' ἄν, ὀμμάτων διὰ καλῶν γὰρ αἰσχρῶς εἷλε γῆν εὐδαίμονα Burges 448 τῷ] τοῦ coniciebam | δοῦλος ἐγὼ Blaydes

452 πατέρα] τοκέα Dindorf 454 γύας] πέδον olim Nauck 455 νᾶσόν γ' King 457 ἔκταν (vel δέκταν) βιοτὰν ἔχουσιν οἴκοις Musgrave | ἔχουσαν] (ἔχουσ' ἐν Is. Voſs), ἕξουσαν Bothe, λαχοῦσαν Weil | γ' ἔχουσ' ἄνοικον Jacobs | οἴκοις] οἰκτρὰν Herwerden, ἐνταῦθ' Blaydes

460 Λατοῖ φίλᾳ (vel φίλα) πτόρθους Heath | φίλον olim coniciebam 462 τε ⟨σὺν⟩ κούραις E. Hoffmann, τε Φοῖβον vel Ἀπόλλω Blaydes 467 sq. (καλλιδίφροι' Ἀθαναίας Porson), καλλιδίφρου τ' Ἀθαναίας Paley | καλλιδίφρου θεᾶς Ἀθάνας κροκέῳ Hartung 469 sq. ζεύξομαι ἅρμα ποικίλλουσ' ἐν δαιδαλέαισιν πώλους Fritzsche

475 τοκέων rec. 476 ᾧ μοι χθονὸς πατρῴας Hermann (ὤμοι πατρῴας χθονός θ' rec.), fort. ὤμοι πατρίας πόλεως | πατέρος Matthiae 478 sq. δορίληπτος ὑπ' Ἀργείων rec., δορίληπτος πρὸς Ἀργείων (et 469 ἅρματι πώλους ἐν) Porson | τυφομένα πρὸς Ἀργείων· ἐγὼ δὲ δορίκτητος ξείνᾳ Fritzsche 479 fort. Ἀργείοις

602 *καὶ ταἰσχρὸν οἶδε* Hartung, *δἰοιδε τἀσχρόν* Cobet, *οἶδ' αὖτε τἀσχρόν* Heimsoeth, *ὅδ' οἶδε τἀσχρόν* Weil, *οἶδεν τὸ φαῦλον* Blaydês 603 *καίτοι τί ταῦτα νοῦς* Naber | *νοῦς*] *γλῶσσ'* Blaydes

612 molestum putat Nauck 615—618 delet Kvičala 615 *κόσμον γ'* Wakefield 618 *κλέμμα*] *κτῆμα* (vel *λεῖμμα*) Nauck (mallem *λῆμμα*) 619 *ὦ σχῆμα μελάθρων* Blaydes

620 (*ὦ πλεῖστα σχὼν* Battier) | vulgo *ἔχων κάλλιστά τ', εὐτεκνώτατε* (vel *κάλλιστά τ' εὐτεκνώτατε*), fort. *ἔχων ἀγάλματ' εὐτεκνώτατα* | *κεὐτεχνώτατα* Madvig, *κεὔτεχν' ὄργανα* F. Gu. Schmidt 621 *ἥδε σῶν μήτηρ* Kuiper 623 *οὐδὲν εἰ μὴ φροντίδων* Sakorraphos 627 *κεῖνο δ' ὀλβιώτατον* nescio quis

633 sq. *'Αλέξανδρ'.. ἔταμες* Hartung 634 *ἐτάμετ', ἐφ' ἅλιον οἶδμα* Hermann 639 *κυκλοῦντο* Battier

641 *κακὸν Σιμουντίδι* Hartung 642 *συμφορά τε πολλῶν* C. Busche, *συμφορά τ' ἀπ' αὐτῶν* Holzner, *συμφορά θ' ἅπασιν* Blaydes 645 *κρίνε* Battier

653 sqq. *πολιάν τε κρᾶτ' ἔπι μάτηρ*, nisi potius scribendum sit *πολιὰν κάρᾳ τε μάτηρ τέκνων θανόντων θεμένα χέρα δρύπτεται παρειάν*, Hermann

660 *κακοῖς, ἵν' οὐδεὶς* Hermann, *κακοῖσιν, ᾗ τίς* (vel *ὧν τίς στέφανον οἱ 'ξαιρήσεται*) Heimsoeth 661 *τί δ' αὖ τὸ λῆμα* Jacobs | *σῆς*] fort. *τῆς* 662 *οὔπω γὰρ εὕδει λυπρά μου* Firnhaber 663 *δὲ*] *δὴ* Hermann 665 *ὕπερ*] *ὑπὲξ* Gloël 666 suspectum habet Sakorraphos, qui *ἦδ', ἐς δέον δὲ σοῖσι* scribi mavult 668 *βλέπουσ' ὅμως* Weil

672 *ἀπηγγέλθη μόρος* (vel *φόνος*), deleto versu proximo, Herwerden 674 *ἡ δ'* Paley | *μοι*] *που* Blaydes

683 *οὐδέν εἰμ' ἔτι* Nauck | versum delet F. Schroeder 684 *ὦ τέκνον* (semel) vel *ὦ τέκνον ὦ τέκνον* rec. 684 sqq. ad quandam rationem antistrophicam disponebant olim Hermann et Seidler 685 sq. *γόων βακχείαν* Musgrave 685 sqq. *κατάρχομαι γόον.. ἀρτιμαθὴς νόμον* C. Busche 686 *βακχεῖον ἐκ του ἀλάστορος* olim Hermann 687 *ἀρτιμαθὴς μελῶν* (vel potius *γόων*) F. Gu. Schmidt, etiam *ἀρτιμαθῆ νέον* coniciebam 688 *ἔγνως ἄρ'* Hartung | *δύστηνε, σοῦ* Canter ante 689 *αἶ αἶ κακῶν* (quae verba habet *B* in v. 692) interponit Seidler

691 *οὐδέποτέ μ' ἀδάκρυτον ἀστένακτον* olim Hermann 691 sq. *ἦμαρ ἔμ' ἐπισχήσει* Seidler, *ἁμέρα τις ἔσται* (vel *ἥξει*) F. Gu. Schmidt, *ἡμέρα με σχήσει* (vel *μ' ὄψεται*) Blaydes 693—725 chori dicta quinque choreutis distribuit R. Arnoldt 694 alterum *τέκνον* delet Battier

698 *νιν κυρῶ*] *ἐγκυρῶ* vel *τυγχάνω* Blaydes 699 *ἐκβλῆτ'* et *δορός γ'* Hartung 699 sq. fort. *ἔκβολον ἐν λευρᾷ ψαμάθῳ ἢ πέσημα φονίου δορός*

700 ante 699 olim ponebat Hermann | ante vel post *ἐν ψαμάθῳ λευρᾷ* alterum dochmium intercidisse putat Dindorf, huc ex v. 692 additamentum libri B *αἰαῖ τῶν κακῶν* olim referebam | *ψαμάθῳ ἐν λευρᾷ* Weil 701 *ἐξέθηκε* vel *ἐξανῆκε* Blaydes 702 *ὤμοι αἰαῖ*] *ὤμοι μοι* Dindorf 702 sqq. *ἔμαθον ὀμμάτων ὄψιν ἐνύπνιον κού παρέβα με φάσμα* C. Busche 704 *οὔ με φάσμα παρέβα* Brunck, *οὐ παρέβα με φάσμα* Seidler 706 *τάν εἶδον εἶδον ἀμφὶ σοί* (olim *ἐσιδοῦσ' ἀμφὶ σοί*) Hermann | verba *ἂν ἐσεῖδον ἀμφὶ σ'* ut loco dochmii qui interciderit interpolata delet Dindorf | *εἶδον* Brunck 706 sq. *ἂν ἐσεῖδον*

*ἀμφί σε, τέκνον, οὐκέτ' ὂν κτέ.* Seidler, *ἂν ἐσεῖδον ἀμφί σ' ὡς, ω τέκνον κτέ.* Hartung, *ἂν ἐσεῖδον ἀμφὶ τέκνον κτέ.* Paley | *ἀμφὶ σοῦ, τέκνον, οὐκέτ' ὄντος Διὸς ἐν φάει* coniciebam 707 *ὄντ' ἐν φάει* olim Hartung

710 *ξένος*] *φίλος* ex schol. *κατ' εἰρωνείαν εἴρηται. ἢ ὀνομαζόμενος φίλος* Hartung 712 *ἔχῃ* rec. 712 sqq. verba *χρυσὸν.. κτανών* (sine interrogatione) Hecubae tribuit, 714 sq. choro, 716 sqq. Hecubae Camper

714 *θαυμάτων πέρα*] *θ' αἱμάτων τέρα* O. Goram 714 sq. *ἄρρητ' ἀνονόμαστ', οὐχ ὅσι' οὐδ' ἀνεκτά. ποῦ θεῶν δίκα;* vel *ἄρρητ' ἀνονόμαστ', οὐχ ὅσι' οὐδ' ἀνέκτ'* (ceteris deletis) Nauck 715 *οὐχ ὅσια κοὐκ ἀνεκτά* Blaydes | *ἀνεκτέα, Δίκα ξένων* Hartung, *τί δίκα ξένων;* Hermann, *ποῦ Ξενίου δίκα;* Schenkl, *ποῦ 'στὶν δίκα;* Blaydes 716 *ὡς*] *ὃς* Blaydes

729 *οὐδ' ἐψαύσαμεν* anonymus | versum suspectum habet Nauck

731 *ἥκω μεταστελῶν σε* Valckenaer, malim *μεταστελῶν δ' ἥκω σε* 736 *λέγουσα*] *ποθοῦσα* Blaydes 737 *οἴμοι, τί δράσω;* Herwerden

740 *ὀδυνῇ* (i. e. *ὀδυνᾷ*) King 745 *ἐκλογιζόμεσθα* Hermann, *εὖ λογιζόμεσθα* Nauck, *ἐκλογίζομαι 'γὼ* Weil, *ἐξοπλίζομαί γε* Mekler, *εὖ λογίζομαί γε* Bernardakis | *γε*] *τι* Blaydes 746 *μᾶλλον*] *νεύειν* Nauck, *ὀρθῶς* Dindorf, *ῥέπειν* Schenkl, *ἄλλως* Ienni, *μανιῶν* O. Goram, *μάτην* Weil, *ἄγαν* vel *λίαν* Herwerden, *μολεῖν* C. Busche 748 *οὐδ' ἐρῶ* F. Gu. Schmidt

750 *ποῖ στρέφω* Nauck (requireretur potius *ποῖ στρέψω*) 752 *τῶνδε*] *πρὸς σῶν* (vel *τῶν*) Blaydes 755 *θέσθαι πάλιν, ὃν οὐκέτ' ἔστι σοι;* F. Gu. Schmidt | *ῥᾴδιον δ' οὐκ ἔστι μοι* Heimsoeth | *γάρ*] *τόδ'* Blaydes 756—758 delebat olim Nauck 758 collocat post 759 et loco v. 758 aliam interrogationem Agamemnonis excidisse putat Hirzel | post 758 versum interiisse suspicatur Kirchhoff 759 ante 756 collocat anonymus, post 755 (*ῥᾴδιον γάρ ἐστί μοι οὐδέν.. δοξάζεις, γύναι* scribens) Holzner | *οὐκ ἔς τι τούτων* Heimsoeth | post 759 versum Agamemnonis intercidisse arbitratur Hermann

760 *ὅρα* Heimsoeth 761 *τὸ δ' ἔνθεν μᾶλλον οὐκ* Holzner 764 *τῶν οὐ θανόντων* Brunck

773 *πρὸς τοῦδ'; ἢ τίνος πότμον τυχών;* Weil, *πρὸς τοῦδ' ἀνδρὸς οὐ πιστοῦ τυχών;* Herwerden | *τυχὼν πότμον* Nauck 774 *τίνος δ' ὑπ' ἄλλου* rec., *τίνος πρὸς ἄλλου* Porson, *οὕτινος ὑπ' ἄλλου* Elmsley 776 *τοιαῦτ'*] *ταῦτ' αὖτ'* Blaydes 777 *νιν*] *νῦν* Purgold | *ἢ* Blaydes 779 sq. „hos versus nemo desideraret, si abessent“ Hermann

785 *γυνή*] *ποτέ* Herwerden 786 *οὐκ ἔστ' ἵν' ἐν ἐμοὶ τὴν τύχην ἀργὴν λέγοις* Weil | *τὴν τύχην*] *Δυστυχίαν* Heimsoeth

790 *ἀνοσίου, κακοξένου* (olim *δυσσεβεστάτου* vel *δυσθεωτάτου ξένου*) Weil 794 *ξένιά τ'* Musgrave | *ξενίας τε πρωτάριθμα τῶν* olim Hermann | *ἀριθμῶν* Lindau | *πρῶτά τ' ὤν* Wakefield, *πρῶτος ὢν* (vel *ξένιά τ' ἀριθμῶν πλεῖστα τῶν ἐμῶν φίλων*) Porson, *πρῶτ' ἔχων* Pflugk

794 sq. *ξενίας θ' ὅσων δεῖ καὶ λαβὼν προμηθίας*, ceteris deletis, E. Hoffmann 795 *τυχὼν ὅσων δεῖ καὶ λαβεῖν προμηθίαν* Gloël | *ὅσον δεῖ* Lenting | *προμηθίαν λαχὼν* Camper | *προθυμίαν* Jacobs, *προθυμίᾳ* Hartung ante 796 versum excidisse qui Polydori nomen contineret, cuius lacunae explendae causa versus 794 sq. interpolati sint, putat Matthiae 798 *κἀσθενεῖς φύσει* Nauck

800 τοὺς θεοὺς] δαίμονάς θ' Weil, συνδίκους E. Hoffmann | post 800 versum intercidisse olim suspicabatur Nauck 800 sq. νόμος γάρ τις θεῶν ἡγούμενος, καὶ ζῶσιν ἄδικα.. ὡρισμένοι Wyttenbach, νόμον γὰρ .. ἡγούμεθα, σῴζειν, τά τ' ἄδικα καὶ δίκαι' ὡρισμένους Holzner 801 ἄρχειν ἐς ἄδικα καὶ δίκαι' ὡρισμένῳ H. Hirzel 803 δώσουσιν] fort. τίσουσιν 803 sq. delet Nauck 805 ἀνθρώποισι σῶν Kayser 806 αἰδεσθείς τ' ἐμὲ Kirchhoff 807 οἴκτειρέ θ' ἡμᾶς ὡς τροφεύς τ' ἐπισταθεὶς olim scribebat vel versum delebat, in versu proximo ἰδού τε scribens, Wyttenbach

810 ποτ'] τότ' E. Hoffmann | ποτ' ἦν, τὰ νῦν δὲ γραῦς vel ποτ', ἀλλὰ νῦν γε γραῦς Blaydes 812 ποῖ μετεξάγεις Musgrave, ποῖ σύ μοὐξάγεις Blaydes 816 μόνην] fort. φρενῶν 818 ἵν' ᾖ τό τε Blaydes

820—823 ex alia fabula illatos putat Herwerden, post 805 collocat Holzner, 820—835 delet Th. Miller, 824—832 eicit Holthoefer 821 οἳ μὲν γὰρ ἦσαν Nauck | οἱ μὲν τοσοῦτοι παῖδες οὐδ' εἷς ἔστι μοι Burges 822 ἐπ' ἐχθροῖς rec. 822 sq. αὐτή τε aut καπνόν τε Lenting 824 μὲν] γε Porson | κενὸν] ξένον Nauck 827 ἡ φοιβὰς ἣν καλοῦσι, Κασάνδρα (ut est in rec.) Hermann | versum delet R. Haupt

828 ποῦ δὴ φίλας τὰς (vel τάσδ') εὐφρόνας Gloël, ποῦ τοῖς φίλοις δῆτ' εὖ φρονῶν Sakorraphos, ποῦ σοὶ φίλας .. τεύξεις Holzner | τὰς φίλας] προσφιλεῖς Weil, μοι φίλας Herwerden, σοι φίλας Halbertsma | δείξεις] θήσεις olim Herwerden (mallem θήσῃ), τείσεις England 828 sq. ποῦ τῶν ἐν εὐνῇ φιλτάτων ἀσπασμάτων (ceteris deletis) Herwerden 829 delet Bothe

830 ἐμῇ κοινῇ γέ σοι Burges 831 σκότους τε νυκτέρων τ' ἀσπασμάτων rec. | βροτοῖς] παρὰ Bothe 831 sq. ante 826 transponit R. Haupt 832 βροτοῖς] πάντως Brunck 834 ὄντα] ἄνδρα Earle 835 δράσεις] θάψεις Blaydes | (versum delet R. Haupt)

843 suspectum habet Nauck 844 παρ' ἀνδρὸς Is. Voſs (voluisse videtur πρὸς ἀνδρὸς) 847 τὰς ἀνάγκας θεοὶ μόνοι Badham, ταῖς ἀνάγκαις τοὺς νόμους Hartung | τῆς ἀνάγκης C. Busche | οἱ χρόνοι Musgrave, οὐ νόμῳ Hermann, οὐ νόμοις Weil, οἱ πότμοι Holzner 848 τούς τε Elmsley 849 ἐχθροὺς δὲ Lenting

853 τῶνδε Brunck | δοῦναι] fort. τῖσαι 854 φανείη τ' et ex rec. σοὶ καλῶς ἔχειν Hartung, φανείην ὅσιά σοι νέμειν καλῶς Naber | φανείη γ'] ἐφεύροιμ' Holzner 854 sq. ἤν πως γένηταί γ' (vel εἴ πως γένοιτ' ἄν) ὥστε σ' _ ◡ _ καλῶς .. μὴ δόξαι 'μέ (vel τι) Blaydes | φανείην λῷστά σοι τελῶν καλῶς, στρατῷ δὲ F. Gu. Schmidt 856 τῷδε Hermann 859 sq. εἰ δὲ σοὶ φίλος οὐκ ἔστι Is. Voſs

874 εἶργε μὴ ἀδικεῖν μ' ἐμὴν χάριν F. Gu. Schmidt 875 τὰ δ' ἄλλα, θάρσει, πάντ' Reiske | τἄμ' ἐγὼ Nauck 877 βάρβαρον φῶτα κτενεῖς; Bothe 879 delet Oeri

882 ἐμῶν Is. Voſs 884 δεινόν τι (vel τε) Blaydes 885 γένος] σθένος Ienni 888 ἄλλως vel ἴσθ' ὡς γενέσθω England

891 ἄνασσά γ' ἤ ποτ' Matthiae 893 δεῖ καὶ λόγους τέκν' εἰδέναι Bothe | καὶ τέκν'] πάντας (et 894 ἐκείνου) Kayser 898 οὕτως· εἰ γὰρ ἡμῖν ἦν στρατῷ F. Gu. Schmidt | στρατῷ] καλὸς Blaydes

901 ὁρῶντά μ' ἥσυχον Hermann, ὁρῶντας εἰς καλόν F. Gu. Schmidt, ποθοῦντας ἥσυχον C. Busche, ὁρῶντας οὔριον Blaydes, fort. ὁρῶντας

῞Αιδαν, ἰὼ Dindorf | ὤ, φεῦ, τάλας Hartung 1034 (χερὶ Battier) 1036 „non hemichoria, sed una atque altera ex chori personis loquuntur" Hermann 1037 ὤ μοι μάλ' αὖ σφῶν, τέκνα, δυστήνου σφαγῆς Hermann, qui olim ὤ μοι μάλ' αὖ τέκνων τε δυστήνου σφαγῆς proposuerat 1039 μὴ 'κφύγητε Dawes

1040 μυχούς] μοχλούς Reiske, πύλας Heinsch 1041 olim delebam vel choro dabam 1042 ἐπισπεύσωμεν rec. (et Wyttenbach), ἐπεσπαίσωμεν Hadley 1044 ἐκβαλῶν F. Gu. Schmidt 1045 λαμπρὸν αὖ θήσεις κόραις C. Busche | κόραις] ἕδραις (mutationem οὐ γάρ τι φέγγος λαμπρὸν ἐνθήσεις κόραις minus probabilem esse ratus) F. Gu. Schmidt, qui 1045 post 1046 collocat 1047 Θρῇκα] τέκνα Wakefield | Θρῃκίου κράτος ξένου Weil | fort. κἀκράτεις | καὶ θηρὸς κρατεῖς (omisso ξένου) F. Gu. Schmidt 1049 ὄντα] ἄντα Bothe

1052 παῖσδ' Hermann 1055 θυμορρέοντι Canter, θυμὸν ζέοντι Ruhnken, θυμοζέοντι Hartung, θολῷ ῥέοντι O. Goram, θυμὸν πνέοντι (πνέοντι glossa in rec. superscripta) F. Gu. Schmidt, πολλῷ ῥέοντι Nauck | ῥέοντα Θρῇκα Weil 1056 sqq. ad antistroph. responsionem redigebat Seidler et olim Hermann 1056 ἰώ μοι ἐγώ Seidler, ὤ μοί μοι ἐγώ Hermann 1056 sq. πᾶ στῶ; πᾶ βῶ; πᾶ κέλσω; Reisig 1057 πᾶ κέλσω delet Burges 1059 ἐπὶ χειρὶ κατ' ἴχνος Reiske, ἐπὶ χεῖρα καὶ κατ' ἴχνος vel potius ἐπὶ χεῖρα καὶ ἴχνος Porson, ἐπὶ χεῖρα κατ' ἴχνος <ποδῶν> Seidler, ἐπὶ χεῖρα καὶ <ποδὸς> ἴχνος Hartung, ἐπὶ χειρὶ χεῖρα κατ' ἴχνος Kirchhoff, ἐπὶ ποδὶ κατ' ἴχνος χέρα Weil | χεῖρα] γαῖαν Schumacher

1060 ἢ ταύταν ἢ κείναν ἢ τάνδ' Hartung, δὴ κείναν ἢ τάνδ' Blaydes 1063 'Ιλιάδας olim delebat Hermann 1064 τάλαιναι τάλαιναι κοῦραι Φρυγῶν Semitelos 1065 ὦ κατάρατοι, <ποῖ> Hartung 1066 πτώσσουσιν Seidler 1067 sq. αἱματόεν ἀκέσαιο βλέφαρον, ἀκέσαιο τυφλόν, ῞Αλιε Hartung 1068 sq. τυφλόν θ', ῞Αλιε, φέγγος ἀπαλλάξας Paley 1069 νέφος ἀπαλλάξας Reiske, φέγγος ἐπαλλάξας Weil 1074 λώβας Kirchhoff, τιμὰν Blaydes 1074 sq. λώβας λύμαν Weil, λώβας λύμας τ' Hadley 1075 ἐμᾶς ἀντίποινα λύμας, τάλας Hermann 1078 sq. σφακτὰν κυσὶ φονίαν τε δαῖτ' ὀρείαν ἀνήμερόν τ' ἐκβολάν Seidler, etiam σφακτάν τε δαῖτα κυσί τε φοινίαν ὀρείαν ἀνήμερόν τ' ἐκβολάν vel σφακτὰν κυσί τε φοινίαν δαῖτ' ἀνήμερον, <ἄναγνον>, οὐρείαν τ' ἐκβολάν Hermann, σφακτὰν κυσί τε φοινίαν δαῖτα κοὐρείαν ἐκβολάν Hartung, σφακτὰ κυσίν τε δαῖτ' ὀρείαν τ' ἐκβολάν (verbis φονίαν et ἀνήμερον deletis) Dindorf, σφακτὰ κυσὶν θοίναν ὄρει τ' ἐκβολάν (ceteris deletis) olim Nauck, κυσί τε δαῖτ' ἀνήμερον φόνιον οὐρείαν τ' ἐκβολάν (deleto σφακτὰν) W. Headlam | ἀνήμερον] ἐφιμέραν Burges 1079 οὐρείαν] οἰωνοῖς Blaydes

1080 πᾶ βῶ delet Nauck | κάμψω] κέλσω Weil 1081 ναύτης ὅπως Reiske, ναῦς ὡς Nauck, ναῦς ἅτε Weil | ναῦς olim delebat Hermann 1082 φάρος ὑποστέλλων olim Hermann | συθῶ Hartung 1089 sq. εὔοπλον (ex Eustath. in Il. p. 385, 32) ἔφιππον ῎Αρεός τε κάτοχον Hermann, qui olim ἔνοπλον εὔιππον ῎Αρει τε κάτοχον proposuerat | ἀρεικάτοχον Hartung

1090 ῎Αρηϊ Dindorf 1091 ὦ . . ὦ Seidler 1092 primum βοὰν delet Dindorf 1093 (ἰὼ ἴτ', ὦ ἴτε vel ὦ ἴτε ὦ ἴτε vel) ἴτ', ὦ, ἴτ', ὦ Hermann, ἰὼ ἰὼ ἴτε ἴτ' ἴτε Seidler

1100 αἰθέριος ἀμπτάμενος (vel αἰθέρι' ἀναπτάμενος) οὐράνιον olim Hermann 1101 ὑψιπετὴς (quod coniecit iam Battier) μέλαθρον Hartung | Ὠαρίων Bothe 1101 sq. verba Ὠρίων ἢ delet Hartung 1105 ἢ τὸν] ἤτοι Brunck | τὸν Ἅιδα Dindorf 1108 ἐξαποστῆναι Blaydes

1111 διδοῦσα] τιθεῖσα Blaydes 1113 φόβον ἂν παρέσχεν Blaydes | παρέσχ' ἂν Markland | ὅδ' ἂν Elmsley 1115 φωνὴν vel φώνημ' Blaydes 1119 ὅστις ἦν ὁ δρῶν (vel ὅστις οὖν ἔδρα) F. Gu. Schmidt

1122—28 sic disponit: 1122. 1127 οὗτος; τί πάσχουσ'; 1124—1126 ἡ γὰρ . . χρόα. 1123. 1124 οἴμοι τί λέξεις; 1127 sq. πρὸς θεῶν . . χέρα anonymus 1123 ἔτλης δὴ μηχανᾶν Heinsch 1126 fort. διασπάσω νιν

1135 omissum in rec. delet Kvičala 1136 fort. ἀντὶ τοῦ δ' ἔκτεινά νιν; deleto versu proximo 1136 sq. νιν; ἄκουσον, ὡς ἔθηκα σοῦ προμηθίαν H. Hirzel, νιν; ἄκουσον, ὡς σοῦ κατὰ σοφὴν προμηθίαν Czwalina 1137 ὡς εὔκαιρος ἡ προμηθία G. Michael | versum delet Nauck 1137 sq. ὡς ἀρκέσων σοι καὶ σοφῇ προμηθίᾳ ἔδρασα, μὴ F. Gu. Schmidt 1139 Τρῳάς θ' Blaydes | ἀθροίσῃ] ἀνορθοῖ Holzner | ἀθροῖσαι καὶ ξυνοικίσαι olim Nauck

1148 sq. μόνον δὲ σὺν τέκνοισί μ' εἰσάγει δόμους (ceteris deletis) Nauck | fort. τέκνοισιν εἰσάγει ἔνδον μ'

1152 (ἐνθένδ' vel) ἐνθάδ' Blaydes 1153 'θάκουν Heath | (θάκουν πρέπουσαι κερκίσ' αἰανὲς φάρος Musgrave) | ἔχουσαι] ἀθροῦσαι et Ἠδωνὴν χερὶ Blaydes 1155 δὲ κάνδυν Θρῄκιον Naber 1159 διαδοχαῖς τ' ἀμείβουσιν (vel ἀμείβονται) χεροῖν Porson, διαδοχαῖς μολόντα διὰ χερός Nauck, διαδοχαῖς ἀμείβουσαι πυκναῖς Herwerden, διαδοχαῖσι σαίνουσαι χερός Mekler, διαδόχοις ἀμοιβαῖσιν χερός Kvičala | verba ἀμείβουσαι διὰ χερός glossematis speciem prae se ferre putat Kirchhoff

post 1166 quaedam excidisse putat Nauck

1171 εἶτα διὰ πύλας F. Gu. Schmidt 1173 θῆρ' ὡς Musgrave, θήραις Weil, θηρῶν Kvičala, ἕδρας (vel οἴστρῳ) F. Gu. Schmidt 1179 λέγων ἔστ' ἢ πάλιν μέλλει λέγειν Wakefield

1180 συντιθεὶς] συλλαβὼν Sakorraphos 1182 ὁ δέ σφι ξυντυχὼν Heimsoeth 1185 πολλῶν Hartung | πολλῶν γὰρ οὐσῶν Nauck, πολλαὶ γάρ ἐσμεν Hadley | πολλαὶ γὰρ ἡμῶν οὐδέν εἰσ' ἐπίφθονοι Musgrave, πολλαὶ γάρ· αἱ μὲν οὐδὲν εἴσ' ἐπίφθονοι Porson | αἱ μὲν εἰς τὰς ἀφθόνους Burges, αἱ μὲν οὐκ ἐπίφθονοι Beck, αἱ μέν εἰσιν εὐγενεῖς Blaydes | ἐπίφθονοι] ἐπίψογοι Lenting 1186 εἰς ἀριθμὸν τῶν καλῶν Reiske, ἀντάριθμοι (olim οὐκ ἐς ἀριθμὸν) τῶν κακῶν Hermann, ἰσάριθμοι τῶν κακῶν Hartung, ἐκτὸς ἀριθμοῦ τῶν κακῶν Berlage, εἰς ἀριθμὸν οὐ κακῶν Hadley | τῶν δακῶν Musgrave

1191 delet Nauck 1194 κακῶς δ' ὄλοιντο (vel ὄλοιντ' ἂν) κοὔτις (et antea δύναιντ' ἂν) Hermann, κακῶν δ' ἐπηῦρον κοὔτις Hartung | versum suspectum habet Valckenaer 1195 φροιμίων Reiske 1197 οἷς φήσ' Heimsoeth | ἀπαλλάξων Nauck 1199 πρῶτον οὔτε πως φίλον Hartung 1199 sqq. πρῶτα ποῦ ποτ' ἂν φίλον . . γένος; οὔτἂν δύναιτο Hermann

1203 ἤ τιν' Blaydes

1210 τε . . τ'] δὲ . . δ' Blaydes | versum omissum in rec. delet Kvičala 1214 ἡνίχ' οἳ μὲν οὐκέτ' εἰσὶν Sakorraphos | φάει] κράτει

Herwerden 1215 (*καπνῷ δ' ἐσμύχετ' ἄστυ* Hartung) | *καπνῷ δὲ σῆμ' ἦν ἄστυ πολεμίῳ τυφέν* M. Seyffert, *καπνὸς δ' ἐσήμην' ἄστυ πολεμίοις ὑπόν* Kvičala, *κἄγνως σμυγὲν δῆτ'* (vel *δαμὲν δῆτ'* vel potius *πεσὸν δῆτ'*) *ἄστυ πολεμίῳ πυρί* F. Gu. Schmidt | *καπνῷ δ' ἔρημον* H. Hirzel, *καπνῶδες ἡμῖν δ'* Nauck, *καπνῷ δ' ἄσημον* C. Busche, *κἀπώλεθ' ἡμῖν* Radermacher, *καπνῷ δ' ἐτύφετ'* vel *καπνοῦ πλέων δ' ἔστ'* Blaydes | *πολεμίοις ὕπο* Schenkl, *πολεμίου πυρός* (vel *δορός*) olim coniciebam | post 1215 versum excidisse putat Kayser 1218 *ἦσθα τοῖς*] *ὀρθῶς* (vel *ὄντως*) *ἦσθ'* Hermann, *ὡς φῄς, ἦσθ'* Hartung

1220 *τότ' οὐ χρόνον* Kirchhoff, (*τότε χρόνον* olim coniciebam) 1224 *μὲν παῖδ' ὅπως σ' ἐχρῆν* olim Hermann, *μὲν παῖδά σ' ὡς ἐχρῆν* olim Nauck 1226 sq. *γὰρ ἂν μάθοις σαφέστατα φίλους* F. Gu. Schmidt | hos versus delet Sakorraphos 1227 *δ' εὐθέως ἔχει φίλους* vel *δ' αὐτόθεν φίλους ἔχει* Nauck | *φίλα* Barthold

1235 *οὔθ' ὅσιον οὔτε χρηστὸν* Blaydes 1235 sqq. *εὖ δράσας ξένον, αὐτὸν σὲ . . κακοῖσι φήσομεν*, deleto versu 1237, Nauck 1236 sq. *κακοῖσι φήσομεν τὸν τοῦτο δρῶντα* Heimsoeth 1237 *τόνδ' εὖ ποοῦντα* vel *τοιοῦτα δρῶντα* F. Gu. Schmidt 1238 (*τὰ 'χρηστα* Valckenaer)

1245 *ἐν σοῖσιν δόμοις* Matthiae

1256 *ἀλγεῖς τι; κἀμὲ παῖδας* (*παῖδας* iam Hartung) H. L. Ahrens | etiam *τί δ' αὖ με* Scaliger, *τί δή με* Brunck („potius *τί δὴ 'μέ*" Matthiae) | *τί δέ με τοῦ παιδὸς* Canter, *τί δ'; ἡμᾶς παιδὸς κτἑ.* Schaefer 1258 *χρὴ σὲ* Barnes

1261 *κρύψῃ πεσοῦσαν εἰς ἅλ' ἐκ καρχησίων* Burges

1270—1273 delet Kvičala 1270 *ζῶσ' ἔνθεν ἐκπλεύσω κύων;* F. Gu. Rost (*ἐκπνεύσω κύων;* Benedict), *ζῶσ' ἠθάδ' ἐκπλήσω βίον;* vel *ζῶσ' ἐν σάλῳ 'νεχθήσομαι;* Herwerden | *ἐκστήσω βίον;* olim Weil | *βίον*] *λόγον* R. Prinz, *τάδε* C. Busche 1271 *τύμβον . . σοῦ* Blaydes 1272 *μορφῆς ἐπώνυμόν τι* Nauck | *ἤ τι* Brunck | *ἢ τύχης ἐμῆς* (vel *ἤ τί τῶν ἐμῶν*) *ἐρεῖς;* Reiske 1278 Agamemnoni tribuit Weil 1279 *αὐτόν τε τοῦτον* Heimsoeth

1283 *καθέξετε* Blaydes 1284 *συγκλῄετ'* Blaydes 1286 *ἐκεῖ πυροῦται* Reiske

# EURIPIDIS

# FABULAE

EDIDERUNT

R. PRINZ ET N. WECKLEIN.

---

VOL. I. PARS IV.

## ELECTRA.

LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI.

MDCCCXCVIII.

# EURIPIDIS

# ELECTRA

EDIDIT

N. WECKLEIN.

LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI.

MDCCCXCVIII.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

# NOTARUM INDEX.

*L* = codex Laurent. 32, 2 chartaceus saec. XIV.
*l* = manus secunda et tertia.
*G* = cod. Laurent. 172 membranaceus saec. XIV.
*g* = manus recentior.

PASSIM MEMORATUR

*R* = codex Riccardianus 77 circa vicem saec. XV et XVI scriptus.

# ΕΥΡΙΠΙΔΟΥ

# Η Λ Ε Κ Τ Ρ Α

---

Euripides, Electra.

## Τὰ τοῦ δράματος πρόσωπα·

αὐτουργὸς Μυκηναῖος.
Ἠλέκτρα.
Ὀρέστης.
χορός.
πρέσβυς.
ἄγγελος.
Κλυταιμήστρα.
Διόσκουροι.

---

Personarum indicem om. *LG*, dedit *g*: *αὐτουργὸς μηκυναῖος. ἠλέκτρα. πρέσβυς. ὀρέστης. κλυταιμνήστρα. ἀγγ. διόσκοροι.* Notae *ἄγγελος* praeferenda videtur nota *θεράπων*. Cfr. v. 766.

*Ἀγαμέμνονος ποινάτορ', εἶχεν ἐν δόμοις*
*Αἴγισθος οὐδ' ἥρμοζε νυμφίῳ τινί.*
*ἐπεὶ δὲ καὶ τοῦτ' ἦν φόβου πολλοῦ πλέων,*
*μή τῳ λαθραίως τέκνα γενναίῳ τέκοι,*
*κτανεῖν σφ' ἐβούλευ'· οὖσα δ' ὠμόφρων ὅμως*
*μήτηρ νιν ἐξέσωσεν Αἰγίσθου χερός.*
*ἐς μὲν γὰρ ἄνδρα σκῆψιν εἶχ' ὀλωλότα,*
*παίδων δ' ἔδεισε μὴ φθονηθείη φόνῳ.*
*ἐκ τῶνδε δὴ τοιόνδ' ἐμηχανήσατο*
*Αἴγισθος· ὃς μὲν γῆς ἀπηλλάχθη φυγὰς*
*Ἀγαμέμνονος παῖς, χρυσὸν εἶφ' ὃς ἂν κτάνῃ,*
*ἡμῖν δὲ δὴ δίδωσιν Ἠλέκτραν ἔχειν*
*δάμαρτα, πατέρων μὲν Μυκηναίων ἄπο*
*γεγῶσιν· οὐ δὴ τοῦτό γ' ἐξελέγχομαι·*
*λαμπροὶ γὰρ ἐς γένος γε, χρημάτων γε μὴν*
*πένητες, ἔνθεν ηὑγένει' ἀπόλλυται·*
*ὡς ἀσθενεῖ δοὺς ἀσθενῆ λάβοι φόβον.*
*[εἰ γάρ νιν ἔσχεν ἀξίωμ' ἔχων ἀνήρ,*
*εὕδοντ' ἂν ἐξήγειρε τὸν Ἀγαμέμνονος*
*φόνον δίκη τ' ἂν ἦλθεν Αἰγίσθῳ τότε.]*
*ἣν οὔποθ' ἁνὴρ ὅδε, σύνοιδέ μοι Κύπρις,*
*ᾔσχυνεν εὐνῇ· παρθένος δ' ἔτ' ἐστὶ δή.*
*αἰσχύνομαι γὰρ ὀλβίων ἀνδρῶν τέκνα*
*λαβὼν ὑβρίζειν, οὐ κατάξιος γεγώς.*
*στένω δὲ τὸν λόγοισι κηδεύοντ' ἐμοὶ*
*ἄθλιον Ὀρέστην, εἴ ποτ' εἰς Ἄργος μολὼν*
*γάμους ἀδελφῆς δυστυχεῖς ἐσόψεται.*
*ὅστις δέ μ' εἶναί φησι μῶρον, εἰ λαβὼν ·*

23 *ποινάτορ'*] Porson, *ποινάτορας LG* | *εἶργεν* Nauck 27 *σφ' ἐβούλευ'· οὖσα δ' ὠμόφρων*] scripsi (*σφ' ἐβούλευσ'· οὖσα δ' ὠμόφρων* iam Lindau), *σφ' ἐβουλεύσαντ'·* (post *τ* erasum *ο* et sequens *ω* ex *δ* factum in *L*) *ὠμόφρων δ' LG*, *σφε βουλεύσαντος ὠμόφρων* Seidler 28 fort. *ἐξέσῳζεν.* 30 *φθονηθείη LG*, in marg. *μεμφθείη L* 32 *φυγὰς*] Victorius, *φύλαξ LG* 33 *εἶφ'*] Barnes, *εἶπεν LG* 34 *δὴ* mut. in *δὲ δὴ L*, *δὲ δὴ G* 36 *ἐξελέγξομαι* Naber 37 *γε μὴν* Stob. fl. 97, 5, *δὲ δὴ LG* 40—42 delevit Kirchhoff 40 *εἰ Lg*, *οὐ G* 42 *τότε L* et ex *ποτε* factum *G* 43 *οὔποθ' ἁνὴρ*] Seidler, *οὔποτ' ἀνὴρ LG* | Schol. *δεικτικῶς ἀντὶ τοῦ ἐγώ L* | 43sq. *ἧς . . ᾔσχυνεν εὐνήν* Kvičala 44 in marg. *γρ. ᾔσχυν' ἐν εὐνῇ L* 45 *αἰσχύνομαι*] fort. *ἀναίνομαι* 47 *στένω*] *σέβω* F. Gu. Schmidt

νέαν ἐς οἴκους παρθένον μὴ θιγγάνω,
γνώμης πονηροῖς κανόσιν ἀναμετρούμενος
τὸ σῶφρον ἴστω κὐτὸς αὖ τοιοῦτος ὤν.

ΗΛΕΚΤΡΑ.

ὦ νὺξ μέλαινα, χρυσέων ἄστρων τροφέ,
ἐν ᾗ τόδ' ἄγγος τῷδ' ἐφεδρεῦον κάρᾳ
φέρουσα πηγὰς ποταμίας μετέρχομαι
[οὐ δή τι χρείας ἐς τοσόνδ' ἀφιγμένη,
ἀλλ' ὡς ὕβριν δείξωμεν Αἰγίσθου θεοῖς
γόους τ' ἀφείην αἰθέρ' ἐς μέγαν πατρί.]
ἡ γὰρ πανώλης Τυνδαρίς, μήτηρ ἐμή,
ἐξέβαλέ μ' οἴκων, χάριτα τιθεμένη πόσει·
τεκοῦσα δ' ἄλλους παῖδας Αἰγίσθῳ πάρα
πάρεργ' Ὀρέστην κἀμὲ ποιεῖται δόμων.

*ΑΥ.* τί γὰρ τάδ', ὦ δύστην', ἐμὴν μοχθεῖς χάριν
πόνους ἔχουσα, πρόσθεν εὖ τεθραμμένη,
καὶ ταῦτ' ἐμοῦ λέγοντος οὐκ ἀφίστασαι;

*ΗΛ.* ἐγώ σ' ἴσον θεοῖσιν ἡγοῦμαι φίλον·
ἐν τοῖς ἐμοῖς γὰρ οὐκ ἐνύβρισας κακοῖς.
μεγάλη δὲ θνητοῖς μοῖρα συμφορᾶς κακῆς
ἰατρὸν εὑρεῖν, ὡς ἐγὼ σὲ λαμβάνω.
δεῖ δή με κἀκέλευστον εἰς ὅσον σθένω
μόχθου 'πικουφίζουσαν, ὡς ῥᾷον φέρῃς,
συνεκκομίζειν σοι πόνους. ἅλις δ' ἔχεις
τἄξωθεν ἔργα· τὰν δόμοις δ' ἡμᾶς χρεὼν
ἐξευτρεπίζειν. εἰσιόντι δ' ἐργάτῃ
θύραθεν ἡδὺ τἄνδον εὑρίσκειν καλῶς.

*ΑΥ.* εἴ τοι δοκεῖ σοι, στεῖχε· καὶ γὰρ οὐ πρόσω
πηγαὶ μελάθρων τῶνδ'. ἐγὼ δ' ἅμ' ἡμέρᾳ
βοῦς εἰς ἀρούρας εἰσβαλὼν σπερῶ γύας.

---

51 *θιγάνω G*, *θιγγάνω g* 52 *πονηρᾶς* Musgrave, fort. *στάθμης πονηρᾶς* 53 *αὖ*] *ἂν* Nauck 56 *ποταμίους* Fix. Cfr. 309 57—59 delevit Kirchhoff (57 sq. delebat olim Nauck) 59 *τ' ἀφείην*] Aem. Portus, *τ' ἀφίην LG*, *τ' ἀφίημ'* Reiske, *ἀφίημ'* Wilamowitz 61 *τιθεμένη χάριν* Camper 62 *Αἰγίσθου* Schaefer 65 *πόνους δ'* Dobree 66 *τοῦτ' R* | *ἐμοῦ ψέγοντος* Herwerden, fort. *ἐμοῦ θέλοντος* 70 *ἐγώ σε LG* 77 lineola praefixa in *L*, *αὐτ* (*ουργός*) minio praescriptum in *G* 79 fort. *ἐμβαλὼν*

*ἀργὸς γὰρ οὐδεὶς θεοὺς ἔχων ἀνὰ στόμα*
*βίον δύναιτ' ἂν ξυλλέγειν ἄνευ πόνου.*

ΟΡΕΣΤΗΣ.

*Πυλάδη, σὲ γὰρ δὴ πρῶτον ἀνθρώπων ἐγὼ*
*πίστιν νομίζω καὶ φίλον ξένον τ' ἐμοί·*
*μόνος δ' Ὀρέστην τόνδ' ἐθαύμαζες φίλων,*
*πράσσονθ' ἃ πράσσω δείν' ὑπ' Αἰγίσθου παθών,*
*ὅς μου κατέκτα πατέρα χὴ πανώλεθρος*
*μήτηρ. ἀφῖγμαι δ' ἐκ θεοῦ χρηστηρίων*
*Ἀργεῖον οὖδας οὐδενὸς ξυνειδότος,*
*φόνον φονεῦσι πατρὸς ἀλλάξων ἐμοῦ.*
*νυκτὸς δὲ τῆσδε πρὸς τάφον μολὼν πατρὸς*
*δάκρυά τ' ἔδωκα καὶ κόμης ἀπηρξάμην*
*πυρᾷ τ' ἐπέσφαξ' αἷμα μηλείου φόνου,*
*λαθὼν τυράννους οἳ κρατοῦσι τῆσδε γῆς.*
*καὶ τειχέων μὲν ἐντὸς οὐ βαίνω πόδα,*
*δυοῖν δ' ἅμιλλαν ξυντιθεὶς ἀφικόμην*
*πρὸς τέρμονας γῆς τῆσδ', ἵν' ἐκβάλω ποδὶ*
*ἄλλην ἐπ' αἶαν, εἴ μέ τις γνοίη σκοπῶν,*
*ζητῶν τ' ἀδελφήν· φασὶ γάρ νιν ἐν γάμοις.*
*ζευχθεῖσαν οἰκεῖν [οὐδὲ παρθένον μένειν]·*
*ὡς συγγένωμαι καὶ φόνου ξυνεργάτιν*
*λαβὼν τά γ' εἴσω τειχέων σαφῶς μάθω.*
*νῦν οὖν· Ἕως γὰρ λευκὸν ὄμμ' ἀναίρεται·*
*ἔξω τρίβου τοῦδ' ἴχνος ἀλλαξώμεθα.*
*ἢ γάρ τις ἀροτὴρ ἤ τις οἰκέτις γυνὴ*
*φανήσεται νῷν, ἥντιν' ἱστορήσομεν*
*εἰ τούσδε ναίει σύγγονος τόπους ἐμή.*

---

80 schol. *οὐδεὶς ἀπὸ μόνου ζῇ τοῦ ἀνακαλεῖσθαι θεούς· πρὸς τοῦτο δὲ καὶ τὸ „σὺν Ἀθηνᾷ καὶ χεῖρα κίνει“* in *L* 81 *πόνων* Stob. fl. 30, 12
83 *πίστιν*] Weil (invenit etiam Camper), *πιστὸν LG* | *καὶ φιλοξενώτατον* Weil 84 *ἐθαύμαζες*] fort. *ἐθάρσυνες* 87 *χρηστηρίων*] Barnes, *μυστηρίων LG* 94 *πόδα*] fort. *πόλεως* 95 *δυοῖν δ' ἅμιλλαν*] Pierson, *δυεῖν* (mut. in *δυοῖν*) *δ' ἁμίλλαιν* (*ν* ita scr. ut facile cum *σ* commutari possit) *L*, *δυεῖν δ' ἁμίλλαις G* 96 *τούσδ'* Lenting. In marg. *γρ. ἵν' ἐμβάλω L* | *ἐκβάλω πόδα* Dobree, *ἐκβαίνω ποδὶ* Kirchhoff
98 *ζητῶν τ'* Pierson, *ζητοῦντ' LG* 99 verba *οὐδὲ .. μένειν* delevi, exspectatur *ἐνθάδ' ἄστεως ἑκάς*. Cfr. 246 100 *ξυνεργάτιν G*, *συνεργάτιν L* 102 *ἕως LG*, superscr. *ἠὼς l*. *Ἕω .. ἐγείρεται* Kirchhoff

*οἰκτρὰν ἐν θαλάμοις λιπὼν*
*πατρῴοις ἐπὶ συμφοραῖς*
*ἀλγίσταισιν ἀδελφάν;*
*ἔλθοις δὲ πόνων ἐμοὶ*
*τᾷ μελέᾳ λυτήρ,*
*ὦ Ζεῦ Ζεῦ, πατρί θ' αἱμάτων*
*αἰσχίστων ἐπίκουρος, Ἄρ-*
*γει κέλσας πόδ' ἀλάταν.*

*θὲς τόδε τεῦχος ἐμῆς ἀπὸ κρατὸς ἑ-* stroph.
*λοῦσ', ἵνα πατρὶ γόους νυχίους*
*ἐπορθοβοάσω,*
*ἰαχὰν ἀοιδὰν μέλος Ἀίδα,*
*πάτερ, σοὶ κατὰ γᾶς ἐννέπω γόους,*
*οἷς ἀεὶ τὸ κατ' ἦμαρ*
*λείβομαι, κατὰ μὲν φίλαν*
*ὄνυχι τεμνομένα δέραν,*
*χέρα τε κρᾶτ' ἐπὶ κούριμον*
*τιθεμένα θανάτῳ σῷ.*
*ἒ ἔ, δρύπτε παρειάν·*
*οἷα δέ τις κύκνος ἀχέτας*
*ποταμίοις παρὰ χεύμασιν*
*πατέρα φίλτατον ἀγκαλεῖ,*
*ὀλόμενον δολίοις βρόχων*
*ἕρκεσιν, ὡς σὲ τὸν ἄθλιον,*
*πάτερ, ἐγὼ κατακλαίομαι,*

---

132 *λιπὼν* postmodum additum in *L*, habet *G* 133 *πατρῴοις*] Victorius, *πατρῴαις LG* 134 *ἀδελφάν*] Heath, *ἀδελφεάν* (*ε* sic scriptum ut facile cum *ι* commutari possit) cum nota *ἀντὶ μιᾶς L*, *ἀδελφιὰν G* 135 *δὲ*] Hermann, *τῶνδε LG* 138 *αἰσχίστων*] Seidler, *ἐχθίστων LG* 140 *ἐμᾶς* Dindorf. Schol. *πρὸς ἑαυτὴν τοῦτό φησι ἡ Ἠλέκτρα ἀφελῶς L* 141 *νυχίους*] fort. *χθονίους*. Cfr. Soph. El. 1066

142 *ἐπορθροβοάσω* ut videtur *L*, *ἐπορθυβοάσω* rescr. vel corr. *l*, *ἐπορθυβοάσω* vel *ἐπορθοβοάσω G*, *ἐπορθρεύσω* Dindorf, *ἐπορθιάζω* F. Gu. Schmidt (*ἐπορθιάσω* I. L. Heiberg) 143 *ἀοιδὰν*] *Ἀίδα* Reiske, delet Matthiae 143 sq. fort. *ἰαχὰν Ἀίδα, μέλος, πάτερ, σοὶ κατὰ γᾶς* ⟨*θρήνων*⟩ 145 *ἆμαρ* Dindorf. *λείβομαι*] scripsi (A. Soph. em. p. 184), *διέπομαι LG* 148 *χαίρατε LG*, *χέρα τε l.* *ἐπὶ κούριμον*] Barnes, *ἀποκούριμον LG* 150 *ΧΟ.* praefixit *l.* *παρειάν*] scripsi, *κάρα LG*

152 *χεύμασι LG* 153 *ἀγκαλεῖ*] vel *ἀνακαλεῖ* Hartung, *καλεῖ LG*

156 *πάτερ*] Heath, *πατέρ' LG*

*λουτρὰ πανύσταθ᾽ ὑδρανάμενον χροῒ* antistr.
*δροίτᾳ ἐν οἰκτροτάτᾳ θανάτου.*
*ἰώ μοί μοι*
*πικρᾶς μὲν πελέκεως τομᾶς,*
*πικρᾶς δ᾽ ἐκ Τροίας ὁδοῦ βουλᾶς*
*οὐ μίτραισι γυνή σε*
*δέξατ᾽ οὐδ᾽ ἐπὶ στεφάνοις,*
*ξίφεσι δ᾽ ἀμφιτόμοις λυγρὰν*
*⟨σοῦ, πάτερ⟩ λώβαν θεμένα*
*δόλιον ἔσχεν ἀκοίταν.*
*⟨ἓ ἕ, δρύπτε παρειάν·*
*οἷα δέ τις κύκνος ἀχέτας*
*ποταμίοις παρὰ χεύμασιν*
*πατέρα φίλτατον ἀγκαλεῖ*
*ὀλόμενον δολίοις βρόχων*
*ἕρκεσιν, ὣς σὲ τὸν ἄθλιον,*
*πάτερ, ἐγὼ κατακλαίομαι.⟩*

ΧΟΡΟΣ.

*Ἀγαμέμνονος ὦ κόρα,* stroph.
*ἤλυθον, Ἠλέκτρα, ποτὶ σὰν αὐλὰν ἀγρότειραν.*
*ἔμολέ τις ἔμολεν ἀνὴρ γαλακτοπότας*
*Μυκηναῖος οὐριβάτας·*
*ἀγγέλλει δ᾽ ὅτι νῦν τριταί-*
*αν καρύσσουσιν θυσίαν*
*Ἀργεῖοι, πᾶσαι δὲ παρ᾽ Ἥ-*
*ραν μέλλουσιν παρθενικαὶ στείχειν.*

---

158 *δροίτᾳ*] Burges, *κοίτα LG* | *θανάτου*] *θαλάμου* Dobree 159 *ΗΛ.* praefixit *l* | *ἰὼ ἰώ μοι* F. Gu. Schmidt 160 *τομᾶς*] scripsi, *τομᾶς σᾶς, πάτερ LG*. Cfr. 165 161 fort. *πικραῖς δ᾽ ἐκ Τροΐας βουλαῖς* 162 *μίτραισι γυνή σε*] Seidler, *μίτραις σε γυνὴ LG* 163 *οὐ στεφάνοις ἔπι* Paley 165 *σοῦ, πάτερ*] scripsi (cfr. 160), *Αἰγίσθου LG* | *λόβαν G*. Fort. *σοῦ λώβαν θεμένα, πάτερ* 166 *ἴσχεν G*. Post 166 iteravi v. 150—156 ut ephymnium 167 *κόρα LG* et Plut. Lys. 15, *κούρα l* 168 *αὐλὰν ἀγρότειραν*] Hartung, *ἀγροτέραν* (superscr. *ἀγρότειραν l*) *αὐλάν LG*, *ἀγρότειραν αὐλάν* Plutarchus 169 *ἔμολεν*] *ἔμολε LG*, *ἔμολέ τις l* | *ἀνὴρ γαλακτοπότας*] Fix, *γαλακτοπότας ἀνὴρ LG* 170 *οὐριβάτας*] Dindorf, *οὐρειβάτας LG*, *ὀρειβάτας l*, *αὐριβάτας* Naber 172 *καρύσσουσι LG*, *καρύσσουσιν l* 174 *μέλλουσι LG*, *μέλλουσιν l*

ΗΛ. οὐκ ἐπ' ἀγλαΐαις, φίλαι,
θυμὸν οὐδ' ἐπὶ χρυσέοις
ὅρμοις ἐκπεπόταμαι
τάλαιν', οὐδ' ἱστᾶσα χοροὺς
Ἀργείαις ἅμα νύμφαις
εἱλικτὸν κρούσω πόδ' ἐμόν.
δάκρυσι νυχεύω, δακρύων δέ μοι μέλει
δειλαίᾳ τὸ κατ' ἦμαρ.
σκέψαι μου πιναρὰν κόμαν
καὶ τρύχη τάδ' ἐμῶν πέπλων,
εἰ πρέποντ' Ἀγαμέμνονος
κούρᾳ 'σται βασιλείᾳ
τᾷ Τροίᾳ θ', ἃ 'μοῦ πατέρος
μέμναταί ποθ' ἁλοῦσα.

ΧΟ. μεγάλα θεός· ἀλλ' ἴθι, antistr.
καὶ παρ' ἐμοῦ χρῆσαι πολύπηνα φάρεα δῦναι
χρύσεά τε χάρισι προσθήματ' ἀγλαΐας.
δοκεῖς τοῖσι σοῖς δακρύοις,
μὴ τιμῶσα θεούς, κρατή-
σειν ἐχθρῶν; οὔτοι στοναχαῖς,
ἀλλ' εὐχαῖσι θεοὺς σεβί-
ζουσ' ἕξεις εὐαμερίαν, ὦ παῖ.

---

175 οὐκ *L G*, οὐκέτ' *l* 176 χρυσείοις *L*, χρυσέοις *l G* 177 ὅρμοις ἐκπεπόταμαι *G* et ante rasuram *L*, ὅρμοισι πεπόταμαι *l*, ὅρμοισιν πεπόταμαι Seidler 178 οὐδ' ἱστᾶσα χοροὺς] Reiske, οὐδὲ στᾶσα χοροὺς *L G*, literas β α super στᾶσα χοροὺς scr. *l* 180 πόδ' ἐμόν] Canter, πόλεμον *L G*. Fort. εἱλικτοὺς κρούσω δάπεδον 181 νυχεύω] Hermann, χεύω *L G* 182 ἆμαρ Dindorf 184 sq. κόμαν πιναρὰν καὶ πέπλων τρύχη τάδ' ἐμῶν Nauck. καὶ τρύχη πέπλων τάδ' ἐμῶν Dindorf 186 εἰ πρέποντ'] Reiske, εἴ περ ποτ' *L G* 187 κούρᾳ 'σται] Nauck (κούρᾳ τᾷ Reiske), κούρας τὰ (τᾶ *l*) *L G*. In marg. adscr. λείπει κῶλον *l* 188 τὰ (τᾶ *l*) τροία θ' ἅ μου *L G*, Τροίᾳ (deleto τᾷ) θ' ἃ τοὐμοῦ L. Dindorf 189 ἀλλοῦσα *G* 191 πολύπηνά τε Seidler, πολύπην' ἐν Dindorf 192 χάρισι] Musgrave, χάρισαι *L*, χάρισε mut. in χάρισαι *G*. Fort. χρύσεά τ' ἐπὶ χάρισι et 169 ἔμολέ τις ἔμολέ τις | προσθήματ' *L*, πρὸς θήματα *G*, προθήματ' *l*. Cfr. Hesych. προθήματα 193 δοκεῖς] Victorius, δοκοῖς *L G* | τοῖσι σοῖς] Heath, τοῖς σοῖσι *L G* 195 οὔτι *G* 196 εὐχαῖς (factum ex εὐχαῖσι in *L*) θεοὺς (superscr. συνίζησις in *L*) σεβίζουσ' *L G*, εὐχαῖς τοὺς θεούς γε σεβίζουσ' *l*, εὐχαῖς θεοὺς σὺ σεβίζουσ' Fix, εὐχαῖσιν θεοὺς σὺ σεβίζουσ'. Kirchhoff

*ΗΛ.* ἕστηκα· πάντως δ' εἰμὶ σή· κρείσσων γὰρ εἶ.
*ΟΡ.* ἥκω φέρων σοι σοῦ κασιγνήτου λόγους.
*ΗΛ.* ὦ φίλτατ', ἆρα ζῶντος ἢ τεθνηκότος;
*ΟΡ.* ζῇ· πρῶτα γάρ σοι τἀγάθ' ἀγγέλλειν θέλω.
*ΗΛ.* εὐδαιμονοίης, μισθὸν ἡδίστων λόγων.
*ΟΡ.* κοινῇ δίδωμι τοῦτο νῷν ἀμφοῖν ἔχειν.
*ΗΛ.* ποῦ γῆς ὁ τλήμων τλήμονας φυγὰς ἔχων;
*ΟΡ.* οὐχ ἕνα νομίζων φθείρεται πόλεως τόπον.
*ΗΛ.* οὔ που σπανίζων τοῦ καθ' ἡμέραν βίου;
*ΟΡ.* ἔχει μέν, ἀσθενὴς δὲ δὴ φεύγων ἀνήρ.
*ΗΛ.* λόγον δὲ δὴ τίν' ἦλθες ἐκ κείνου φέρων;
*ΟΡ.* εἰ ζῇς, ὅπως τε ζῶσα συμφορᾶς ἔχεις.
*ΗΛ.* οὐκοῦν ὁρᾷς μου πρῶτον ὡς ξηρὸν δέμας.
*ΟΡ.* λύπαις γε συντετηκός, ὥστε με στένειν.
*ΗΛ.* καὶ κρᾶτα πλόκαμόν τ' ἐσκυθισμένον ξυρῷ.
*ΟΡ.* δάκνει σ' ἀδελφὸς ὅ τε θανὼν ἴσως πατήρ.
*ΗΛ.* οἴμοι, τί γάρ μοι τῶνδέ γ' ἐστὶ φίλτερον;
*ΟΡ.* φεῦ φεῦ· τί δ' αὖ σοῦ σῷ κασιγνήτῳ δοκεῖς;
*ΗΛ.* ἀπὼν ἐκεῖνος, οὐ παρὼν ἡμῖν φίλος.
*ΟΡ.* ἐκ τοῦ δὲ ναίεις ἐνθάδ' ἄστεως ἑκάς;
*ΗΛ.* ἐγημάμεσθ', ὦ ξεῖνε, θανάσιμον γάμον.
*ΟΡ.* ᾤμωξ' ἀδελφὸν σόν. Μυκηναίων τίνι;
*ΗΛ.* οὐχ ᾧ πατήρ μ' ἤλπιζεν ἐκδώσειν ποτέ.
*ΟΡ.* εἴφ', ὡς ἀκούσας σῷ κασιγνήτῳ λέγω.
*ΗΛ.* ἐν τοῖσδ' ἐκείνου τηλορὸς ναίω δόμοις.
*ΟΡ.* σκαφεύς τις ἢ βουφορβὸς ἄξιος δόμων.
*ΗΛ.* πένης ἀνὴρ γενναῖος ἔς τ' ἔμ' εὐσεβής.

---

232 τοῦτο] schol. ἤγουν τὸ εὐδαιμονεῖν in *L* 233 ποῦ δ' ἔσθ' F. Gu. Schmidt. ἔχων] ἔχει Dio Chrys. 13, 5 234 τόπον Dio, νόμον *LG* 235 οὔ που *Lg*, οὔ πω *G*, ἤπου Dio | σπανίζει Dio 236 ἀσθενῆ δ' ἅτε φεύγων Dio | δὲ πᾶς Camper, δ' ἀεὶ Vitelli 238 ὅπως] Elmsley, ὅπου *LG* | συμφορᾶς] Victorius, συμφορὰς *LG* 239 ὡς ξηρὸν] fort. αὐχμηρὸν 240 γε] Heath, τε *LG* | συντετηκός] Reiske, συντέτηκας *LG* 242 ἴσω *G*, ἴσως *g*, αἰνῶς F. Gu. Schmidt 244 δ' αὖ σοῦ] Seidler, δαὶ σὺ *L*, δὲ σὺ *G* 245 ἀπὼν (super α atramenti macula) *L*, εἰπὼν *G* 246 τοῦδε *LG* 247 ἐγημάμεθ' ὦ ξένε *G* | οὐ, ξεῖν', ἐναίσιμον Holzner 248 τίνι] τινά *LG*, in marg. γράφεται καὶ τινὶ ἵνα ᾖ ὁ νοῦς Μυκηναίων τινὶ ἐγαμήθης *L* 251 τηλορὸς] τλημόνως L. Dindorf, fort. γαμόροις (γημόροις C. Haupt) 252 σκαφεύς ita scr. ut facile σκαφές legas *L*, σκαφ * (i. e. σκαφές) *G*, σκαφεύς

ΟΡ. ἡ δ' εὐσέβεια τίς πρόσεστι σῷ πόσει;
ΗΛ. οὐπώποτ' εὐνῆς τῆς ἐμῆς ἔτλη θιγεῖν.
ΟΡ. ἅγνευμ' ἔχων τι θεῖον ἤ σ' ἀπαξιῶν;
ΗΛ. γονέας ὑβρίζειν τοὺς ἐμοὺς οὐκ ἠξίου.
ΟΡ. καὶ πῶς γάμον τοιοῦτον οὐχ ἥσθη λαβών;
ΗΛ. οὐ κύριον τὸν δόντα μ' ἡγεῖται, ξένε.
ΟΡ. ξυνῆκ'· Ὀρέστῃ μή ποτ' ἐκτίσῃ δίκην.
ΗΛ. τοῦτ' αὐτὸ ταρβῶν, πρὸς δὲ καὶ σώφρων ἔφυ.
ΟΡ. φεῦ·
γενναῖον ἄνδρ' ἔλεξας, εὖ τε δραστέον.
ΗΛ. εἰ δή ποθ' ἥξει γ' ἐς δόμους ὁ νῦν ἀπών.
ΟΡ. μήτηρ δέ σ' ἡ τεκοῦσα ταῦτ' ἠνέσχετο;
ΗΛ. γυναῖκες ἀνδρῶν, ὦ ξέν', οὐ παίδων φίλαι.
ΟΡ. τίνος δέ σ' εἵνεχ' ὕβρισ' Αἴγισθος τάδε;
ΗΛ. τεκεῖν μ' ἐβούλετ' ἀσθενῆ, τοιῷδε δούς.
ΟΡ. ὡς δῆθε παῖδας μὴ τέκοις ποινάτορας;
ΗΛ. τοιαῦτ' ἐβούλευσ'· ὧν ἐμοὶ δοίη δίκην.
ΟΡ. οἶδεν δέ σ' οὖσαν παρθένον μητρὸς πόσις;
ΗΛ. οὐκ οἶδε· σιγῇ τοῦθ' ὑφαιρούμεσθά νιν.
ΟΡ. αἵδ' οὖν φίλαι σοι τούσδ' ἀκούουσιν λόγους;
ΗΛ. ὥστε στέγειν γε τἀμὰ καὶ σ' ἔπη καλῶς.
ΟΡ. τί δῆτ' Ὀρέστης πρὸς τόδ', Ἄργος ἢν μόλῃ;
ΗΛ. ἤρου τόδ'; αἰσχρόν γ' εἶπας· οὐ γὰρ νῦν ἀκμή;
ΟΡ. ἐλθὼν δὲ δὴ πῶς φονέας ἂν κτάνοι πατρός;
ΗΛ. τολμῶν ὑπ' ἐχθρῶν οἷ' ἐτολμήθη πατήρ.
ΟΡ. ἦ καὶ μετ' αὐτοῦ μητέρ' ἂν τλαίης κτανεῖν;
ΗΛ. ταὐτῷ γε πελέκει τῷ πατὴρ ἀπώλετο.
ΟΡ. λέγω τάδ' αὐτῷ, καὶ βέβαια τἀπὸ σοῦ;
ΗΛ. θάνοιμι μητρὸς αἷμ' ἐπισφάξασ' ἐμῆς.
ΟΡ. φεῦ·
εἴθ' ἦν Ὀρέστης πλησίον κλύων τάδε.

---

254 πόσει ex πόσι ut videtur fecit *l* 256 ἢ σε *L*, ἤ σ' *l*, ἢ σ' *G* | ἀπαξιῶν] Schaefer, ἀναξιῶν *LG* 266 εἵνεχ'] οὕνεχ' *LG* 267 μ' ἐβούλετ'] Schaefer, με βούλετ' *LG* 268 ὡς δῆτα παῖδας Matthiae, fort. ὡς δῆθεν αὐτοῦ 269 fort. τοῦτ' αὔτ' 270 παρθένος *G* 272 φίλαι σοι *R*, φίλαισι *LG* 273 στέργειν *L*, στέγειν *lG* 274 τάδ' Camper 275 ἤρου τόδ'; αἰσχρόν] fort. ἦ τοῦτ' ἀχρεῖόν 277 πατήρ] ποτέ Nauck, πάρος Herwerden, fort. πάλιν 281 ἐπισφάξασα *L*, ἐπισφάξασ' *lG* 282 Ὀρέστην . . κλύειν Weil (κλύειν iam Camper)

*ΗΛ.* ἀλλ᾽, ὦ ξέν᾽, οὐ γνοίην ἂν εἰσιδοῦσά νιν.
*ΟΡ.* νέα γάρ, οὐδὲν θαῦμ᾽, ἀπεζεύχθης νέου.
*ΗΛ.* εἷς ἂν μόνος νιν τῶν ἐμῶν γνοίη φίλων.
*ΟΡ.* ἆρ᾽ ὃν λέγουσιν αὐτὸν ἐκκλέψαι φόνου;
*ΗΛ.* πατρός γε παιδαγωγὸς ἀρχαῖος γέρων.
*ΟΡ.* ὁ κατθανὼν δὲ σὸς πατὴρ τύμβου κυρεῖ;
*ΗΛ.* ἔκυρσεν ὡς ἔκυρσεν, ἐκβληθεὶς δόμων.
*ΟΡ.* οἴμοι, τόδ᾽ οἷον εἶπας· αἴσθησις γὰρ οὖν
καὶ τῶν θυραίων πημάτων δάκνει βροτούς.
λέξον δ᾽, ἵν᾽ εἰδὼς σῷ κασιγνήτῳ φέρω
λόγους ἀτερπεῖς, ἀλλ᾽ ἀναγκαίους κλύειν.
[ἔνεστι δ᾽ οἶκτος ἀμαθίᾳ μὲν οὐδαμοῦ,
σοφοῖσι δ᾽ ἀνδρῶν· καὶ γὰρ οὐδ᾽ ἀζήμιον
γνώμην ἐνεῖναι τοῖς σοφοῖς λίαν σοφήν.]
*ΧΟ.* κἀγὼ τὸν αὐτὸν τῷδ᾽ ἔρον ψυχῆς ἔχω.
πρόσω γὰρ ἄστεως οὖσα τἀν πόλει κακὰ
οὐκ οἶδα, νῦν δὲ βούλομαι κἀγὼ μαθεῖν.
*ΗΛ.* λέγοιμ᾽ ἄν, εἰ χρή· χρὴ δὲ πρὸς φίλον λέγειν
τύχας βαρείας τὰς ἐμὰς κἀμοῦ πατρός.
ἐπεὶ δὲ κινεῖς μῦθον, ἱκετεύω, ξένε,
ἄγγελλ᾽ Ὀρέστῃ τἀμὰ καὶ κείνου κακά,
πρῶτον μὲν οἵοις ἐν πέπλοις στολίζομαι,
πίνῳ θ᾽ ὅσῳ βέβριθ᾽, ὑπὸ στέγαισί τε
οἵαισι ναίω βασιλικῶν ἐκ δωμάτων,
αὐτὴ μὲν ἐκμοχθοῦσα κερκίσιν πέπλους,
[ἢ γυμνὸν ἕξω σῶμα καὶ στερήσομαι,]
αὐτὴ δὲ πηγὰς ποταμίους φορουμένη.
ἀναίνομαι δὲ γυμνὰς οὖσα παρθένους, 311
ἀνέορτος ἱερῶν καὶ χορῶν τητωμένη, 310

---

291 καὶ] Dobree, κἀκ *LG* Ante 292 lineola in *LG* 293 fort. ἀτερπεῖς γ᾽ 294—96 affert Stob. 3, 27 versibus Antiopae (frg. 202 N.) continuatos, hic delevit A. Steinberg 295 σοφοῖσι δ᾽ . . καὶ γὰρ Stobaeus, σοφοῖσιν . . οὐ γὰρ *LG* 296 ἐνεῖναι . . λίαν Stobaeus, μὲν εἶναι . . λίην *LG* | σοφόν Stobaeus 298 ἄστεως] Seidler, ἄστεος *LG*
300 *ΗΛ.* in ras. scr. *l* | φίλους Cobet 301 delet Czwalina 303 κἀκείνου Dindorf 304 στολίζομαι] Schaefer, αὐλίζομαι *LG* | πέπλοις mut. in πέπλους *L*, πέπλους *G* 308 delevit Camper 310 post 311 transposuit Kirchhoff 311 γυμνὰς *LG*, superscr. ναῖκας *l* (i. e. γυναῖκας) | παρθένους] Kirchhoff, παρθένος *LG*

ἔα· τίνας τούσδ' ἐν πύλαις ὁρῶ ξένους;
τίνος δ' ἕκατι τάσδ' ἐπ' ἀγραύλους πύλας
προσῆλθον; ἢ 'μοῦ δεόμενοι; γυναικί τοι
αἰσχρὸν μετ' ἀνδρῶν ἑστάναι νεανιῶν.
*ΗΛ.* ὦ φίλτατ', εἰς ὕποπτα μὴ μόλῃς ἐμοί·
τὸν ὄντα δ' εἴσῃ μῦθον· οἵδε γὰρ ξένοι
ἥκουσ' Ὀρέστου πρός με κήρυκες λόγων.
ἀλλ', ὦ ξένοι, σύγγνωτε τοῖς εἰρημένοις.
*ΑΥ.* τί φασίν; ἀνὴρ ἔστι καὶ λεύσσει φάος;
*ΗΛ.* ἔστιν λόγῳ γοῦν, φασὶ δ' οὐκ ἄπιστ' ἐμοί.
*ΑΥ.* ἦ καί τι πατρὸς σῶν τε μέμνηται κακῶν;
[*ΗΛ.* ἐν ἐλπίσιν ταῦτ'· ἀσθενὴς φεύγων ἀνήρ.
*ΑΥ.* ἦλθον δ' Ὀρέστου τίν' ἀγορεύοντες λόγον;]
*ΠΥ.* σκοποὺς ἔπεμψε τούσδε τῶν ἐμῶν κακῶν.
*ΑΥ.* οὐκοῦν τὰ μὲν λεύσσουσι, τὰ δὲ σύ που λέγεις.
*ΗΛ.* ἴσασιν, οὐδὲν τῶνδ' ἔχουσιν ἐνδεές.
*ΑΥ.* οὐκοῦν πάλαι χρῆν τοῖσδ' ἀνεπτύχθαι πύλας.
χωρεῖτ' ἐς οἴκους· ἀντὶ γὰρ χρηστῶν λόγων
ξενίων κυρήσεθ', οἷ' ἐμὸς κεύθει δόμος.
αἴρεσθ', ὀπαδοί, τῶνδ' ἔσω τεύχη δόμων.
καὶ μηδὲν ἀντείπητε, παρὰ φίλου φίλοι
μολόντες ἀνδρός· καὶ γὰρ εἰ πένης ἔφυν,
οὔτοι τό γ' ἦθος δυσγενὲς παρέξομαι.
*ΟΡ.* πρὸς θεῶν, ὅδ' ἀνὴρ ὃς συνεκκλέπτει γάμους
τοὺς σούς, Ὀρέστην οὐ καταισχύνειν θέλων;
*ΗΛ.* οὗτος κέκληται πόσις ἐμὸς τῆς ἀθλίας.
*ΟΡ.* φεῦ·
οὐκ ἔστ' ἀκριβὲς οὐδὲν εἰς εὐανδρίαν·
ἔχουσι γὰρ ταραγμὸν αἱ φύσεις βροτῶν.

---

342 τάσδ' .. πύλας] τάσδ' .. στέγας Nauck, τάσδ' .. ἕδρας Weil, fort. τούσδ' .. δόμους 343 ἢ 'μοῦ] L. Dindorf, ἤ μου *LG* 349 ἀνὴρ *LG*, ἀνήρ *g* 351—58 lineolae praefixae in *LG*, 359 sq. praefixae, sed abstersae in *G* 352 sq. delevit A. Steinberg | 352 ἐλπίσι *LG* 353 τίνα πορεύοντες Reiske 354 fort. σκοπούς γ' 360 fort. ἄρασθ' | τεύχη] fort. σκεύη. Cfr. Jon. 1179 | δόμων] πυλῶν Herwerden 363 τὸ γῆθος *LG* | δυσγενὲς] Canter, δυσμενὲς *LG* 364 ἀνὴρ] Schaefer, ἀνὴρ *LG*

ἤδη γὰρ εἶδον παῖδα γενναίου πατρὸς
τὸ μηδὲν ὄντα, χρηστὰ δ' ἐκ κακῶν τέκνα,
λιμόν τ' ἐν ἀνδρὸς πλουσίου φρονήματι,
γνώμην δὲ μεγάλην ἐν πένητι σώματι.
[πῶς οὖν τις αὐτὰ διαλαβὼν ὀρθῶς κρινεῖ;
πλούτῳ; πονηρῷ γ' ἄρα χρήσεται κριτῇ.
ἢ τοῖς ἔχουσι μηδέν; ἀλλ' ἔχει νόσον
πενία, διδάσκει δ' ἄνδρα τῇ χρείᾳ κακόν.
ἀλλ' εἰς ὅπλ' ἐλθών; τίς δὲ πρὸς λόγχην βλέπων
μάρτυς γένοιτ' ἂν ὅστις ἐστὶν ἀγαθός;
κράτιστον εἰκῇ ταῦτ' ἐᾶν ἀφειμένα.]
οὗτος γὰρ ἀνὴρ οὔτ' ἐν Ἀργείοις μέγας
οὔτ' αὖ δοκήσει δωμάτων ὠγκωμένος,
ἐν τοῖς δὲ πολλοῖς ὢν ἄριστος ηὑρέθη.
οὐ μὴ ἀφρονήσεθ', οἳ κενῶν δοξασμάτων
πλήρεις πλανᾶσθε, τῇ δ' ὁμιλίᾳ βροτοὺς
κρινεῖτε καὶ τοῖς ἤθεσιν τοὺς εὐγενεῖς;
οἱ γὰρ τοιοῦτοι καὶ πόλεις οἰκοῦσιν εὖ
καὶ δώμαθ', αἱ δὲ σάρκες αἱ κεναὶ φρενῶν
ἀγάλματ' ἀγορᾶς εἰσιν. οὐδὲ γὰρ δορὶ
μᾶλλον βραχίων σθεναρὸς ἀσθενοῦς θένει·
ἐν τῇ φύσει δὲ τοῦτο κἀν εὐψυχίᾳ.
ἀλλ' ἄξιος γὰρ ὅ τε παρὼν ὅ τ' οὐ παρὼν
Ἀγαμέμνονος παῖς, οὗπερ εἵνεχ' ἥκομεν,
δεξώμεθ' οἴκων καταλύσεις· χωρεῖν χρεών,
δμῶες, δόμων τῶνδ' ἐντός. ὡς ἐμοὶ πένης
εἴη πρόθυμος πλουσίου μᾶλλον ξένος.
αἰνῶ μὲν οὖν τοῦδ' ἀνδρὸς ἐσδοχὰς δόμων,
ἐβουλόμην δ' ἄν, εἰ κασίγνητός με σὸς

---

369 παῖδα] Herwerden, ἄνδρα *LG* 370 δ' Stob. flor. 87, 10 et Orion anth. 8, 7, τ' *LG* 371 λιμόν] fort. πίνον 372 δὲ] Seidler, τε *LG* 373—79 delevit Wilamowitz 373 κρινῇ *G*, κρινεῖ *g* | ἄρα *LG* 376 διδάσει γ' ἄνδρ τῇ χρ^ά *G*, διδάσκει γ' ἄνδρα τῇ χρειά *g* 377 ἐλθών] Heath, ἔλθω *LG* 378 ἀγαθός *LG* 380 ἀνὴρ] Seidler, ἀνὴρ *LG* 382 τοῖσ δε *L*, τοῖσδε *G* | εὑρέθη *LG* 383 ἀφρονήσεθ'] Badham, φρονήσεθ' *LG* | οὐ σωφρονήσεθ' L. Dindorf 384 βροτῶν Keene 385 ἤθεσι *LG* 386 τοιοίδε Stob. flor. 86, 4 | καὶ] Cobet, τὰς *LG* 387 κεναὶ βροτῶν Stobaeus 388 δόρυ Stobaeus 389 θένει] Tyrwhitt, μένει *LG* 392 οὕνεχ' *LG* 394 δόμων] fort. πυλῶν

ἐς εὐτυχοῦντας ἦγεν εὐτυχῶν δόμους.
ἴσως δ' ἂν ἔλθοι· Λοξίου γὰρ ἔμπεδοι
χρησμοί, βροτῶν δὲ μαντικὴν χαίρειν ἐῶ.

ΧΟ. νῦν ἢ πάροιθεν μᾶλλον, Ἠλέκτρα, χαρᾷ
θερμαινόμεσθα καρδίαν· ἴσως γὰρ ἂν
μόλις προβαίνουσ' ἡ τύχη σταίη καλῶς.
ΗΛ. ὦ τλῆμον, εἰδὼς δωμάτων χρείαν σέθεν
τί τούσδ' ἐδέξω μείζονας σαυτοῦ ξένους;
ΑΥ. τί δ'; εἴπερ εἰσὶν ὡς δοκοῦσιν εὐγενεῖς,
οὐκ ἔν τε μικροῖς ἔν τε μὴ στέρξουσ' ὁμῶς;
ΗΛ. ἐπεί νυν ἐξήμαρτες ἐν σμικροῖσιν ὤν,
ἔλθ' ὡς παλαιὸν τροφὸν ἐμοῦ φίλον πατρός,
ὃς ἀμφὶ ποταμὸν Τάναον Ἀργείας ὅρους
τέμνοντα γαίας Σπαρτιάτιδός τε γῆς
ποίμναις ὁμαρτεῖ πόλεος ἐκβεβλημένος·
κέλευε δ' αὐτὸν ἐς δόμους ἀφιγμένων
ἐλθεῖν ξένων τ' ἐς δαῖτα πορσῦναί τινα.
ἡσθήσεταί τοι καὶ προσεύξεται θεοῖς,
ζῶντ' εἰσακούσας παῖδ' ὃν ἐκσῴζει ποτέ.
οὐ γὰρ πατρῴων ἐκ δόμων μητρὸς πάρα
λάβοιμεν ἄν τι· πικρὰ δ' ἀγγείλαιμεν ἄν,
εἰ ζῶντ' Ὀρέστην ἡ τάλαιν' αἴσθοιτ' ἔτι.
ΑΥ. ἀλλ', εἰ δοκεῖ σοι, τούσδ' ἀπαγγελῶ λόγους
γέροντι· χώρει δ' ἐς δόμους ὅσον τάχος
καὶ τἄνδον ἐξάρτυε. πολλά τοι γυνὴ
χρῄζουσ' ἂν εὕροι δαιτὶ προσφορήματα.
ἔστιν δὲ δὴ τοσαῦτά γ' ἐν δόμοις ἔτι,
ὥσθ' ἕν γ' ἐπ' ἦμαρ τούσδε πληρῶσαι βορᾶς.
ἐν τοῖς τοιούτοις δ' ἡνίκ' ἂν γνώμη πέσῃ,

---

407 *στέξουσ' LG*, in Victorii exempl. Monac. alia manus (non Victorii) in marg. adscr. *γρ. στέρξουσ'* | *ὁμῶς L, ὅμως G* 409 *ἐμοῦ φίλον*] Camper, *ἐμὸν φίλου LG, ἐμοῦ φίλου* Victorius 410 *Τάναον*] L. Dindorf, *ταναὸν LG* 412 *πόλεος*] Musgrave, *πόλεως LG* 413 *αὐτὸν*] Scaliger, *αὐτὸν τόνδ' LG* | *ἀφιγμένων*] Camper, *ἀφιγμένον LG* 414 *πορσῦναι L, πορσύναι lG* | fort. *ξένων ἐς δαῖτα πορσύνοντά τι* 415 sq. ante 413 transponit A. Schmidt 416 *παῖδα L, παῖδ' lG* 424 Electrae nota praefixa in *LG* | *ἔστι L, ἔστιν l* 426 *γνώμη πέσῃ*] Schaefer, *γνώμη πέσοι LG, γνώμης πέσω* Stob. flor. 91, 6, *γνώμῃ πέσω* Seidler

*Θέτιδος εἰνάλιον γόνον*
*ταχύπορον πόδ' Ἀτρείδαις.*

*Ἰλιόθεν δ' ἔκλυόν τινος ἐν λιμέσιν* stroph.
*Ναυπλίοισι βεβῶτος*
*τᾶς σᾶς, ὦ Θέτιδος παῖ,*
*κλεινᾶς ἀσπίδος ἐν κύκλῳ*
*τοιάδε σήματα δείματα*
*Φρύγια τετύχθαι·*
*περιδρόμῳ μὲν ἴτυος ἕδρᾳ*
*Περσέα λαιμοτόμαν ὑπὲρ*
*ἁλὸς ποτανοῖσι πεδί-*
*λοισι φυὰν Γοργόνος ἴ-*
*σχειν, Διὸς ἀγγέλῳ σὺν Ἑρμᾷ,*
*τῷ Μαίας ἀγροτῆρι κούρῳ·*

*ἐν δὲ μέσῳ κατέλαμπε σάκει φαέθων* antistr.
*κύκλος ἀελίοιο*
*ἵπποις ἂν πτεροέσσαις*
*ἄστρων τ' αἰθέριοι χοροί,*
*Πλειάδες Ὑάδες, Ἕκτορος*
*ὄμμασι τροπαίοις·*
*ἐπὶ δὲ χρυσοτύπῳ κράνει*
*Σφίγγες ὄνυξιν ἀοίδιμον*
*ἄγραν φέρουσαι· περιπλεύ-*
*ρῳ δὲ κύτει πύρπνοος ἔ-*
*σπευδε δρόμῳ λέαινα χαλαῖς*
*Πειρηναῖον ὁρῶσα πῶλον.*

*ἐν δὲ δόρει φονίῳ τετραβάμονες ἵπποι ἔπαλλον,*
*κελαινὰ δ' ἀμφὶ νῶθ' ἵετο κόνις.*

---

450 *εἰνάλιον*] Seidler, *ἐνάλιον* *LG*, *εἰναλίου* Walberg, fort. *εἰναλίας* 451 *ταχύποδ' οὖρον* Weil 452 *τινος*] Victorius, *τινές* *LG* | *λιμέσι* *LG*, *λιμέσιν* *l* 453 *ναυπλίοις* *LG*, *ναυπλίοισι* *l* 455 *κύκλῳ*] fort. *κύτει* 457 *φρικτὰ* Nauck 459 *λαιμοτόμαν*] Seidler, *λαιμοτόμον* *LG* 461 *πεδί-λοις κορυφὰν* Herwerden 463 *αἱροτῆρι* ut vid. *G* 464 sq. *φαέδων κύλος* *G*
466 *ἀντὶ* *LG*, *ἂν* *l*, *ἂμ* Seidler 469 *ὄμασι* (altero *μ* eraso) *G* | *ὄμμασι τροπαῖοι* Barnes, *ὄμμασι τάρβος* Nauck, *ὄμμα τροπαῖον* Weil, fort. *ὄμμα τροπαῖοι* 470 *ἐπεὶ* *G* et fort. etiam *L* | *χρυσοτύπῳ*] Seidler, *χρυσεοτύπω* *LG* 473 *πυρπνόος* *LG* 475 *ὁρῶσα*] Bothe, *θ' ὁρῶσα* *LG* 476 *δόρει*] Hermann, *δορὶ* *LG*

*τοιῶνδ' ἄνακτα δοριπόνων*
*ἔκανεν ἀνδρῶν, Τυνδαρί,*
*σὰ λέχεα, κακόφρων κόρα.*
*τοιγάρ σέ ποτ' οὐρανίδαι*
*πέμψουσιν θανάτοις· ἦ μὰν*
*ἔτ' ἔτι φόνιον ὑπὸ δέραν*
*ὄψομαι αἷμα χυθὲν σιδάρῳ.*

ΠΡΕΣΒΥΣ.

*ποῦ ποῦ νεᾶνις πότνι' ἐμὴ δέσποινά τε,*
*Ἀγαμέμνονος παῖς, ἥν ποτ' ἐξέθρεψ' ἐγώ;*
*ὡς πρόσβασιν τῶνδ' ὀρθίαν οἴκων ἔχει*
*ῥυσῷ γέροντι τῷδε προσβῆναι ποδί.*
*ὅμως δὲ πρός γε τοὺς φίλους ἐξελκτέον*
*διπλῆν ἄκανθαν καὶ παλίρροπον γόνυ.*
*ὦ θύγατερ· ἄρτι γάρ σε πρὸς δόμοις ὁρῶ·*
*ἥκω φέρων σοι τῶν ἐμῶν βοσκημάτων*
*ποίμνης νεογνὸν θρέμμ' ὑποσπάσας τόδε*
*στεφάνους τε τευχέων τ' ἐξελὼν τυρεύματα,*
*παλαιόν τε θησαύρισμα Διονύσου τόδε*
*ὀσμῇ κατῆρες, μικρόν, ἀλλ' ἐπεσβαλεῖν*
*ἡδὺ σκύφον τοῦδ' ἀσθενεστέρῳ ποτῷ.*
*ἴτω φέρων τις τοῖς ξένοις τάδ' ἐς δόμους·*
*ἐγὼ δὲ τρύχει τῷδ' ἐμῶν πέπλων κόρας*
*δακρύοισι τέγξας ἐξομόρξασθαι θέλω.*
*ΗΛ.* *τί δ', ὦ γεραιέ, διάβροχον τόδ' ὄμμ' ἔχεις;*
*μῶν τἀμὰ διὰ χρόνου σ' ἀνέμνησεν κακά;*
*ἢ τὰς Ὀρέστου τλήμονας φυγὰς στένεις*
*καὶ πατέρα τὸν ἐμόν, ὅν ποτ' ἐν χεροῖν ἔχων*

---

480 sq. *Τυνδαρί, σὰ λέχεα*] Seidler, *τυνδαρὶς ἀλέχεα LG* | *κακόφρον* Radermacher | *κόρα*] Dindorf, *κούρα LG* 484 *θανάτοις· ἦ μὰν*] Nauck, *θανάτοισι κἂν LG*, *θανάτοισι· σὰν δ'* L. Dindorf (malim *σὸν δ'*), *θανάτοις· ἦ σὰν* Schenkl 485 *ἔτ'*] Seidler, *ἔτι LG* 486 *ὄψομαι*] Erfurdt, *ὄψομ' LG* 488 *ἥν*] *ὃν* Pierson. Cfr. 555 489 fort. *τόδ' ὀρθίαν θρίγκωμ'* 490 delebat olim Hartung 491 *ἐξελκτέον*] J. Hartung apud Stiblinum, *ἐξελεκτέον LG* 494 *φέρω G* 496 *στεφάνους*] *πελάνους* Jacobs, fort. *σταφυλάς* 497 *πολιόν* Scaliger 498 *κατῆρες*] *καπνηλὸν* (vel *καπνῶδες*) O. Ribbeck 499 *τοῦδ'*] Reiske, *τῶδ' LG* 504 *ἀνέμνησεν*] Dobree, *ἀνέμνησαν LG* 505 *στένεις φυγὰς* Nauck

ἀνόνητ᾽ ἔθρεψας σοί τε καὶ τοῖς σοῖς φίλοις;
ΠΡ. ἀνόνηθ᾽· ὅμως δ᾽ οὖν τοῦτό γ᾽ οὐκ ἠνεσχόμην.
ἦλθον γὰρ αὐτοῦ πρὸς τάφον πάρεργ᾽ ὁδοῦ
καὶ προσπεσὼν ἔκλαυσ᾽ ἐρημίας τυχών,
σπονδάς τε, λύσας ἀσκὸν ὃν φέρω ξένοις,
ἔσπεισα, τύμβῳ δ᾽ ἀμφέθηκα μυρσίνας.
πυρᾶς δ᾽ ἐπ᾽ αὐτῆς οἶν μελάγχιμον πόκῳ
σφάγιον ἐσεῖδον αἷμά τ᾽ οὐ πάλαι χυθὲν
ξανθῆς τε χαίτης βοστρύχους κεκαρμένους.
κἀθαύμασ᾽, ὦ παῖ, τίς ποτ᾽ ἀνθρώπων ἔτλη
πρὸς τύμβον ἐλθεῖν· οὐ γὰρ Ἀργείων γέ τις·
ἀλλ᾽ ἦλθ᾽ ἴσως που σὸς κασίγνητος λάθρᾳ,
μολὼν δ᾽ ἐθεράπευσ᾽ ἄθλιον τύμβον πατρός.
σκέψαι δὲ χαίτην προστιθεῖσα σῇ κόμῃ,
εἰ χρῶμα ταὐτὸν κουρίμης ἔσται τριχός·
φιλεῖ γάρ, αἷμα ταὐτὸν οἷς ἂν ᾖ πατρός,
τὰ πόλλ᾽ ὅμοια σώματος πεφυκέναι.
ΗΛ. οὐκ ἄξι᾽ ἀνδρός, ὦ γέρον, σοφοῦ λέγεις,
εἰ κρυπτὸν ἐς γῆν τήνδ᾽ ἂν Αἰγίσθου φόβῳ
δοκεῖς ἀδελφὸν τὸν ἐμὸν εὐθαρσῆ μολεῖν.
ἔπειτα χαίτης πῶς συνοίσεται πλόκος,
ὃ μὲν παλαίστραις ἀνδρὸς εὐγενοῦς τραφείς,
ὃ δὲ κτενισμοῖς θῆλυς; ἀλλ᾽ ἀμήχανον.
πολλοῖς δ᾽ ἂν εὕροις βοστρύχους ὁμοπτέρους
καὶ μὴ γεγῶσιν αἵματος ταὐτοῦ, γέρον.
ΠΡ. σὺ δ᾽ εἰς ἴχνος βᾶσ᾽ ἀρβύλης σκέψαι βάσιν
εἰ σύμμετρος σῷ ποδὶ γενήσεται, τέκνον.
ΗΛ. πῶς δ᾽ ἂν γένοιτ᾽ ἂν ἐν κραταιλέῳ πέδῳ
γαίας ποδῶν ἔκμακτρον; εἰ δ᾽ ἔστιν τόδε,
δυοῖν ἀδελφοῖν ποὺς ἂν οὐ γένοιτ᾽ ἴσος
ἀνδρός τε καὶ γυναικός, ἀλλ᾽ ἄρσην κρατεῖ.
ΠΡ. οὐκ ἔστιν, εἰ καὶ γῆν κασίγνητος μολών,

507 *ΠΡ.* hic praefixit et ante 508 om. *G* | *ἀνόνητ᾽ LG* | *δ᾽ οὖν*] Elmsley, *γοῦν LG* | *οὐκ ἀνέστενον* olim Weil, fort. *οὐ κατέσχε με* 509 *πάρεργ᾽*] fort. *παρὲξ* 513 *οἶν*] Schaefer, *ὄϊν LG* 519 *ἐθεράπευσ᾽*] scripsi, *ἐθαύμασ᾽ LG* 521 *χρῶμα ταὐτὸν*] *χρῶμα ταὐτὸ* Scaliger, *χρώματ᾽ αὐτῆς LG* 533 *φανήσεται* Dobree 534 *κραταιλέῳ LG*, *κραταιλάῳ g* 536 *δυεῖν LG*, *δυοῖν l* | *γένοιτ᾽* (*γ* rescr. *l*) *L*, *δένοιτ᾽ G*, *γένοιτ᾽ g* 537 *ἄρσην*] L. Dindorf, *ἄρσην LG* 538 *εἰ δ᾽*, superscr. *οὐκ*, *L*, *εἰ δ᾽ G* | *μόλοι* Musgrave

Digitized by

ΗΛ. ἰδού· καλῶ θεούς. ἢ τί δὴ λέγεις, γέρον;
ΠΡ. βλέψον νυν ἐς τόνδ', ὦ τέκνον, τὸν φίλτατον.
ΗΛ. πάλαι δέδοικα, μὴ σύ γ' οὐκέτ' εὖ φρονῇς.
ΠΡ. οὐκ εὖ φρονῶ 'γὼ σὸν κασίγνητον βλέπων;
ΗΛ. τίν' εἶπας, ὦ γεραί', ἀνέλπιστον λόγον;
ΠΡ. ὁρᾶν Ὀρέστην τόνδε τὸν Ἀγαμέμνονος.
ΗΛ. ποῖον χαρακτῆρ' εἰσιδών, ᾧ πείσομαι;
ΠΡ. οὐλὴν παρ' ὀφρύν, ἥν ποτ' ἐν πατρὸς δόμοις
νεβρὸν διώκων σοῦ μέθ' ᾑμάχθη πεσών.
ΗΛ. πῶς φής; ὁρῶ μὲν πτώματος τεκμήριον.
ΠΡ. ἔπειτα μέλλεις προσπίτνειν τοῖς φιλτάτοις;
ΗΛ. ἀλλ' οὐκέτ', ὦ γεραιέ· συμβόλοισι γὰρ
τοῖς σοῖς πέπεισμαι θυμόν. ὦ χρόνῳ φανείς,
ἔχω σ' ἀέλπτως ΟΡ. κἀξ ἐμοῦ γ' ἔχῃ χρόνῳ.
ΗΛ. οὐδέποτε δόξασ'. ΟΡ. οὐδ' ἐγὼ γὰρ ἤλπισα.
ΗΛ. ἐκεῖνος εἶ σύ; ΟΡ. σύμμαχός γέ σοι μόνος,
ἣν δ' ἀσπάσωμαί γ' ὃν μετέρχομαι βόλον.
πέποιθα δ'· ἢ χρὴ μηκέθ' ἡγεῖσθαι θεούς,
εἰ τἄδικ' ἔσται τῆς δίκης ὑπέρτερα.
ΧΟ. ἔμολες ἔμολες, ὦ χρόνιος ἁμέρα,
κατέλαμψας, ἔδειξας ἐμφανῆ
πόλει πυρσόν, ὃς παλαιᾷ φυγᾷ
πατρίων ἀπὸ δωμάτων τάλας
ἀλαίνων ἔβα.
θεὸν αὖ θεὸς ἁμετέραν τις ἄγει
νίκαν. ὦ φίλα,
ἄνεχε χέρας, ἄνεχε

---

566 *καὶ τί* vel *εἴ τι* Dobree 568 *δέδοικα*] Victorius, *δέδορκα* *LG* 570 *τίν'*] scripsi, *πῶς* *LG* | *εἶπας* *LG*, *εσ* super *ας* scr. sed delevit *l* | *γεραιὲ* *LG*. Post 573 versum Electrae intercidisse putat H. Behrns, fort. potius verba *ἐν πατρὸς* . . *μέθ'* 573 sq. delenda 574 lineolam ante hunc v. minio scriptam delevit *g* | *μετὰ* *L*, *μέτ'* *lG*, *μέθ'* *g* 575 fort. *τί φής;* 580 lineola pro Electrae nota in *L* | *οὐδέποτε δόξασ'*] Musgrave, *οὐδέποτ' ἐδόξασα* *L*, *οὐδέποτ' ἐδόξασ'* *lG* 581 *ἢ κεῖνος* Kvičala | *μόνος*] *μολὼν* F. Gu. Schmidt 582 *ἣν δὴ 'κσπάσωμαί γ'* Bothe, *ἣν δὴ σπάσωμαί γ'* Keene, fort. *ἣν δὴ σπασώμεθ'* 583 *πέποιθα* ἢ* *L*, *πέποιθα δ' ἢ* *lG* 588 *πατρίων*] Nauck, *πατρῴων* *LG* 589 *ἔβα*] Matthiae, *ἔβα̃σ* (α super) *L*, *ἔβασ*[α] *G* 590 *θεὸν*] scripsi, *θεὸς* *L* (*εὸ* in ras. scr. *l*) *G* | *αὖ* ex aliis literis (*οὖν*?) fecit *l*, *αὖ* in marg. adscr. *L* | *τις* delet Seidler 591 *νίκαν*] fort. *πρὸς γᾶν*

λόγον, ἵει λιτὰς ἐς θεούς,
τύχᾳ σοι τύχᾳ
κασίγνητον ἐμβατεῦσαι πόλιν.
ΟΡ. εἶεν· φίλας μὲν ἡδονὰς ἀσπασμάτων
ἔχω, χρόνῳ δὲ καὖθις ἀντιδώσομεν.
σὺ δ', ὦ γεραιέ· καίριος γὰρ ἤλυθες·
λέξον, τί δρῶν ἂν φονέα τισαίμην πατρὸς
μητέρα τε τὴν κοινωνὸν ἀνοσίων γάμων;
ἔστιν τί μοι κατ' Ἄργος εὐμενὲς φίλων;
ἢ πάντ' ἀνεσκευάσμεθ', ὥσπερ αἱ τύχαι;
τῷ ξυγγένωμαι; νύχιος ἢ καθ' ἡμέραν;
ποίαν ὁδὸν τραπώμεθ' εἰς ἐχθροὺς ἐμούς;
ΠΡ. ὦ τέκνον, οὐδεὶς δυστυχοῦντί σοι φίλος.
εὕρημα γάρ τοι χρῆμα γίγνεται τόδε,
κοινῇ μετασχεῖν τἀγαθοῦ καὶ τοῦ κακοῦ.
σὺ δ' · ἐκ βάθρων γὰρ πᾶς ἀνῄρησαι φίλοις
οὐδ' ἐλλέλοιπας ἐλπίδ' · ἴσθι μου κλύων,
ἐν χειρὶ τῇ σῇ πάντ' ἔχεις καὶ τῇ τύχῃ
πατρῷον οἶκον καὶ πόλιν λαβεῖν σέθεν.
ΟΡ. τί δῆτα δρῶντες τοῦδ' ἂν ἐξικοίμεθα;
ΠΡ. κτανὼν Θυέστου παῖδα σήν τε μητέρα.
ΟΡ. ἥκω 'πὶ τόνδε στέφανον· ἀλλὰ πῶς λάβω;
ΠΡ. τειχέων μὲν ἐλθὼν ἐντὸς οὐδ' ἂν εἰ θέλοις.
ΟΡ. φρουραῖς κέκασται δεξιαῖς τε δορυφόρων;
ΠΡ. ἔγνως· φοβεῖται γάρ σε κοὐχ εὕδει σαφῶς.
ΟΡ. εἶεν· σὺ δὴ τοὐνθένδε βούλευσον, γέρον.
ΠΡ. κἀμοῦ γ' ἄκουσον· ἄρτι γάρ μ' ἐσῆλθέ τι.

593 *λιτὰς* geminat Matthiae, sed fort. recte *ἐς θεοὺς* delet Kirchhoff | *θεοὺς LG*, *τοὺς θεοὺς l* 594 *τύχᾳ . . τύχᾳ*] Tyrwhitt, *τύχα . . τύχα LG* 595 *πόλιν*] fort. *χθόνα* 597 *ἀντιδώσομεν*] C. Haupt, *αὖτὰ δώσομεν LG* 600 *τε τὴν*] Canter, *τε LG* | *τε κοινόλεκτρον* Camper 601 *ἔστι L*, *ἔστιν lG* 602 *ὥσπερ αἱ τύχαι*] fort. *ὡς ἐπεικάσαι* 603 *συγγένωμαι L* | *καθ'*] *μεθ'* Kontos 606 *εὕρημα*] in marg. *ἕρμαιον L* | *τοι*] Seidler, *τὸ LG* | *γίνεται LG*, *γίγνεται l* 607 *κοινῇ*, superscr. *τὸ*, *L*, *κοινὴ G* 609 *ἐλλέλοιπας'* A. Schmidt, fort. *ἐλλέλοιπεν ἐλπίς* 611 *πόλιν πάλιν λαβεῖν* Vitelli, fort. *θρόνους πάλιν λαβεῖν* 614—68 lineolae pro notis personarum in *L*, nisi quod 630, 652 lineola deest et 650, 653 nota senis praefigitur, 614—46 et 657—68 lineolae in *G* 615 *οὐδὲν ἂν σθένοις* Nauck, *οὐδέν' ἂν θένοις* Keene | *ἐλθεῖν ἐντὸς οὐδαμῇ σθένεις* F. Gu. Schmidt, fort. *ἐλθὼν ἐντὸς οὐδαμῇ πόλεως* 619 *καὶ μὴν ἄκουσον* Kirchhoff | *ἐσῆλθε* hic *LG*

ΟΡ. ἐσθλόν τι μηνύσειας, αἰσθοίμην δ' ἐγώ.
ΠΡ. Αἴγισθον εἶδον, ἡνίχ' εἶρπον ἐνθάδε.
ΟΡ. προσηκάμην τὸ ῥηθέν. ἐν ποίοις τόποις;
ΠΡ. ἀγρῶν πέλας τῶνδ' ἱπποφορβίων ἔπι.
ΟΡ. τί δρῶνθ'; ὁρῶ γὰρ εὔπορ' ἐξ ἀμηχάνων.
ΠΡ. Νύμφαις ἐπόρσυν' ἔροτιν, ὡς ἔδοξέ μοι.
ΟΡ. τροφεῖα παίδων ἢ πρὸ μέλλοντος τόκου;
ΠΡ. οὐκ οἶδα πλὴν ἕν· βουσφαγεῖν ὡπλίζετο.
ΟΡ. πόσων μετ' ἀνδρῶν; ἢ μόνος δμώων μέτα;
ΠΡ. οὐδεὶς παρῆν Ἀργεῖος, οἰκεία δὲ χείρ.
ΟΡ. οὔ πού τις ὅστις γνωριεῖ μ' ἰδών, γέρον;
ΠΡ. δμῶες μὲν οὖν εἰσ', οἵ σέ γ' οὐκ εἶδόν ποτε.
ΟΡ. ἡμῖν δ' ἂν εἶεν, εἰ κρατοῖμεν, εὐμενεῖς;
ΠΡ. δούλων γὰρ ἴδιον τοῦτο, σοὶ δὲ σύμφορον.
ΟΡ. πῶς οὖν ἂν αὐτῷ πλησιασθείην ποτέ;
ΠΡ. στείχων ὅθεν σε βουθυτῶν ἐσόψεται.
ΟΡ. ὁδὸν παρ' αὐτήν, ὡς ἔοικ', ἀγροὺς ἔχει.
ΠΡ. ὅθεν γ' ἰδών σε δαιτὶ κοινωνὸν καλεῖ.
ΟΡ. πικρόν γε συνθοινάτορ', ἢν θεὸς θέλῃ.
ΠΡ. τοὐνθένδε πρὸς τὸ πῖπτον αὐτὸς ἐννόει.
ΟΡ. καλῶς ἔλεξας. ἡ τεκοῦσα δ' ἐστὶ ποῦ;
ΠΡ. Ἄργει· παρέσται δ' ἐν [πόσει] θοίνην ἔπι.
ΟΡ. τί δ' οὐχ ἅμ' ἐξωρμᾶτ' ἐμὴ μήτηρ πόσει;
ΠΡ. ψόγον τρέμουσα δημοτῶν ἐλείπετο.
ΟΡ. ξυνῆχ'· ὕποπτος οὖσα γιγνώσκει πόλει.
ΠΡ. τοιαῦτα· μισεῖται γὰρ ἀνόσιος γυνή.
ΟΡ. πῶς οὖν ἐκείνην τόνδε τ' ἐν ταὐτῷ κτενῶ;
ΗΛ. ἐγὼ φόνον γε μητρὸς ἐξαρτύσομαι.

---

623 ἱπποφορβίοις Paley 624 εὔπορ'] scripsi, ἐλπίδας *LG*, ἐλπίδ' Barnes 625 supra ἔροτιν habet ἑορτὴν αἰολικῶς *L* 628 μετ' ἀστῶν Vitelli 631 μὲν οὖν εἰσ'] Kirchhoff, μέν εἰσιν *LG* | οἵ σέ γ' οὐκ] Pierson, οὓς ἐγὼ οὐκ *L*, οὒς ἔγ' οὐκ *lG* 632 ἡμῖν δ'] Victorius, ἦμιν *LG* | εὐγενεῖς *G* 633 λέξων an δούλων *L* dederit, dubium, cum ουλ et εξ a librario scripta vix discerni possint, δουλ rescr. *l*, λέξων *G*, δούλων *R* 636 παρ'] Pierson, γὰρ *LG* 637 ὅθεν γ'] Barnes, ὅθεν *LG* 638 γε] Reiske, τε *LG* 641 ἐν τάχει (vel ἐν βραχεῖ) Reiske 642 ἐξωρμᾶτ'] Reiske, ἐξορμᾶτ' *LG* 644 ξυνῆχ'] Barnes, ξυνῆκα *L*, ξυνῆκ' *lG* | γινώσκει *LG* 646 ἐκεῖνον τήνδε τ' Vitelli | κτάνω Cobet 647 ἐξαρτύσομαι] Victorius, ἐξαιτήσομαι et in marg. ἐξαρτίσομαι *L*, ἐξαιτήσομαι cum ras. super αι *G*

ΠΡ. *οἴκτειρε δῆτα σοῦ γε φύντας ἐκγόνους.*
ΟΡ. *Ἥρα τε, βωμῶν ἣ Μυκηναίων κρατεῖς,*
ΗΛ. *νίκην δὸς ἡμῖν, εἰ δίκαι' αἰτούμεθα.*
ΠΡ. *δὸς δῆτα πατρὸς τοῖσδε τιμωρὸν δίκην.*
ΟΡ. *σύ τ', ὦ κάτω γῆς ἀνοσίως οἰκῶν πάτερ,*
ΗΛ. *καὶ Γαῖ' ἄνασσα, χεῖρας ᾗ δίδωμ' ἐμάς,*
ΠΡ. *ἄμυν' ἄμυνε τοῖσδε φιλτάτοις τέκνοις.*
ΟΡ. *νῦν πάντα νεκρὸν ἐλθὲ σύμμαχον λαβών,*
ΗΛ. *οἵπερ γε σὺν σοὶ Φρύγας ἀνήλωσαν δορί.*
ΠΡ. *χὤσοι στυγοῦσιν ἀνοσίους μιάστορας.* 683
ΟΡ. *ἤκουσας, ὦ δεῖν' ἐξ ἐμῆς μητρὸς παθών;* 682
ΗΛ. *πάντ', οἶδ', ἀκούει τάδε πατήρ· στείχειν δ' ἀκμή.*
*καί σοι προφωνῶ πρὸς τάδ' Αἴγισθον κτανεῖν,*
*ὡς εἰ παλαισθεὶς πτῶμα θανάσιμον πεσῇ,*
*τέθνηκα κἀγώ, μηδέ με ζῶσαν λέγε·*
*παίσω γὰρ ἧπαρ τοὐμὸν ἀμφήκει ξίφει.*
*[δόμων ἔσω βᾶσ' εὐτρεπὲς ποιήσομαι.*
*ὡς ἢν μὲν ἔλθῃ πύστις εὐτυχὴς σέθεν,*
*ὀλολύξεται πᾶν δῶμα· θνῄσκοντος δέ σου*
*τἀναντί' ἔσται τῶνδε· ταῦτά σοι λέγω.*
ΟΡ. *πάντ' οἶδα.* ΗΛ. *πρὸς τάδ' ἄνδρα γίγνεσθαί σε χρή.]*
*ὑμεῖς δέ μοι, γυναῖκες, εὖ πυρσεύετε*
*κραυγὴν ἀγῶνος τοῦδε· φρουρήσω δ' ἐγὼ*
*πρόχειρον ἔγχος χειρὶ βαστάζουσ' ἐμῇ.*
*οὐ γάρ ποτ' ἐχθροῖς τοῖς ἐμοῖς νικωμένη*
*δίκην ὑφέξω σῶμ' ἐμὸν καθυβρίσαι.*

---

repetita ed. Victoriana 673 *σοῦ γε*] Barnes, *σούς γε LG* | *σοῦ γε φύντας ἐκ γένους* L. Dindorf 675 *νίκην*] fort. *δίκην* 676 *τιμωροῖς κράτος* Weil, *δὸς δῆτα νίκην τοῖσδε τιμωροῖς πατρός* Vitelli 677 *ἀνοσίως*] *ἐν νεκροῖς* F. Gu. Schmidt 678 *καὶ Γαῖ'*] Musgrave, *καὶ γῆ τ' LG* 679 *ἄμυνε ἄμυνε L*, *ἄμυν' ἄμυνε lg*, *ἄμειν' ἄμεινε* ut vid. *G* 681 *ἀνήλωσαν*] Barnes, *ἀνάλωσαν LG* 682 sq. invertit Reiske 682 *ὦ δεῖν'*] Reiske, *ὡς δεῖν' LG* 684 *οἶδ'*] Victorius, *οἶδεν LG* 685—88 suspecti 685 *προφωνῶ*] Canter, *προσφωνῶ LG* | *κτανεῖν*] Seidler, *θανεῖν LG* 688 *γὰρ ἧπαρ*] Geel, *κάρα γὰρ LG* | *ἀφήκει G*, *ἀμφήκει g*. Versum delet Nauck 689—93 delevit Wilamowitz (685—89 delebat olim Nauck) 689 *δόμων δ'* Victorius 691 *ὀλολύζεται G* | *δὲ σοῦ* Barnes 693 *ΟΡ.* et *ΗΛ.*] Victorius, om. *LG* | *γίνεσθαι G* 694 *ἡμεῖς G* 698 *δίκην ὑφέξω*] *ἐγὼ παρέξω* I. Heiland, fort. *γέλωτ' ὀφλήσω*

*ΧΟ.* ἀταλᾶς ὑπὸ ματέρος stroph.
Ἀργείοις ὀρέων ποτὲ κληδὼν
ἐν πολιαῖσι μένει φήμαις
εὐαρμόστοις ἐν καλάμοις
Πᾶνα μοῦσαν ἡδύθροον
πνέοντ', ἀγρῶν ταμίαν,
χρυσέαν ἄρνα καλλίποκον πορεῦσαι.
πετρίνοις δ' ἐπιστὰς
κᾶρυξ ἰάχει βάθροις·
ἀγορὰν ἀγοράν, Μυκηναῖοι,
στείχετε μακαρίων ὀψόμενοι τυράννων
φάσματα δείματα.
χοροὶ δ' Ἀτρειδᾶν ἐγέραιρον οἴκους·

θυμέλαι δ' ἐπίτναντο χρυ- antistr.
σήλατοι, σελαγεῖτο δ' ἀν' ἄστυ
πῦρ ἐπιβώμιον Ἀργείων·
λωτὸς δὲ φθόγγον κελάδει
κάλλιστον, Μουσᾶν θεράπων·
μολπαὶ δ' ηὔξοντ' ἐραταὶ
χρυσέας ἀρνὸς εὐλογίᾳ Θυέστου·
κρυφίαις γὰρ εὐναῖς
πείσας ἄλοχον φίλαν
Ἀτρέως, τέρας ἐκκομίζει πρὸς
δώματα· νεόμενος δ' εἰς ἀγόρους ἀυτεῖ
τὰν κερόεσσαν ἔ-
χειν χρυσόμαλλον κατὰ δῶμα ποίμναν.

τότε δὴ τότε φαεννὰς stroph.
ἄστρων μετέβαλλ' ὁδοὺς

---

700 Ἀργείοις] scripsi, ἀργείων *LG* 701 πολλαῖσι *G* | φάμαις Dindorf 703 ἀδύθροον Dindorf 704 πνείοντ' Hartung | ἀγρῶν] fort. ἀρνῶν 705 καλλίποκον] Heath, καλλιπλόκαμον *LG* 706 δ'] Kirchhoff, τ' *LG* 707 κᾶρυξ *L*, κάρυξ *lG* | ἴαχεν Elmsley | βάθροις ras. ex βαράθροις factum in *L*, βαράθροις *G* 712 κῶμοι δ' Erfurdt 716 λοτός *LG*, λωτός *l* | fort. κελαδεῖ 717 μουσᾶν *R*, μοῦσαν *LG* 719 εὐλογίᾳ] scripsi, ἐπίλογοι *LG*, ὡς ἐπίλογοι *l* 720 fort. κρυφίοις 723 ἀγόρους *LG*, ἀγορὰς *l* | ἀυτεῖ] Weil, ἀύτει *LG* 725 χρυσόμαλλον] Musgrave, χρυσεόμαλλον *LG* | δώματα *LG*, δῶμα *l* 727 μετέβαλλ'] Heath, μεταβ∗ *L*, primum γρ. μεταβὰς superscr., deinde lineis transfixis delevit

*Ζεὺς καὶ φέγγος ἀελίου*
*λευκόν τε πρόσωπον ἀοῦς,*
*τὰ δ' ἕσπερα νῶτ' ἐλαύνει*
*θερμᾷ φλογὶ θεοπύρῳ,*
*νεφέλαι δ' ἔνυδροι πρὸς ἄρκτον,*
*ξηραί τ' Ἀμμωνίδες ἕδραι*
*φθίνουσ' ἀπειρόδροσοι,*
*καλλίστων ὄμβρων Διόθεν στερεῖσαι.*

*λέγεται, τὰν δὲ πίστιν* antistr.
*σμικρὰν παρ' ἔμοιγ' ἔχει,*
*στρέψαι θερμὰν ἀέλιον*
*χρυσωπὸν ἕδραν ἀλλάξαν-*
*τα δυστυχίᾳ βροτείῳ*
*θνατᾶς ἕνεκ' ἀδικίας.*
*φοβεροὶ δὲ βροτοῖσι μῦθοι*
*κέρδος πρὸς θεῶν θεραπείαν.*
*ὧν οὐ μνασθεῖσα πόσιν*
*κτείνεις, κλεινῶν συγγενέτειρ' ἀδελφῶν.*

*ἔα ἔα·*
*φίλαι, βοῆς ἠκούσατ', ἢ δοκὼ κενὴ*
*ὑπῆλθέ μ', ὥστε νερτέρα βροντὴ Διός;*
*ἰδού, τάδ' οὐκ ἄσημα πνεύματ' αἴρεται·*
*δέσποιν', ἄμειψον δώματ', Ἠλέκτρα, τάδε.*
ΗΛ. *φίλαι, τί χρῆμα; πῶς ἀγῶνος ἥκομεν;*
ΧΟ. *οὐκ οἶδα πλὴν ἕν· φόνιον οἰμωγὴν κλύω.*
ΗΛ. *ἤκουσα κἀγώ, τηλόθεν μέν, ἀλλ' ὅμως.*

---

et in rasura *ὰσ* (*μεταβὰς*) scripsit *l*, *μεταβάλλει* *G*, itaque cum etiam *L* ante rasuram *μεταβάλλει* habuerit oporteat, *μετέβαλλ'* ei quod Musgrave coniecit *μετέβασ'* praeferendum

730 *ἀοῦς* *L*, *εὐθῦς* *G* (scilicet conformatione literarum codicis *L* librarius deceptus est) 735 *ἀπειρόδροσοι*] Bothe, *ἄπειροι δρόσου* *LG* 737 *τὰν*] *τάδε* Porson 739 *θερμὸν* Musgrave, fort. *φέγγος* | *ἀέλιον*] Canter, *ἀελίου* *LG* 740 *ἀλλάξαντα*] *ἀμείψαντα* Dindorf 742 *ἕνεκ' ἀδικίας*] Musgrave, *ἕνεκεν δίκας* *LG* 744 *κέρδος δὲ* *LG*, *δὲ* del. *l* | *θεραπείαν*] scripsi, *θεραπείαις* *L*, *θεραπίαις* *G*, *θεραπείας* Matthiae 747 *δοκὼ*] *δοκὴ* Heath 748 *νερτέρας βροντῆς* Kayser 749 *πνεύματ'*] *θύρματ'* Herwerden. Fort. *πύρσ' ἐπαίρεται*. Cfr. 694 et Rhes. 97 752 *ἐμφόνιον* *LG*, *γρ.* *ἓν* super *ἐμ* scr. *g* 753—60 lineolae in *L*, 755—60 lineolae in *G*

θύσοντες ἐρχόμεσθ' Ὀλυμπίῳ Διί.
κλύων δὲ ταῦτ' Αἴγισθος ἐννέπει τάδε·
νῦν μὲν παρ' ἡμῖν χρὴ συνεστίους ἐμοὶ
θοίνης γενέσθαι· τυγχάνω δὲ βουθυτῶν
Νύμφαις· ἑῷοι δ' ἐξαναστάντες λέχους
ἐς ταὐτὸν ἥξετ'. ἀλλ' ἴωμεν ἐς δόμους·
καὶ ταῦθ' ἅμ' ἠγόρευε καὶ χερὸς λαβὼν
παρῆγεν ἡμᾶς· οὐδ' ἀπαρνεῖσθαι χρεών.
ἐπεὶ δ' ἐν οἴκοις ἦμεν, ἐννέπει τάδε·
λούτρ' ὡς τάχιστα τοῖς ξένοις τις αἰρέτω,
ὡς ἀμφὶ βωμὸν στῶσι χερνίβων πέλας.
ἀλλ' εἶπ' Ὀρέστης· ἀρτίως ἡγνίσμεθα
λουτροῖσι καθαροῖς ποταμίων ῥείθρων ἄπο.
εἰ δὲ ξένους ἀστοῖσι συνθύειν χρεών,
Αἴγισθ', ἕτοιμοι κοὐκ ἀπαρνούμεσθ', ἄναξ.
τοῦτον μὲν οὖν μεθεῖσαν ἐκ μέσου λόγον·
λόγχας δὲ θέντες δεσπότου φρουρήματα
δμῶες πρὸς ἔργον πάντες ἵεσαν χέρας·
οἳ μὲν σφαγεῖον ἔφερον, οἳ δ' ᾖρον κανᾶ,
ἄλλοι δὲ πῦρ ἀνῆπτον ἀμφί τ' ἐσχάρας
λέβητας ὤρθουν· πᾶσα δ' ἐκτύπει στέγη.
λαβὼν δὲ προχύτας μητρὸς εὐνέτης σέθεν
ἔβαλλε βωμούς, τοιάδ' ἐννέπων ἔπη·
Νύμφαι πετραῖαι, πολλάκις με βουθυτεῖν
καὶ τὴν κατ' οἴκους Τυνδαρίδα δάμαρτ' ἐμὴν
πράσσοντας ὡς νῦν, τοὺς δ' ἐμοὺς ἐχθροὺς κακῶς·
λέγων Ὀρέστην καὶ σέ. δεσπότης δ' ἐμὸς
τἀναντί' ηὔχετ', οὐ γεγωνίσκων λόγους,
λαβεῖν πατρῷα δώματ'. ἐκ κανοῦ δ' ἑλὼν
Αἴγισθος ὀρθὴν σφαγίδα, μοσχείαν τρίχα

---

783 ταῦθ' *LG*  784 παρ' ἡμῖν] fort. γὰρ ὑμᾶς  785 θοίνης] Reiske, θοίνην *LG*, θοίνῃ Valckenarium secutus Seidler  789 fort. ἀπαρνούμεσθα δή  791 λουτρὰ *L*, λούτρ' *lG*. Fort. ἀράτω  792 πέλας *G* et *L*, sed ελ et σ ex aliis lit. fecit *l*  795 fort. εἰ δή, deleto v. 796 | χρεών] fort. θέμις  796 ἀπαρνούμεθ' *L*, ἀπαρνούμεσθ' *lG*  800 σφαγεῖον ἔφερον] Scaliger, σφάγι' ἐνέφερον *LG*, σφαγεῖ' ἐσέφερον Kirchhoff (malim ἐπέφερον)  801 πῦρ ἀνῆπτον] Canter, πυρὰν ἧπτον *LG*. Fort. ἐσχάραις  804 ἐννέπειν *L*, ειν del. et ων superscr. *l*, ἐννέπων *G*  805 schol. λείπει Ἀττικῶς τὸ δότε in *L*  809 εὔχετ' *LG*  811 σφαγίδα] Victorius, σφραγῖδα *LG* | μοσχείαν L. Dindorf, μοσχίαν *LG*

τεμὼν ἐφ' ἁγνὸν πῦρ ἔθηκε δεξιᾷ,
κἄσφαξ' ἐπ' ὤμων μόσχον ὡς ἦραν χεροῖν
δμῶες, λέγει δὲ σῷ κασιγνήτῳ τάδε·
ἐκ τῶν καλῶν κομποῦσι τοῖσι Θεσσαλοῖς
εἶναι τόδ', ὅστις ταῦρον ἀρταμεῖ καλῶς
ἵππους τ' ὀχμάζει· λαβὲ σίδηρον, ὦ ξένε,
δεῖξόν τε φήμην ἔτυμον ἀμφὶ Θεσσαλῶν.
ὃ δ' εὐκρότητον Δωρίδ' ἁρπάσας χεροῖν,
ῥίψας ἀπ' ὤμων εὐπρεπῆ πορπάματα,
Πυλάδην μὲν εἵλετ' ἐν πόνοις ὑπηρέτην,
δμῶας δ' ἀπωθεῖ· καὶ λαβὼν μόσχου πόδα,
λευκὰς ἐγύμνου σάρκας ἐκτείνων χέρα·
θᾶσσον δὲ βύρσαν ἐξέδειρεν ἢ δρομεὺς
δισσοὺς διαύλους ἵππιος διήνυσε,
κἀνεῖτο λαγόνας. ἱερὰ δ' ἐς χεῖρας λαβὼν
Αἴγισθος ἤθρει. καὶ λοβὸς μὲν οὐ προσῆν
σπλάγχνοις, πύλαι δὲ καὶ δοχαὶ χολῆς πέλας
κακὰς ἔφαινον τῷ σκοποῦντι προσβολάς.
χὢ μὲν σκυθράζει, δεσπότης δ' ἀνιστορεῖ·
τί χρῆμ' ἀθυμεῖς; ὦ ξέν', ὀρρωδῶ τινα
δόλον θυραῖον. ἔστι δ' ἔχθιστος βροτῶν
Ἀγαμέμνονος παῖς πολέμιός τ' ἐμοῖς δόμοις·
ὃ δ' εἶπε· φυγάδος δῆτα δειμαίνεις δόλον,
πόλεως ἀνάσσων; οὐχ, ὅπως παστήρια
θοινασόμεσθα, Φθιάδ' ἀντὶ Δωρικῆς
οἴσει τις ἡμῖν κοπίδ', ἀναρρῆξαι χέλυν,
λαβὼν δὲ κόπτει. σπλάγχνα δ' Αἴγισθος λαβὼν
ἤθρει διαιρῶν. τοῦ δὲ νεύοντος κάτω

---

813 καὶ ἔσφαξ' *L*, κἄσφαξ' *lG*, κἄσφαξε λαιμὸν Walberg, κἄσφαξε βωμῶν (malim βωμοῦ) . . ἦραν πέλας Schumacher (κἄσφαξε βωμῷ Bothe) 815 ἓν τῶν Musgrave 816 τόδε *L* 818 ἀμφὶ δημοτῶν Weil 819 Δωρίδ'] schol. εἶδος μαχαίρας ἡ δωρίς in *L*, δορίδ' ἀναρπάσας Nauck 822 δμῶες *G*, δμῶας *g* 823 ἐκτείνων χέρα] ἐπιτεμὼν χρόα F. Gu. Schmidt 825 ἵππιος] Musgrave (ἱππίους Scaliger), ἱππείους *LG* 826 καὶ ἀνεῖτο *L*, κἀνεῖτο *lG* | fort. ἐν χεροῖν 828 σπλάγχοις *G* 830 καὶ ὁ *L*, χ' ὠ *lG* 831 inter ἀθυμεῖς et ὦ ξέν' lacuna esse videtur | ξένε *L*, ξέν' *lG* 832 fort. κρυφαῖον. Cfr. Rhes. 92 835 παστήρια] Nauck, παστηρίαν *LG* 836 θοινασόμεθα *LG*, θοινασόμεσθα *l*, fort. θεασόμεσθα 837 ἀναρρῆξαι] scripsi Schenkelium (ἀναρρήξω) et Musgravium (ἀπορρῆξαι) secutus, ἀπορρήξω *LG*

ὄνυχας ἐπ' ἄκρους στὰς κασίγνητος σέθεν
ἐς σφονδύλους ἔπαισε, νωτιαῖα δὲ
ἔρρηξεν ἄρθρα· πᾶν δὲ σῶμ' ἄνω κάτω
ἤσπαιρεν ἐσφάδαζε δυσθνητοῦν φόνῳ.
δμῶες δ' ἰδόντες εὐθὺς ἦξαν ἐς δόρυ,
πολλοὶ μάχεσθαι πρὸς δύ'· ἀνδρείας δ' ὕπο
ἔστησαν ἀντίπρῳρα σείοντες βέλη
Πυλάδης Ὀρέστης τ'. εἶπε δ'· οὐχὶ δυσμενὴς
ἥκω πόλει τῇδ' οὐδ' ἐμοῖς ὀπάοσιν,
φονέα δὲ πατρὸς ἀντετιμωρησάμην
τλήμων Ὀρέστης· ἀλλὰ μή με κτείνετε,
πατρὸς παλαιοὶ δμῶες. οἳ δ', ἐπεὶ λόγων
ἤκουσαν, ἔσχον κάμακας· ἐγνώσθη δ' ὑπὸ
γέροντος ἐν δόμοισιν ἀρχαίου τινός.
στέφουσι δ' εὐθὺς σοῦ κασιγνήτου κάρα
χαίροντες ἀλαλάζοντες. ἔρχεται δὲ σοὶ
κάρα 'πιδείξων, οὐχὶ Γοργόνος φέρων,
ἀλλ' ὃν στυγεῖς Αἴγισθον· αἷμα δ' αἵματος
πικρὸς δανεισμὸς ἦλθε τῷ θανόντι νῦν.

ΧΟ. θὲς ἐς χορόν, ὦ φίλα, ἴχνος, stroph.
ὡς νεβρὸς οὐράνιον
πήδημα κουφίζουσα σὺν ἀγλαΐᾳ.
νικᾷ στεφαναφορίαν
κρείσσω παρ' Ἀλφειοῦ ῥέεθρ' οὐ τελέσας
κασίγνητος σέθεν· ἀλλ' ἐπάειδε
καλλίνικον ᾠδὰν ἐμῷ χορῷ.

ΗΛ. ὦ φέγγος, ὦ τέθριππον ἡλίου σέλας,
ὦ γαῖα καὶ νὺξ ἣν ἐδερκόμην πάρος,
νῦν ὄμμα τοὐμὸν ἀμπτυχαί τ' ἐλεύθεροι,
ἐπεὶ πατρὸς πέπτωκεν Αἴγισθος φονεύς.

---

843 *ἐσφάδαζε*] Valckenaer, *ἠλάλαζε* *LG* | *δυσθνητοῦν*] Nauck, *δυσθνῄσκον* *LG* 845 *ἀνδρείας*] Elmsley, *ἀνδρίας* *LG* | fort. *ἄπο* 847 *τε* *L*, *τ'* *lG* | *δ'* rescr. *l* 849 *δὲ*] in repet. ed. Victoriana, *τε* *LG* 850 *καίνετε* Elmsley 851 fort. *λόγον* 854 *στέφουσι* *G* et *L*, sed *στε* in ras. scr. *l* 856 *κάρ' ἐπιδείξων* *L*, *κάρα γ' ἐπιδείξων* *lG* 857 *ἀλλ' οὗ στυγεῖς μέγιστον* F. Gu. Schmidt 860 *οὐράνιον*] fort. *αἰθέριον*. Cfr. Tro. 325 862 *νικᾷ*] Canter, *νίκας* *LG* 863 *παρ'*] Seidler, *τοῖς παρ'* *LG* | *ῥέεθρ' οὐ*] Lenting, *ῥεέθροις* *LG* | *τελέσας* *LG*, *τελέσσας* *l* 865 *ᾠδὰν*] Victorius, *ᾠδ' ἂν* *LG* 868 *ἀναπτυχαὶ* *L*, *ἀμπτυχαὶ* *lG*

ὃν εἴτε χρῄζεις θηρσὶν ἁρπαγὴν πρόθες,
ἢ σκῦλον οἰωνοῖσιν, αἰθέρος τέκνοις,
πήξασ' ἔρεισον σκόλοπι· σὸς γάρ ἐστι νῦν
δοῦλος, πάροιθε δεσπότης κεκλημένος.
ΗΛ. αἰσχύνομαι μέν, βούλομαι δ' εἰπεῖν ὅμως.
ΟΡ. τί χρῆμα; λέξον· ὡς φόβου γ' ἔξωθεν εἶ.
ΗΛ. νεκροὺς ὑβρίζειν μή μέ τις φθόνῳ βάλῃ.
ΟΡ. οὐκ ἔστιν οὐδεὶς ὅστις ἂν μέμψαιτό σε.
ΗΛ. δυσάρεστος ἡμῶν καὶ φιλόψογος πόλις.
ΟΡ. λέγ', εἴ τι χρῄζεις, σύγγον'· ἀσπόνδοισι γὰρ
νόμοισιν ἔχθραν τῷδε συμβεβλήκαμεν.
ΗΛ. εἶεν· τίν' ἀρχὴν πρῶτά σ' ἐξείπω κακῶν,
ποίας τελευτάς; τίνα μέσον τάξω λόγον;
καὶ μὴν δι' ὄρθρων γ' οὔποτ' ἐξελίμπανον
θρυλοῦσ' ἅ γ' εἰπεῖν ἤθελον κατ' ὄμμα σόν,
εἰ δὴ γενοίμην δειμάτων ἐλευθέρα
τῶν πρόσθε· νῦν οὖν ἐσμεν· ἀποδώσω δέ σοι
ἐκεῖν' ἅ σε ζῶντ' ἤθελον λέξαι κακά.
ἀπώλεσάς με κὠρφανὴν φίλου πατρὸς
καὶ τόνδ' ἔθηκας, οὐδὲν ἠδικημένος,
κἄγημας αἰσχρῶς μητέρ' ἄνδρα τ' ἔκτανες
στρατηλατοῦνθ' Ἕλλησιν, οὐκ ἐλθὼν Φρύγας.
ἐς τοῦτο δ' ἦλθες ἀμαθίας ὥστ' ἤλπισας
ὡς ἐς σ' ἐμὴν δὴ μητέρ' οὐχ ἕξεις κακὴν
γήμας, ἐμοῦ δὲ πατρὸς ἠδίκεις λέχη.
ἴστω δ', ὅταν τις διολέσας δάμαρτά του
κρυπταῖσιν εὐναῖς εἶτ' ἀναγκασθῇ λαβεῖν,
δύστηνός ἐστιν, εἰ δοκεῖ τὸ σωφρονεῖν
ἐκεῖ μὲν αὐτὴν οὐκ ἔχειν, παρ' οἷ δ' ἔχειν.

---

896 πρόες Herwerden 899 delet Naber 901—4 versus suspecti 902—5 lineolae praefixae in *L*, 903—5 in *G* 903 σε superscr. οι *G* 904 φιλόψογος] Victorius, φιλόψυχος *LG* 905 εὐσπόνδοισι *G* 906 ἔχθαν *G*, ἔχθραν *g* 910 θρυλοῦσ'] Dindorf, θρυλλοῦσ' *LG* | fort. θρυλοῦσ' ἅ σε ζῶντ' ἤθελον λέξαι κακά, deletis versibus 912 sq. (913 delet Weil) 912 πρόσθε] Barnes, πρόσθεν *LG* 914 καὶ ὀρφανὴν *L*, κὠρφανὴν *lG* 916 καὶ ἔγημας *L*, κἄγημας *l* et η ex ει correcto *G* 919 σ' ἐμὴν] Reiske, σὲ μὲν *LG*, sed fort. pro σὲ μὲν δὴ scribendum σεαυτὸν 921—24 delebat olim Hartung 924 οἷ] schol. παρ' αὐτῷ in *L*

*ἄλγιστα δ' ᾤκεις, οὐ δοκῶν οἰκεῖν κακῶς·*
*ᾔδησθα γὰρ δῆτ' ἀνόσιον γήμας γάμον,*
*μήτηρ δὲ σ' ἄνδρα δυσσεβῆ κεκτημένη.*
*ἄμφω πονηρὼ δ' ὄντ' ἀφαιρεῖσθον τύχην,*
*κείνη τε τὴν σὴν καὶ σὺ τοὐκείνης κακόν.*
*πᾶσιν δ' ἐν Ἀργείοισιν ἤκουες τάδε·*
*ὁ τῆς γυναικός, οὐχὶ τἀνδρὸς ἡ γυνή.*
*καίτοι τόδ' αἰσχρόν, προστατεῖν γε δωμάτων*
*γυναῖκα, μὴ τὸν ἄνδρα· κἀκείνους στυγῶ*
*τοὺς παῖδας, ὅστις τοῦ μὲν ἄρσενος πατρὸς*
*οὐκ ὠνόμασται, τῆς δὲ μητρὸς ἐν πόλει.*
*ἐπίσημα γὰρ γήμαντι καὶ μείζω λέχη*
*τἀνδρὸς μὲν οὐδείς, τῶν δὲ θηλειῶν λόγος.*
*ὃ δ' ἠπάτα σε πλεῖστον οὐκ ἐγνωκότα,*
*ηὔχεις τις εἶναι τοῖσι χρήμασι σθένων·*
*τὰ δ' οὐδὲν εἰ μὴ βραχὺν ὁμιλῆσαι χρόνον.*
*ἡ γὰρ φύσις βέβαιος, οὐ τὰ χρήματα.*
*ἡ μὲν γὰρ αἰεὶ παραμένουσ' αἴρει κακά·*
*ὁ δ' ὄλβος ἀδίκως καὶ μετὰ σκαιῶν ξυνὼν*
*ἐξέπτατ' οἴκων, σμικρὸν ἀνθήσας χρόνον.*
*ἃ δ' ἐς γυναῖκας· παρθένῳ γὰρ οὐ καλὸν*
*λέγειν· σιωπῶ, γνωρίμως αἰνίξομαι.*
*ὕβριζες, ὡς δὴ βασιλικοὺς ἔχων δόμους*
*κάλλει τ' ἀραρώς. ἀλλ' ἔμοιγ' εἴη πόσις*
*μὴ παρθενωπός, ἀλλὰ τἀνδρείου τρόπου.*
*τὰ γὰρ τέκν' αὐτῶν Ἄρεος ἐκκρεμάννυται,*
*τὰ δ' εὐπρεπῆ δὴ κόσμος ἐν χοροῖς μόνον.*

---

925 *ᾤκεις*] Musgrave, *οἰκεῖς* *LG* 926 *ᾔδησθα*] Lobeck, *ᾔδεισθα* *LG* 928 *ὄντα* *L*, *ὄντ'* *lG* 928 sq. *ἀφῃρεῖσθον τύχην . . τοὐκείνης καλόν* Kirchhoff. *ἐπηυρέσθην* Nauck (*ἐπηυράσθην* Hartung), fort. *ἐπηυρέσθην τύχης κείνη τε τῆς σῆς καὶ σὺ τῶν κείνης κακῶν* (*ἐπηυρέσθην τύχην, κείνη τε τῶν σῶν καὶ σὺ τῶν κείνης κακῶν* Weil) 929 *τοῦ 'κείνης* *LG* 931 *ὁ φῶς γυναικός* Prinz, fort. *ἀνὴρ γ.* 932 *τό γ'* *G* 932—37 versus suspecti (936 sq. delebat Hartung) 934 *πατρὸς*] *παρὸν* Camper cl. Soph. El. 365 936 *γήμασι* Kirchhoff 942—44 delet Vitelli. 942 *ἀεὶ* *L*, *αἰεὶ* *lG* | *αἴρει*] *ἀρκεῖ* Seidler 943 *ἀδίκως* Stob. flor. 94, 5, *ἄδικος* *LG* 946 *γνωρίμως*] Keene, *γνωρίμως δ'* *LG* 947 *ὕβριζες*] fort. *ἔχλιες* | *δόμους*] fort. *τρόπους* 948 *ἀραρώς*] Scaliger, *ἀραρὼν* *LG* 949 *τρόπου*] *τύπου* Herwerden 950 *τὸ γὰρ τοιούτων* Schenkl, *τὸ γὰρ τοιοῦτον* Weil | *ἐκκεράννυται* Musgrave

*ἔρρ', οὐδὲν εἰδὼς ὧν ἐφηυρέθης χρόνῳ*
*δίκην δεδωκώς. ὥστε τις κακουργίας*
*μή μοι τὸ πρῶτον βῆμ' ἐὰν δράμῃ καλῶς,*
*νικᾶν δοκείτω τὴν δίκην, πρὶν ἂν πέρας*
*γραμμῆς ἵκηται καὶ τέλος κάμψῃ βίου.*
ΧΟ. *ἔπραξε δεινά, δεινὰ δ' ἀντέδωκε σοὶ*
*καὶ τῷδ'· ἔχει γὰρ ἡ Δίκη μέγα σθένος.*
ΟΡ. *εἶεν· κομίζειν τοῦδε σῶμ' ἔσω χρεὼν*
*σκότῳ τε δοῦναι, δμῶες, ὡς, ὅταν μόλῃ*
*μήτηρ, σφαγῆς πάροιθε μὴ εἰσίδῃ νεκρόν.*
ΗΛ. *ἐπίσχες· ἐμβάλωμεν εἰς ἄλλον λόγον.*
ΟΡ. *τί δ'; ἐκ Μυκηνῶν μῶν βοηδρόμους ὁρῶ;*
ΗΛ. *οὔκ, ἀλλὰ τὴν τεκοῦσαν ἥ μ' ἐγείνατο.*
ΟΡ. *καὶ μὴν ὄχοις γε καὶ στολῇ λαμπρύνεται.*
ΗΛ. *καλῶς ἄρ' ἄρκυν ἐς μέσην πορεύεται.*
ΟΡ. *τί δῆτα δρῶμεν μητέρ'; ἦ φονεύσομεν;*
ΗΛ. *μῶν σ' οἶκτος εἷλε, μητρὸς ὡς εἶδες δέμας;*
ΟΡ. *φεῦ·*
*πῶς γὰρ κτάνω νιν, ἥ μ' ἔθρεψε κἄτεκεν;*
ΗΛ. *ὥσπερ πατέρα σὸν ἥδε κἀμὸν ὤλεσεν.*
ΟΡ. *ὦ Φοῖβε, πολλήν γ' ἀμαθίαν ἐθέσπισας,*
ΗΛ. *ὅπου δ' Ἀπόλλων σκαιὸς ᾖ, τίνες σοφοί;*
ΟΡ. *ὅστις μ' ἔχρησας μητέρ', ἣν οὐ χρῆν, κτανεῖν.*
ΗΛ. *βλάπτῃ δὲ δὴ τί πατρὶ τιμωρῶν σέθεν;*
ΟΡ. *μητροκτόνος νῦν φεύξομαι, τόθ' ἁγνὸς ὤν.*
ΗΛ. *καὶ μή γ' ἀμύνων πατρὶ δυσσεβὴς ἔσῃ.*

---

952 sq. *ἐφηυρέθης . . δεδωκώς*] Fix, *ἐφευρεθεὶς . . δέδωκας* *LG* 953 *ὥστε τις κακουργίας*] Madvig, *ὧδέ τις κακοῦργος ὢν* *LG*, *ὥστε τῆς ἐπικουρίας* Stob. ecl. I 3, 18 955 *δοκείτω* *G*, sed *ει* in ras. scr. *g*. 955 sq. *πέρας . . τέλος*] *πέλας . . τέλος* *LG*, *τέλος . . τέλος* Stobaeus, *τέλος . . πέρας* Orion Anth. 15 p. 57 957 Electrae nota praefixa in *G*
960 *τε*] Reiske, *γε* *LG* 961 *μὴ εἰσίδῃ*] Barnes, *μ' εἰσίδη* *LG*. In *L* schol. *μὴ πρὸ τοῦ σφαγῆναι εἰσίδῃ τὸν τοῦ Αἰγίσθου νεκρόν* 964—85 lineolae pro notis in *LG*, nisi quod 980 sq. et 985 desunt in *L* 964 *ἥ σ' ἐγείνατο* Camper 965 *ἄρκην* *G* 965, 966 transposuit (personis mutatis) olim Kirchhoff 966 *γε*] Schaefer, *τε* *LG* 967 *μητέρ'* *G*, in ras. scr. *l*, fort. *δρῶμεν; ἦ φόνον φονεύσομεν;* 969 *ἔθρε* *G*, *ἔθρεψε* *g* | *καὶ ἔτεκεν* *L*, *κἄτεκεν* *lG* 970 *ὡς πατέρα τὸν σὸν* Nauck
975 *φεύξομαι*] schol. *κατηγορηθήσομαι* in *L* | *τόδ'* *G* 976 *μήν* *LG*, *μή* *l*

σκύλοισι μὲν γὰρ θεῶν κεκόσμηνται δόμοι
Φρυγίοις, ἐγὼ δὲ τάσδε, Τρῳάδος χθονὸς
ἐξαίρετ', ἀντὶ παιδὸς ἣν ἀπώλεσα
σμικρὸν γέρας, καλὸν δὲ κέκτημαι δόμοις.
ΗΛ. οὔκουν ἐγώ· δούλη γὰρ ἐκβεβλημένη
δόμων πατρῴων δυστυχεῖς οἰκῶ δόμους·
μῆτερ, λάβωμαι μακαρίας τῆς σῆς χερός;
ΚΛ. δοῦλαι πάρεισιν αἵδε, μή σύ μοι πόνει.
ΗΛ. τί δ'; αἰχμάλωτόν τοί μ' ἀπῴκισας δόμων,
ᾑρημένων δὲ δωμάτων ᾑρήμεθα,
ὡς αἵδε, πατρὸς ὀρφανοὶ λελειμμένοι.
ΚΛ. τοιαῦτα μέντοι σὸς πατὴρ βουλεύματα
ἐς οὓς ἐχρῆν ἥκιστ' ἐβούλευσεν φίλων.
δείξω δέ· καίτοι δόξ' ὅταν λάβῃ κακὴ
γυναῖκα, γλώσσῃ πικρότης ἔνεστί τις·
ὡς μὲν παρ' ἡμῖν, οὐ καλῶς· τὸ πρᾶγμα δὲ
μαθόντας, ἢν μὲν ἀξίως μισεῖν ἔχῃ,
στυγεῖν δίκαιον· εἰ δὲ μή, τί δεῖ στυγεῖν;
ἡμᾶς δ' ἔδωκε Τυνδάρεως τῷ σῷ πατρί,
οὐχ ὥστε θνήσκειν οὓς ἐγεινάμην ἐγώ.
κεῖνος δὲ παῖδα τὴν ἐμὴν Ἀχιλλέως
λέκτροισι πείσας ᾤχετ' ἐκ δόμων ἄγων
πρυμνοῦχον Αὖλιν, ἔνθ' ὑπερτείνας πυρᾶς
λευκὴν διήμησ' Ἰφιγόνης παιδὸς δέρην.
κεἰ μὲν πόλεως ἅλωσιν ἐξιώμενος
ἢ δῶμ' ὀνήσων τἄλλα τ' ἐκσώσων τέκνα
ἔκτεινε πολλῶν μίαν ὕπερ, συγγνώστ' ἂν ἦν·
νῦν δ' οὕνεχ' Ἑλένη μάργος ἦν ὅ τ' αὖ λαβὼν

---

1002 ἐξαίρετ'] fort. λωτίσματ' | ἀπώλεσα] Victorius, ἀπώλεσε *LG* 1005 δόμους] στέγας Camper 1010 ὀρφανοὶ λελειμμένοι] monente Seidlero Fix, ὀρφαναὶ λελειμμέναι *GL* 1011 βουλεύματα] Victorius, βουλεύεται *LG* 1013 δείξω] scripsi, λέξω *LG* | δόξα *L*, δόξ' *lG* 1014 πικρότις *G*, πικρότης *g* 1016 μαθόντας] Reiske, μαθόντα σ' *LG* | ἔχῃ] Seidler, ἔχῃς *LG* 1018 δ' ἔδωκε] Dawes, δέδωκε *LG* 1019 οὓς ἐγεινάμην] Holzner, οὐδ' ἃ 'γεινάμην *LG* 1022 πυρᾶς] Tyrwhitt, πύλας *LG* 1023 παιδὸς δέρην] Kvičala (δέρην ξίφει Schenkl, πατὴρ δέρην Weil), παρηίδα *LG* 1024 καὶ εἰ *L*, κεἰ *lG* | ἐξιώμενος] fort. ἐξωνούμενος 1025 ἐκσώσων] Nauck, ἐκσῴζων *LG* 1026 συγγνώστ' ἂν ἦν] Scaliger, συγγνωστά νιν *LG* 1027 Ἑλένη] Heath, ἑλένης *LG* | ἦ *G*, ἦν *g*

ἄλοχον κολάζειν προδότιν οὐκ ἠπίστατο,
τούτων ἕκατι παῖδ' ἐμὴν διώλεσεν.
[ἐπὶ τοῖσδε τοίνυν καίπερ ἠδικημένη
οὐκ ἠγριώμην οὐδ' ἂν ἔκτανον πόσιν·
ἀλλ' ἦλθ' ἔχων μοι μαινάδ' ἔνθεον κόρην
λέκτροις τ' ἐπεισέφρηκε, καὶ νύμφα δύο
ἐν τοῖσιν αὐτοῖς δώμασιν κατεῖχ' ὁμοῦ.
μῶρον μὲν οὖν γυναῖκες, οὐκ ἄλλως λέγω·
ὅταν δ', ὑπόντος τοῦδ', ἁμαρτάνῃ πόσις
τἄνδον παρώσας λέκτρα, μιμεῖσθαι θέλει
γυνὴ τὸν ἄνδρα χἄτερον κτᾶσθαι φίλον.
κἄπειτ' ἐν ἡμῖν ὁ ψόγος λαμπρύνεται,
οἱ δ' αἴτιοι τῶνδ' οὐ κλύουσ' ἄνδρες κακῶς.]
εἰ δ' ἐκ δόμων ἥρπαστο Μενέλεως λάθρᾳ,
κτανεῖν μ' Ὀρέστην χρῆν, κασιγνήτης πόσιν
Μενέλαον ὡς σώσαιμι; σὸς δὲ πῶς πατὴρ
ἠνέσχετ' ἂν ταῦτ'; εἶτα τὸν μὲν οὐ θανεῖν
κτείνοντα χρῆν τἄμ', ἐμὲ δὲ πρὸς κείνου παθεῖν;
ἔκτειν', ἐτρέφθην ἥνπερ ἦν πορεύσιμον
πρὸς τοὺς ἐκείνῳ πολεμίους. φίλων γὰρ ἂν
τίς ἂν πατρὸς σοῦ φόνον ἐκοινώνησέ μοι;
λέγ', εἴ τι χρῄζεις, κἀντίθες παρρησίᾳ,
ὅπως τέθνηκε σὸς πατὴρ οὐκ ἐνδίκως.

ΧΟ. δίκην ἔλεξας· ἡ δίκη δ' αἰσχρῶς ἔχει.
γυναῖκα γὰρ χρὴ πάντα συγχωρεῖν πόσει,
ἥτις φρενήρης· ᾗ δὲ μὴ δοκεῖ τάδε,
οὐδ' εἰς ἀριθμὸν τῶν ἐμῶν ἥκει λόγων.

ΗΛ. μέμνησο, μῆτερ, οὓς ἔλεξας ὑστάτους
λόγους, διδοῦσα πρὸς σέ μοι παρρησίαν.

---

1030 *τοίνυν*] Canter, *τοι νῦν LG* 1030—1040 delevit Vitelli 1031 *ἠγριώμην*] Nauck, *ἠγριούμην LG* 133 *δύω* mut. in *δύο L*, *δύω G* 1034 *τοῖσιν αὐτοῖς*] Canter, *τοῖς αὐτοῖσι LG* | *δώμασι LG*, *δώμασιν g* | *κατεῖχ' ὁμοῦ* Dawes, *κατείχομεν LG* 1038 *χ' ἄτερον LG*, sed *χ'α* in ras. scr. *l* | *φίλον G* et in marg. *L*, unde *l* in textum intulit eraso eo quod *L* scripserat (fort. *πόσιν*) 1044 *ἠνέσχετο ἂν ταῦτα L*, *ἠνέσχετ' ἂν ταῦτ' lG* 1045 *κτείναντα* Matthiae | *τἄμα L*, *τἄμ' lG* 1046 *ἔκτεινα L*, *ἔκτειν' lG* 1048 *φόνον*] *τῶνδ'* Herwerden

1051 *ΧΟ.* et 1055 *ΗΛ.*] Jacobsium secutus Camper, 1051—56 Electrae tribuunt *LG* 1051 *δίκην*] Nauck, *δίκαι' LG* 1052 *χρὴ*] Matthiae, *χρῆν LG* 1053 *ᾗ*] Reiske, *εἰ LG*

*ΚΛ.* καὶ νῦν γέ φημι κοὐκ ἀπαρνοῦμαι, τέκνον.
*ΗΛ.* ἆρα κλύουσα, μῆτερ, εἶτ' ἔρξεις κακῶς;
*ΚΛ.* οὐκ ἔστι, τῇ σῇ δ' ἡδὺ προσθήσω φρενί.
*ΗΛ.* λέγοιμ' ἄν· εὐχὴ δ' ἥδε μοι προοίμιον.
εἴθ' εἶχες, ὦ τεκοῦσα, βελτίους φρένας.
τὸ μὲν γὰρ εἶδος αἶνον ἄξιον φέρειν
Ἑλένης τε καὶ σοῦ, δύο δ' ἔφυτε συγγόνω
ἄμφω ματαίω Κάστορός τ' οὐκ ἀξίω.
ἡ μὲν γὰρ ἁρπασθεῖσ' ἑκοῦσ' ἀπῴχετο,
σὺ δ' ἄνδρ' ἄριστον Ἑλλάδος διώλεσας,
σκῆψιν προτείνουσ', ὡς ὑπὲρ τέκνου πόσιν
ἔκτεινας· οὐ γάρ ὡς ἐγώ σ' ἴσασιν εὖ·
ἥτις θυγατρὸς πρὶν κεκυρῶσθαι σφαγὰς
νέον τ' ἀπ' οἴκων ἀνδρὸς ἐξωρμημένου
ξανθὸν κατόπτρῳ πλόκαμον ἐξήσκεις κόμης.
γυνὴ δ' ἀπόντος ἀνδρὸς ἥτις ἐκ δόμων
ἐς κάλλος ἀσκεῖ, διάγραφ' ὡς οὖσαν κακήν.
οὐδὲν γὰρ αὐτὴν δεῖ θύρασιν εὐπρεπὲς
φαίνειν πρόσωπον, ἤν τι μὴ ζητῇ κακόν.
μόνην δὲ πασῶν οἶδ' ἐγὼ σ' Ἑλληνίδων,
εἰ μὲν τὰ Τρώων εὐτυχοῖ, κεχαρμένην,
εἰ δ' ἧσσον' εἴη, συννέφουσαν ὄμματα,
Ἀγαμέμνον' οὐ χρῄζουσαν ἐκ Τροίας μολεῖν.
καίτοι καλῶς γε σωφρονεῖν παρεῖχέ σοι·
ἄνδρ' εἶχες οὐ κακίον' Αἰγίσθου πόσιν,
ὃν Ἑλλὰς αὑτῆς εἵλετο στρατηλάτην·

---

1057 *ἀπαρνοῦμαι τὸ μὴ οὔ* Nauck 1058 *ἆρ' οὖν* Dobree, *οὐκ ἄρα* Weil et Kvičala, fort. *ἆρ' ἐκκαλοῦσα* 1059 sq. lineolae in *LG* 1059 *προσθήσω*] fort. *προσφύσω* 1060 *εὐχὴ . . προοίμιον*] Vitelli (*προοίμιον* iam Weil et Kvičala), *ἀρχὴ . . προοιμίου LG* 1062 *φέρειν*] Porson, *φέρει LG* 1065 *ἀπῴχετο*] Pierson, *ἀπώλετο LG* 1068 *ἐγώ σ'*] Hartung, *ἔγωγ' LG* | *ἔγωγ' ἴσασί σ'* Porson 1069 *ἥτις*] L. Dindorf, *ἢ τῆς LG* 1071 *ἐξήσκει LG*, *ἐξήσκεις g* 1072 *γυνὴ δ' ἀπόντος ἥτις ἀνδρὸς ἐκ δόμων* vel *ἥτις δ' ἀπόντος ἀνδρὸς ἐκ δόμων γυνὴ* Heimsoeth, *ἥτις δ' ἀπόντος ἐκ δόμων ἀνδρὸς γυνὴ* vel *ἀνδρὸς δ' ἀπόντος ἐκ δόμων ἥτις γυνὴ* Nauck 1073 *διάγραφε L*, *διάγραφ' lG* 1074 *θύρασιν*] Elmsley, *θύραισιν LG* 1076 *μόνην*] in ed. rep. Victor., *μόνη LG* 1077 *τὰ Τρώων εὐτυχοῖ*] Musgrave (*τὰ Τρῷ' ἦν εὐτυχῆ* Canter), *πατρῷ' ἦν εὐτυχῆ LG* 1078 *συννέφουσαν*] Cobet, *συννεφοῦσαν LG* 1079 delet Nauck 1080 *παρεῖχε*] fort. *ὑπῆρχε* 1082 *αὑτῆς*] Victorius, *αὐτῆς LG* | fort. *στρατηλατεῖν*

οἴμοι τάλαινα τῶν ἐμῶν βουλευμάτων·
ὡς μᾶσσον ἢ χρῆν ἤλασ' εἰς ὀργὴν πόσει.
ΗΛ. ὀψὲ στενάζεις, ἡνίκ' οὐκ ἔχεις ἄκη.
πατὴρ μὲν οὖν τέθνηκε· τὸν δ' ἔξω χθονὸς
πῶς οὐ κομίζῃ παῖδ' ἀλητεύοντα σόν;
ΚΛ. δέδοικα· τοὐμὸν δ', οὐχὶ τοὐκείνου σκοπῶ.
πατρὸς γάρ, ὡς λέγουσι, θυμοῦται φόνῳ.
ΗΛ. τί δαὶ πόσιν σὸν ἄγριον εἰς ἡμᾶς ἔχεις;
ΚΛ. τρόποι τοιοῦτοι· καὶ σὺ δ' αὐθάδης ἔφυς.
ΗΛ. ἀλγῶ γάρ· ἀλλὰ παύομαι θυμουμένη.
ΚΛ. καὶ μὴν ἐκεῖνος οὐκέτ' ἐστί σοι βαρύς.
ΗΛ. φρονεῖ μέγ'· ἐν γὰρ τοῖς ἐμοῖς ναίει δόμοις.
ΚΛ. ὁρᾷς; ἀν' αὖ σὺ ζωπυρεῖς νείκη νέα.
ΗΛ. σιγῶ· δέδοικα γάρ νιν ὡς δέδοικ' ἐγώ.
ΚΛ. παῦσαι λόγων τῶνδ'· ἀλλὰ τί μ' ἐκάλεις, τέκνον;
ΗΛ. ἤκουσας, οἶμαι, τῶν ἐμῶν λοχευμάτων·
τούτων ὑπέρ μου θῦσον· οὐ γὰρ οἶδ' ἐγώ·
δεκάτῃ σελήνῃ παιδὸς ὡς νομίζεται·
τρίβων γὰρ οὐκ εἰμ', ἄτοκος οὖσ' ἐν τῷ πάρος.
ΚΛ. ἄλλης τόδ' ἔργον, ἥ σ' ἔλυσεν ἐκ τόκων.
ΗΛ. αὐτὴ 'λόχευον κἄτεκον μόνη βρέφος.
ΚΛ. οὕτως ἀγείτων οἶκος ἵδρυται φίλων;
ΗΛ. πένητας οὐδεὶς βούλεται κτᾶσθαι φίλους.
ΚΛ. ἀλλ' εἶμι, παιδὸς ἀριθμὸν ὡς τελεσφόρον
θύσω θεοῖσι· σοὶ δ' ὅταν πράξω χάριν
τήνδ', εἶμ' ἐπ' ἀγρὸν οὗ πόσις θυηπολεῖ
Νύμφαισιν. ἀλλὰ τούσδ' ὄχους, ὀπάονες,
φάτναις ἄγοντες πρόσθεθ'· ἡνίκ' ἂν δέ με
δοκῆτε θυσίας τῆσδ' ἀπηλλάχθαι θεοῖς,

---

1110 μᾶσσον] scripsi, μᾶλλον *LG* | πόσει] Gomperz, πόσιν *LG* 1114 lineola praefixa in *LG* 1115 delet Nauck 1116—24 et 1128—32 lineolae pro notis in *L*, 1116—32 in *G* 1116 τί δ * *L* (fort. δὴ fuerat, cfr. 978), τί δαὶ *lG*, τί δ' αὖ Nauck, τί δὴ Weil 1118 παύομαι] scripsi, παύσομαι *LG* 1119 fort. ἐκεῖνός γ' | ἐστί] scripsi, ἔσται *LG*
1120 μέγα *L*, μέγ' *lG* 1121 ἀν'] Boissonade, ἂν *LG* 1125 οὐ *L*, καὶ *G* 1126 δεκάτην σελήνην Musgrave 1127 delet Camper 1129 λόχευον *LG* | καὶ ἔτεκον *L*, κἄτεκον *lG* 1130 ἀγείτων οἶκος] Victorius, ἀγεῖτον οἶκ * *L*, ἀγείτον' οἶκον *lG*. ἀγείτον' οἶκον ἵδρυσαι Musgrave 1132 ἀριθμὸν] ἦμαρ Schenkl 1136 πρόσθετε *L*, πρόσθετ' *lG*

*πάρεστε· δεῖ γὰρ καὶ πόσει δοῦναι χάριν.*
ΗΛ. *χώρει πένητας ἐς δόμους· φρούρει δέ μοι*
*μή σ' αἰθαλώσῃ πολύκαπνον στέγος πέπλους.*
*θύσεις γὰρ οἷα χρή σε δαίμοσιν θύῃ.*
*κανοῦν δ' ἐνῆρκται καὶ τεθηγμένη σφαγίς,*
*ἥπερ καθεῖλε ταῦρον, οὗ πέλας πεσῇ*
*πληγεῖσα· νυμφεύσῃ δὲ κἀν Ἅιδου δόμοις*
*ᾧπερ ξυνηῦδες ἐν φάει. τοσήνδ' ἐγὼ*
*δώσω χάριν σοι, σὺ δὲ δίκην ἐμοὶ πατρός.*

ΧΟ. *ἀμοιβαὶ κακῶν· μετάτροποι πνέου-* stroph.
*σιν αὖραι δόμων. τότε μὲν ἐν λουτροῖς*
*ἔπεσεν ἐμὸς ἐμὸς ἀρχέτας,*
*ἰάχησε δὲ στέγεα λάινοί*
*τε θριγκοὶ δόμων, τάδ' ἐνέποντος· ὦ*
*σχέτλιος ἦ γύναι φονεύσεις φίλαν*
*πατρίδα δεκέτεσι*
*σποραῖσιν ἐλθόντ' ἐμάν;*
. . . . . . . . . .
. . . . . . . . . .

*παλίρρους δὲ τάνδ' ὑπάγεται δίκα* antistr.
*μεταδρόμου λόχου, μέλεον ἃ πόσιν*
*χρόνιον ἱκόμενον εἰς οἴκους*
*Κυκλώπειά τ' οὐράνια τείχε' ὀ-*
*ξυθήκτῳ βέλει κατέκαν' αὐτόχειρ,*

---

1139 lineola praefixa in *L* 1141 *δαίμοσι L*, *δαίμοσιν lG* | *θύῃ*] Nauck, *θύειν LG* 1144 *νυμφεύσει G* 1146 *σὺ δὲ δίκην ἐμοὶ*] Bothe, *σὺ δ' ἐμοὶ δίκην LG*. *σὺ δὲ πατρὸς δίκην ἐμοί* F. Gu. Schmidt
1147 fort. *ἀμοιβὰν κακῶν μετάτροποι κτἑ.* (*ἀμοιβὰς* Reiske) 1148 *ἐν* om. *LG*, addidit Seidler 1149 *ἀρχέτας LG*, sed *ας* compendio in ras. scr. *l* (fuerat *ἀρχέτης*) 1150 *στέγεα*] Musgrave, *στέγα LG* 1151 *ἐνέποντος*] in ed. rep. Victoriana, *ἐννέποντος LG* 1152 *σχέτλιος ἦ*] Weil, *σχετλία τί με LG*, *σχέτλια τί με* et cum Victorio *φονεύεις* Seidler 1153 *δεκέταισιν ἐν σποραῖσιν LG*, *δεκέτεσιν σποραῖσιν l*. Post 1154 lacunam indicavit *l* (*λείπει κῶλον*), fort. v. 1163 sq. iterandi sunt 1155 *παλίρρους . . δίκα*] Victorius, *παλλίρους δίκαν LG*
1156 *μεταδρόμου λόχου*] scripsi, *διαδρόμου λέχους LG* | *μέλεον LG*, *μελέαν l*. 1156 sq. *μέλεον εἰς οἴκους . . ἱκόμενον ἃ πόσιν* Weil
1157 *ἐς G* et in ras. *L* 1159 *βέλους LG*, *βέλει lg* | *κατέκαν'*] Seidler, *ἔκανεν LG*, *κάν' l*

*πέλεκυν ἐν χεροῖν λαβοῦσα τλάμων*
*πόσις ὅ τι ποτε τὰν*
*τάλαιναν ἔσχεν κακόν.*
*ὀρεία τις ὡς λέαιν' ὀργάδων*
*δρύοχα νεμομένα, τάδε κατήνυσεν.*

ΚΛΥΤΑΙΜΗΣΤΡΑ.

*ὦ τέκνα, πρὸς θεῶν, μὴ κτάνητε μητέρα.*
*ΧΟ.* *κλύεις ὑπώροφον βοάν;*
*ΚΛ.* *ἰώ μοί μοι.*
*ΧΟ.* *ᾤμωξα κἀγὼ πρὸς τέκνων χειρουμένης.*
*νέμει τοι δίκαν θεός, ὅταν τύχῃ·*
*σχέτλια μὲν ἔπαθες, ἀνόσια δ' εἰργάσω,*
*τάλαιν', εὐνέταν.*

*ἀλλ' οἵδε μητρὸς νεοφόνοισιν αἵμασι*
*πεφυρμένοι βαίνουσιν ἐξ οἴκων πόδα,*
*τρόπαια δείγματ' ἀθλίων προσφαγμάτων.*
*οὐκ ἔστιν οὐδεὶς οἶκος ἀθλιώτερος*
*τῶν Τανταλείων οὐδ' ἔφυ ποτ' ἐκγόνων.*

*ΟΡ.* *ἰὼ Γᾶ καὶ Ζεῦ πανδερκέτα* stroph.
*βροτῶν, ἴδετε τάδ' ἔργα φόνι-*
*α μυσαρά, δίγονα σώματ' ἐν*
*χθονὶ κείμενα πλαγᾷ*
*χερὸς ὑπ' ἐμᾶς, ἄποιν' ἐμῶν πημάτων.*
. . . . . . . . . . . . . . . . . . .
. . . . . . . . . . . . . . . . . . .
*ΗΛ.* *δακρύτ' ἄγαν, ὦ σύγγον', αἰτία δ' ἐγώ.*
*διὰ πυρὸς ἔμολον ἁ τάλαινα ματρὶ τᾷδ',*
*ἅ μ' ἔτικτε κούραν.*

---

1160 sq. *λαβοῦσα. τλάμων πόσις*] fort. *λαβοῦσ', ἁλμυρὸν ποτὸν*. Cfr. Aesch. Ag. 1407 sq. 1162 *τάλαι* * *L*, *τάλαιν' G*, *τάλαιναν lg* | *ἔσχε LG*, *ἔσχεν l* 1169 *τοι δίκαν LG*, *δίκαν τοι l* 1172 *νεοφόνοισιν*] Nauck, *νεοφόνοις ἐν LG* 1174 *τρόπαια*] *ἔχοντε* vel *φέροντε* Nauck | *δειματ' G*, *δείγματ' g* | *ἀθλίων*] *ἀντίτων* Musgrave | *προσφαγμάτων*] Musgrave, *προσφθεγμάτων LG* 1177 *Γαῖα* Nauck 1179 *δίγονα*] fort. *δίδυμα* 1180 *πλαγᾷ*] fort. *σφαγαῖσιν*. Post 1181 lacunam indicavit Seidler, fort. v. 1195 sq. iterandi sunt 1182 *δακρύτ' ἄγαν LG*, *δάκρυά τ' ἄγαν γ' l* 1183 *ματρὶ*] Seidler, *μοί LG*

*ΧΟ.* σάφ' οἶδα, δι' ὀδύνας ἔβας, ἰήιον
κλύων γόον ματρός, ἅ σ' ἔτικτε.

*ΟΡ.* βοὰν δ' ἔλασκε τάνδε, πρὸς γένυν ἐμὰν antistr.
τιθεῖσα χεῖρα· τέκος ἐμόν, λιταίνω·
παρῄδων τ' ἐξ ἐμᾶν
ἐκρίμναθ', ὥστε χέρας ἐμὰς λιπεῖν βέλος.
*ΧΟ.* τάλαινα· πῶς ἔτλας φόνον δι' ὀμμάτων
ἰδεῖν σέθεν ματρὸς ἐκπνεούσας;

*ΟΡ.* ἐγὼ μὲν ἐπιβαλὼν φάρη κόραις ἐμαῖς stroph.
φασγάνῳ κατηρξάμαν
ματέρος ἔσω δέρας μεθείς.
*ΗΛ.* ἐγὼ δ' ἐπεγκέλευσά σοι
ξίφους τ' ἐφηψάμαν ἅμα.
*ΧΟ.* δεινότατον παθέων ἔρεξας.

*ΟΡ.* λαβοῦ, κάλυπτε μέλεα ματέρος πέπλοις antistr.
καὶ καθάρμοσον σφαγάς.
φονέας ἔτικτες ἆρά σοι.
*ΗΛ.* ἰδού, φίλᾳ τε κοὐ φίλᾳ
φάρεα τάδ' ἀμφιβάλλομεν.
*ΧΟ.* τέρμα κακῶν μεγάλων δόμοισιν.

ἀλλ' οἵδε δόμων ὑπὲρ ἀκροτάτων
φαίνουσί τινες δαίμονες ἢ θεῶν

---

1210 *ΧΟ.*] Kirchhoff, *ΗΛ.* *LG* 1211 μρς *LG*, μητρὸς *R* et Victorius 1212 *ΟΡ.* om. *G* 1214 γένυν *LG*, γένυν γ' *l* 1215 λεῖσα Camper | χεῖρα] Seidler, χέρας *LG* 1216 παρῄδων τ'] Seidler, παρηίδων τ' *LG*, παρηίδων τε γ' *l* 1217 ἐκριμνᾶθ' *LG*, ἐκρίμναθ' *l* | ἐμᾶς *G* 1219 πῶς δ' Weil 1220 ματρὸς] Seidler, μρς *LG*, μητρὸς *R* et Victorius 1221 κόμαις *LG*, κόραις *g* | ἐμαῖς] Seidler, ἐμαῖσι *LG* 1222 sq. κατηρξάμην mut. in κατηρξάμαν *L*, κατηρξάμαν *G*, ματέρος κατηρξάμαν φάσγανον Nauck (φάσγανον iam Burges) | δέλας (δέρας *g*) μαθείς *G* 1224 δ' ἐπεγκέλευσα] Musgrave, δ' ἐπεκέλευσα *L*, δέ γ' ἐπεκέλευσα *l*, δ' ἐπικέλευσα *G* 1225 ἐφηψάμαν] Seidler, ἐφηψάμην *LG* 1226 δεινότατον *LG*, ὦ δεινότατον *l* 1227 *ΟΡ.*] Seidler, notam om. *LG* | μέλεα κάλυπτε Weil | ματέρος *LG*, ματρός *l* 1228 καὶ om. *LG*, addidit Seidler (συγκαθάρμοσον Weil) 1229 ἆρα *LG*, ἄρα *l* 1230 φίλᾳ . . φίλᾳ] Reiske, φίλαν *LG* | καὶ οὐ *LG*, κοὐ *l* 1231 φάρη Weil | τάδ'] Kirchhoff, γ' *LG*, δέ γ' *l* 1232 *ΧΟ.*] hic om. et versui proximo praescr. *LG*, corr. Kirchhoff | μεγάλων *LG*, μεγάλων τε *l*

*τῶν οὐρανίων· οὐ γὰρ θνητῶν γ'*
*ἥδε κέλευθος· τί ποτ' ἐς φανερὰν*
*ὄψιν βαίνουσι βροτοῖσιν;*

ΔΙΟΣΚΟΥΡΟΙ.

*Ἀγαμέμνονος παῖ, κλῦθι· δίπτυχοι δέ σε*
*μητρὸς καλοῦμεν σύγγονοι Διόσκοροι,*
*Κάστωρ κασίγνητός τε Πολυδεύκης ὅδε.*
*δεινὸν δὲ ναὸς ἀρτίως πόντου σάλον*
*παύσαντ' ἀφίγμεθ' Ἄργος, ὡς ἐσείδομεν*
*σφαγὰς ἀδελφῆς τῆσδε, μητέρος δὲ σῆς.*
*δίκαια μέν νυν ἥδ' ἔχει· σὺ δ' οὐχὶ δρᾷς,*
*Φοῖβος δ' ἄφοιβος — ἀλλ' ἄναξ γάρ ἐστ' ἐμός,*
*σιγῶ· σοφὸς δ' ὢν οὐκ ἔχρησέ σοι σοφά.*
*αἰνεῖν δ' ἀνάγκη ταῦτα· τἀντεῦθεν δὲ χρὴ*
*πράσσειν ἃ μοῖρα Ζεύς τ' ἔκρανε σοῦ πέρι.*
*Πυλάδῃ μὲν Ἠλέκτραν δὸς ἄλοχον ἐς δόμους,*
*σὺ δ' Ἄργος ἔκλιπ'· οὐ γάρ ἐστι σοι πόλιν*
*τήνδ' ἐμβατεύειν, μητέρα κτείναντα σήν.*
*δειναὶ δὲ Κῆρές σ' αἱ κυνώπιδες θεαὶ*
*τροχηλατήσουσ' ἐμμανῆ πλανώμενον.*
*ἐλθὼν δ' Ἀθήνας Παλλάδος σεμνὸν βρέτας*
*πρόσπτυξον· εἵρξει γάρ νιν ἐστομωμένας*
*δεινοῖς δράκουσιν ὥστε μὴ ψαύειν σέθεν,*
*γοργῶφ' ὑπερτείνουσά σου κάρᾳ κύκλον.*
*ἔστιν δ' Ἄρεώς τις ὄχθος, οὗ πρῶτον θεοὶ*
*ἕζοντ' ἐπὶ ψήφοισιν αἵματος πέρι,*
*Ἁλιρρόθιον ὅτ' ἔκταν' ὠμόφρων Ἄρης,*
*μῆνιν θυγατρὸς ἀνοσίων νυμφευμάτων,*

---

1235 *γ'*, quod in *L* proximo versui praescriptum est, om. *G* 1238 „his rectius Castoris personam praescripseris; nam is loquitur" Bothe 1239 *μητρὸς καλοῦμεν*] Cobet, *καλοῦσι μητρὸς LG*. Cfr. Hel. 1644 1240 *κάστορ LG*, *κάστωρ g* 1241 *ναυσὶν* Barnes 1242 *εἰσείδομεν*] Victorius, *εἴδομεν LG* 1244 *μέν νυν*] Barnes, *μὲν νῦν LG* 1245 *δ' ἄφοιβος*] scripsi, *τε φοῖβος LG* (*δὲ* in rep. ed. Vict.) 1251 *κτείναντι* Scaliger 1252 *σ'*] om. *LG*, addidit L. Dindorf 1255 *ἐστομωμένας*] Kirchhoff, *ἐπτοημένας LG* 1257 *γοργῶπα LG*, *γοργῶπ' lg* | *σῷ κάρᾳ* (vel *σοῦ κρατὸς*) Elmsley 1258 *ἔστι LG*, *ἔστιν g* | *Ἄρεώς*] Seidler, *ἄρεος LG* 1260 *ἀλλιρρόθιον LG*, *ἀλιρρόθιον l* 1261 delet Herwerden

*πόντου κρέοντος παῖδ', ἵν' εὐσεβεστάτη*
*ψῆφος βεβαία τ' ἐστὶν ἔκ γε τοῦ βροτοῖς.*
*ἐνταῦθα καὶ σὲ δεῖ δραμεῖν φόνου πέρι.*
*ἴσαι δέ σ' ἐκσώσουσι μὴ θανεῖν δίκῃ*
*ψῆφοι τεθεῖσαι· Λοξίας γὰρ αἰτίαν*
*ἐς αὑτὸν οἴσει, μητέρος χρήσας φόνον.*
*καὶ τοῖσι λοιποῖς ὅδε νόμος τεθήσεται,*
*νικᾶν ἴσαις ψήφοισι τὸν φεύγοντ' ἀεί.*
*δειναὶ μὲν οὖν θεαὶ τῷδ' ἄχει πεπληγμέναι*
*πάγον παρ' αὐτὸν χάσμα δύσονται χθονός,*
*σεμνὸν βροτοῖσιν εὐσεβὲς μυστήριον·*
*σὲ δ' Ἀρκάδων χρὴ πόλιν ἐπ' Ἀλφειοῦ ῥοαῖς*
*οἰκεῖν Λυκαίου πλησίον σηκώματος·*
*ἐπώνυμος δὲ σοῦ πόλις κεκλήσεται.*
*σοὶ μὲν τάδ' εἶπον· τόνδε δ' Αἰγίσθου νέκυν*
*Ἄργους πολῖται γῆς καλύψουσιν τάφῳ.*
*μητέρα δὲ τὴν σὴν ἄρτι Ναυπλίαν παρὼν*
*Μενέλαος, ἐξ οὗ Τρωικὴν εἷλε χθόνα,*
*Ἑλένη τε θάψει· Πρωτέως γὰρ ἐκ δόμων*
*ἥκει λιποῦσ' Αἴγυπτον οὐδ' ἦλθεν Φρύγας·*
*Ζεὺς δ', ὡς ἔρις γένοιτο καὶ φόνος βροτῶν,*
*εἴδωλον Ἑλένης ἐξέπεμψ' ἐς Ἴλιον.*
*Πυλάδης μὲν οὖν κόρην τε καὶ δάμαρτ' ἔχων*
*Ἀχαιίδος γῆς οἴκαδ' ἐσπορευέτω*
*καὶ τὸν λόγῳ σὸν πενθερὸν κομιζέτω*
*Φωκέων ἐς αἶαν καὶ δότω πλούτου βάρος·*
*σὺ δ' Ἰσθμίας γῆς αὐχέν' ἐμβαίνων ποδὶ*
*χώρει πρὸς ὄχθον Κεκροπίας εὐδαίμονα.*

---

1262 *παῖδα G* 1263 *γε*] Schaefer, *τε LG* | *ἐκ τούτου* Pierson | *βροτοῖς*] Kirchhoff, *θεοῖς LG.* Fort. *ψῆφος κέκρανται τοῖς μιαιφόνοις βροτῶν* 1265 *ἐκσώσουσι*] Porson, *ἐκσώζουσι LG* | *μὴ θανεῖν δίκῃ*] fort. *μὴ ἁμαρτεῖν δίκης* 1267 *αὑτὸν*] Victorius, *ταυτὸν LG* 1270 *πεπληγμέναι*] fort. *δεδηγμέναι* 1271 *χάσμα*] Victorius, *φάσμα LG* 1272 *εὐσεβὲς*] *ἀστιβὲς* Reiske | *μυστήριον*] Hartung, *χρηστήριον LG.* Cfr. 87 1275 *δέ σου LG* 1276 *εἶπον*] *αὐδῶ* Nauck. Cfr. Phoen. 778 1277 *τάφῳ*] *σκότῳ* Nauck 1280 *θάψει*] Victorius, *θάψῃ LG* 1281 *ἦλθε LG* 1284 *κόρην τε καὶ*] fort. *σὴν σύγγονον* 1285 *ἐκπορευέτω* Reiske 1289 *ὄχθον*] Valckenaer, *οἶκον LG*

ἢ γῆς πατρίας ὅρον ἐκλείπειν;
ΟΡ. ἀλλ' ἐγὼ οἴκων ἔξειμι πατρὸς
καὶ ἐπ' ἀλλοτρίαις ψήφοισι φόνον
μητρὸς ὑφέξω.
ΔΙ. θάρσει· Παλλάδος
ὁσίαν ἥξεις πόλιν· ἀλλ' ἀνέχου.
ΗΛ. περί μοι στέρνοις στέρνα πρόσαψον,
σύγγονε φίλτατε·
διὰ γὰρ ζευγνῦσ' ἡμᾶς πατρίων
μελάθρων μητρὸς φόνιοι κατάραι.
ΟΡ. βάλε, πρόσπτυξον σῶμα· θανόντος δ'
ὡς ἐπὶ τύμβῳ καταθρήνησον.
ΔΙ. φεῦ φεῦ· δεινὸν τόδ' ἐγηρύσω
καὶ θεοῖσι κλύειν.
ἔνι γὰρ κἀμοὶ τοῖς τ' οὐρανίδαις
οἶκτοι θνητῶν πολυμόχθων.
ΟΡ. οὐκέτι σ' ὄψομαι.
ΗΛ. οὐδ' ἐγὼ ἐς σὸν βλέφαρον πελάσω.
ΟΡ. τάδε λοίσθιά μοι προσφθέγματά σου.
ΗΛ. ὦ χαῖρε, πόλις·
χαίρετε δ' ὑμεῖς πολλά, πολίτιδες.
ΟΡ. ὦ πιστοτάτη, στείχεις ἤδη;
ΗΛ. στείχω βλέφαρον τέγγουσ' ἁπαλόν.
ΟΡ. Πυλάδη, χαίρων ἴθι, νυμφεύου
δέμας Ἠλέκτρας.
ΔΙ. τοῖσδε μελήσει γάμος· ἀλλὰ κύνας
τάσδ' ὑποφεύγων στεῖχ' ἐπ' Ἀθηνῶν·
δεινὸν γὰρ ἴχνος βάλλουσ' ἐπὶ σοὶ
χειροδράκοντες χρῶτα κελαιναί,

---

1315 πατρίας] Schaefer, πατρῴας *LG* | ἐκλείπειν] Heath, ἐκλιπεῖν *LG* 1317 φόνον] fort. δίκην 1319 sq. ἥξεις ὁσίαν Monk | ὁσίαν, θάρσει, Παλλάδος ἥξεις Weil | ἀνέχου] fort. ἀνσχοῦ 1321 φέρ' ἐμοῖς στέρνοις Heimsoeth 1323 πατρίων] Schaefer, πατρῴων *LG* 1327 *ΔΙ.*] Victorius, *ΗΛ. LG* 1329 κἀμοὶ] fort. καὶ νῷν (cfr. A. Soph. em. p. 185) 1331 *ΟΡ.* et 1332 *ΗΛ.* praescripsit *l* 1333, 34, 36, 37, 40 personarum notae in *G*, lineolae in *L* excepto v. 1340, ubi lineola deest 1333 προσφέγματα *G* 1335 πολλαὶ *G* 1340 νύμφευσον olim Nauck 1342 *ΔΙ.* om. *LG*, add. *lg* 1344 βάλλουσ'] fort. βαίνουσ' 1345 fort. χαιτοδράκοντες

*δεινῶν ὀδυνῶν καρπὸν ἔχουσαι·*
*νὼ δ' ἐπὶ πόντον Σικελὸν σπουδῇ*
*σώσοντε νεῶν πρῴρας ἐνάλους.*
*διὰ δ' αἰθερίας στείχοντε πλακὸς*
*τοῖς μὲν μυσαροῖς οὐκ ἐπαρήγομεν,*
*οἷσιν δ' ὅσιον καὶ τὸ δίκαιον*
*φίλον ἐν βιότῳ, τούτους χαλεπῶν*
*ἐκλύοντες μόχθων σῴζομεν.*
*οὕτως ἀδικεῖν μηδεὶς θελέτω*
*μηδ' ἐπιόρκων μέτα συμπλείτω·*
*θεὸς ὢν θνητοῖς ἀγορεύω.*
*ΧΟ.* *χαίρετε· χαίρειν δ' ὅστις δύναται*
*καὶ ξυντυχίᾳ μή τινι κάμνει*
*θνητῶν, εὐδαίμονα πράσσει.*

---

1348 *σῶσον τε* *LG*, *σώσοντε* *g* | *ναῶν* *LG*, *νεῶν* *l* | *ἐνάλους*] Grotius, *ἐναύλους* *LG* 1349 *πλάκας* Lenting 1351 *οἷσι* *LG*, *οἷσιν* *l* | *ὅστις δ' ὅσιος* Reisig 1354 *μηθεὶς* *LG*, *μηδεὶς* *R* 1359 *πράσσει*] in rep. ed. Victoriana, *πράσσειν* *LG*

Subscr. *τέλος τῆς εὐριπίδου ἠλέκτρας* *L*, *τέλος εὐριπίδου ἠλέκτρας* *G*.

Ex Electra Euripidis adfertur apud Stobaeum fl. 49, 4 fragmentum (850 N.)

*ἡ γὰρ τυραννὶς πάντοθεν τοξεύεται*
*δεινοῖς ἔρωσιν, ἧς φυλακτέον πέρι,*

cui sententiae nullus locus fuerit in hac fabula. Cfr. Herc. 65 sq.

# APPENDIX

## coniecturas minus probabiles continens.

---

1 ὦ γῆς παλαιὸν εὖχος Musgrave, ὦ τρισπάλαιον Ἄργος Reiske, ὦ γῆς παλαιὸν ἀρχός Bothe, ὦ γῆς παλαιὸν ἄγκος (vel ἄγγος) Camper, qui praeterea Ἰνάχου ῥοαί θ' vel Ἰνάχου θ' ὅροι proponit, πάλαι πολιστὸν Ἄργος coll. Hesych. πάλαι πόλις τὸ παλαιὸν Ἄργος Nauck, ὦ γῆς παλαιὸν δάπεδον olim Weil, ὦ γῆς παλαιὸν πεδίον F. Schöll, ὦ γῆς παλαιὸν ὅριον Rauchenstein, ὦ γῆς παλαιὸν ἕρκος Vitelli, ὦ γῆς Πελασγῶν Ἄργος Semitelos, ὦ γῆς παλαιὸν ἄνθος Keene | ὦ τοῦ παλαιοπάτορος Ἰνάχου ῥοαί Schenkl, ὦ γῆς παλαιὸν ἄγκος Ἰνάχου ῥοαῖς (vel Ἰνάχου τροφαί) Weil | Ἰνάχου γύαι Schneidewin, Ἰνάχου πόαι Wieseler 2 Ἄρην Porsonum secutus Seidler 4 Ἰλίᾳ Bothe, Ἰλίῳ Camper 9 πρὸς] ἐκ Porson, ὑπὸ Camper | ἐκ Κλυταιμνήστρας δόλου Weil | δόλῳ] ὁμοῦ F. Gu. Schmidt 10 Αἰγίσθου χερί] αἰσχίστῳ μόρῳ C. Haupt. Versum delebat olim Weil. Hunc versum et 15, 18, 26, 29, 30, 32, 33, 35—38 (in v. 34 ἡμῖν λέχη δίδωσιν Ἠλέκτρας ἔχειν scribens), 45, 46, 47—49 delet Klinkenberg

11 παλαιὰ] πατρῷα Camper 15 Ἠλέκτραν Dobree. Versum delet Steinberg

22 παῖδ' ἀπ' Ἀργείων Bothe, παῖδά γ' Ἀργείων Camper, παῖδ' ὑπ' Ἀργείων Paley, τέκνον Ἀργείων M. Schmidt 23 Ἀγαμέμνονός τ' ἀμύντορ' Camper | ποινάμαι' vel ποινήν ποτ' Fix | ποινάτορας τοῦ πατρὸς εἶχεν ἐν δόμοις Oelschlaeger | ποινάτοράς σφ' εἶχ' ἐν Pierson, ποινάτοράς γ' εἶχ' ἐν Heath 25 δὲ κἀνταῦθ' ἦν .. πλέως Camper 26 delet Nauck 27 (κτανεῖν σφ' ἐβουλεύσατ' ὠμόφρων, ἡ δ' ὅμως Victorius), κτανεῖν σφ' ἐβούλετ' ὠμόφρων· κακὴ δ' ὅμως Aem. Portus, κτανεῖν ἐβούλευσ' ὠμόφρων νιν· ἡ δ' ὅμως Scaliger, κτανεῖν σφ' ἐβούλετ' ὠμόφρων· ἡ δ' οὖν ὅμως Reiske, κτανεῖν σφ' ἐβούλευσ' αὖτις (αὐτός A. Sander)· ὠμόφρων δ' ὅμως Musgrave, κτανεῖν σφ' ἐβούλευσ'· ἀλλὰ κ' ὠμόφρων ὅμως Camper, κτανεῖν σφ' ἐβούλευσ'· ὠμόφρων δ' οὖσ' ἀλλ' ὅμως Hartung 30 φόνον θείη Burges, μιανθείη Nauck | glossam μεμφθείη in μωμηθείη corrigit Camper

32—34 Αἴγισθος Ἠλέκτραν διδοὺς ἡμῖν ἔχειν (ceteris deletis) Arnim 33 εἶπεν ἢν θάνῃ Camper 35—38 delet Lueders. 35 πατέρων] προτέρων Bothe 36 οὐδὲ Dobree 38 πένησι δ', deleto v. 37, Schenkl 39 delet Wilamowitz 40 ἔσχεν] ἔλαχεν Camper

42 ἀνῆλθεν C. Haupt | ποτέ Reiske 43 ξύνοιδέ τοι Camper 44 ᾔσχυνον Camper | ἔχρωσεν εὐνῇ Rauchenstein, ἔσχε ξύνευνον Semitelos. Versum delet Nauck 45 sq. delet Schenkl 47 λόγῳ γε Camper 50—53 delet Steinberg

*ἰαχὰν ἀοίαν* Beck | *ἰακχὰν ἄλυρον μέλος ἀΐδα* Camper, *ἰακχὰν φθιμένων μέλος τ' Ἀΐδα* Fix 143 sq. *ἰακχὰν Ἀΐδα, μέλος Ἀΐδα, πάτερ, σοὶ κατὰ γᾶς ἐνέπω γόους* Hermann, *ἰακχάν, ἀΐδα μέλος, σοί, πάτερ, κάτω γᾶς ἐνέπω γόους* Hartung, *ἰαχάν, Ἀΐδα μέλος, κάτω γᾶς ἐνέπω γόους, πάτερ, σοί* Weil, *ἰακχὰν μέλος Ἀίδα ⟨δύσθροον⟩. πάτερ, σοὶ κατὰ γᾶς ἐνέπω λύπας* et in v. proximo *αἷς* I. H. H. Schmidt 143 sqq. *ἀχοῦσ' ᾠδὴν μέλος Ἀίδα σοὶ πάτερ κατὰ γᾶς ἐνέπω γόους, οἷς αἰὲν τὸ κατ' ἆμαρ τείρομαι, κατὰ μὲν φίλαν τεμνομένα δέραν ὄνυχι, χερί τε κρᾶτ' ἐμὸν κούριμον δρυπτομένα θανάτῳ σῷ πάτερ αἰαῖ αἰαῖ δρύπτε κάρα* R. Glaser 144 *κάτω γᾶς ἐνέπω* Seidler | *ἐνέπω*] *πέμπω* Nauck | *γόους*] *πόνους* Camper 145 sq. *οἷς . . μέλπομαι* F. Gu. Schmidt 146 *τάκομαι* vel *ἔγκειμαι* Dindorf, *δάπτομαι* vel *δρύπτομαι* Schenkl, *δεύομαι* Hirschwaelder, *νωπέομαι* F. Schöll

147 *δέρας* E. P. Coleridge 148 *χερί* Heath, *χεῖρα* Rauchenstein | *δὲ* Dindorf 150 *ἐή* Dindorf, *ἐὴ ἐή* Paley

152 *ποταμίοις ⟨καθαροῖς⟩* R. Glaser 157 *χροΐ* delet R. Glaser 159 *ἰώ μοι, ἰώ μοι* Seidler 160 *μὲν* delendum vel verba sic transponenda: *πικρᾶς μὲν τομᾶς σᾶς πελέκεως,·πάτερ* censet Seidler, *σᾶς, πάτερ, φονίου* Kirchhoff 160 sq. *τομᾶς, πικρᾶς . . ὁδοῦ, πάτερ, σᾶς* Weil

161 *ὁδοῦ ἀβουλίας* Seidler, *ὁδίου βουλᾶς* Hermann, *καθόδου βουλᾶς* Camper | *βουλᾶς*] *παύλας* Musgrave, delet Hartung. Pro *βουλᾶς* ex v. superiore *σᾶς, πάτερ* (et in v. 144 *γόους ἐννέπω*) scribit Walberg 161 sq. *βουλαῖς, οὐ μίτραις σε γυνὴ* Bothe 162 *οὐ μίτραις σὲ γυνή τοι* Camper | *οὐ μύροισι* Herwerden. Etiam *γυνὴ σὴ* Seidler 163 *οὐδ' ἐπὶ συμπλοκαῖς* I. H. H. Schmidt 164 *λυγράν σ'* Hartung 164 sq. *λυγρὸν φόνον ἐπ' ἀνέρι μωμένα* Nauck, *λυγρὰν δ' Αἴγισθον λώβαν θέμενα* Kirchhoff, *λυγρὸν θάνατον ᾧ θεμένα πόσει* J. H. H. Schmidt 165 *Αἰγίσθου*] *πόσιν ἐὸν* Oelschlaeger | *Αἰγίσθου θεμένα λώβαν* Paley, *Αἰγίσθου θεμένα λαβὰν* Weil, *Αἰγίσθῳ θεμένα χάριν* Rauchenstein, *Αἰγίσθῳ λώβαν θεμένα* Gloël

168 *ἀγρότερον* Musgrave 169 *ἔμολέν τις, ἔμολεν γαλακτόποτος ἀνήρ* Heath, *ἔμολεν, ἔμολέ τις γαλακτοπότας ἀνήρ* Camper, *ἔμολ' ἐπ' ἄνακτ' ἄποπτος ἀνήρ* O. Goram | *γαλακτοπότας*] *γὰρ ἀγροβότας* Gu. Hoffmann, *γαλακτοκόμους* Herwerden 169 sq. *ἔμολε παρ' ἐκτοπίους . . οὐριβάτας* (ut acc. plur.) olim Herwerden

173 *Ἀργεῖαι* (vel *Ἀργείαν*) *δ' ἀθρόαι παρ'* olim Weil 178 *τλάμων, οὐδὲ χοροστατοῦσ'* (vel *οὐδὲ βᾶσα χορούς*) Camper | *στᾶσα χοροῖς* Seidler, *χοροῖσι στᾶσ'* vel *χοροὺς ἱστᾶσ'* (et 201 *οἴμοι καπφθιμένου πατρὸς*) olim Kirchhoff 179 *Ἀργείοις* Barnes

181 *δάκρυσι χορεύω* Porson 184 *σκέψαι κόμαν μου πιναράν* Musgrave 186 *κούρᾳ 'στὶν* J. H. H. Schmidt | *κούρᾳ τᾷ βασιληΐᾳ* Seidler 186 sq. *εἴπερ ποτ' Ἀγαμέμνονος γηράσκει βασιλεία τὰ Τροίᾳ θ'* Musgrave 186 sqq. *εἴπερ ποτ' Ἀγαμεμνονίας κούρας τᾶς βασιλείας τᾶς Τροίας θ' ἁμοῦ πατέρος μέμνασαί ποθ' ἁλούσας* Bothe 187 sq. *κούρᾳ καὶ βασιλείᾳ τᾶς Τροίας ἃ 'μοῦ πρὶν πατέρος* Camper 190 *ἴθι ⟨δή⟩* Hartung

191 *κἂν παρ' ἐμοῦ χρήσῃ* R. Glaser | *καὶ παρ' ἐμοῦ σχήσεις πολύπην' εἵματά τ' ἐνδῦναι* J. H. H. Schmidt | *πολύπηνα φάρεα δῦναι* Fix, *φάρε' ἐν πολύπηνα δῦναι* Schenkl, *πολύπηνα φάρε' ἐνδῦναι* Eichler 192 *χρύσεά τε περιθέματ' ἀγλαΐας χάριν* J. H. H. Schmidt | *χάρισι*] *ἐπὶ κάρᾳ* Camper, *φάρεσι* olim coniciebam | *προσχήματ'* Reiske, *πρόσημά τ'*

O. Goram | ἀγλαΐᾳ Gu. Hoffmann 193 δοκεῖς τοῖς σοῖσιν δακρύοις Seidler, δοκεῖς τοῖς δακρύοισι σοῖς Hartung, δοκεῖς που δακρύοισι σοῖς olim Weil, τεοῖς ἢ δακρύοις δοκεῖς (et 170 ὀρειβάτας) M. Schmidt 196 εὐχαῖς τὰ θεῖα Weil 199 οὐ] ὦ Dobree, ἐκ Weil 199 sq. παλαιῶν] μέλει τῶν olim coniciebam

201 τοῦ τε καπφθιμένου Elmsley, τοῦ φθιμένου κάρα Camper 202 ζῶντος, ἀλάτας Camper | ἀλάτα] ἀλαστῶ Weil 207 δόμοις] γάμοις Pierson 208 ναίω] κλαίω Pierson 209 φυγαῖς Camper 210 οὐρείας κατ' ἐρίπνας Hermann, οὐρείαις πλαθεῖσ' ἐρίπναις vel οὐρείας πλάθουσ' ἐρίπνας Camper, ναίουσ' οὐρείας ἐρίπνας Fritzsche, βουναίους ἀν' ἐρίπνας M. Schmidt

211 sq. πατρὸς δ' . . ἁβρῶς ξύγγαμος Camper 216 παρ' ὄχθον Camper | παρ' οἶμον (sic in apogr. Paris.) οἶδ' ἀφεστίους (olim ἐξαισίους) Weil | οἶδε φωρίους O. Jahn, οἶδε ληστικὰς L. v. Sybel 218 καθ' οἶμον M. Schmidt 219 πανούργους Nauck | ποδί] πάλιν Reiske, ποδός Hartung

221 fort. κτανεῖν 222 ἀλλ' ἂν κτάνοιμ' ἂν . . ἐχθίω Camper | κτάνοιμ' ἂν Barnes 225 κλῶπες ξιφήρεις . . λοχῶσ' Burges | πρὸς δόμους λοχᾷς ἐμούς; Camper 226 ἀνστᾶσ' ἄκουσον Burges

231 ἥδιστον φέρων F. Gu. Schmidt 232 κοινῇ διδοίη . . ἀμφοῖν τύχη vel κοινῇ δ' ἴδοιμι . . τυχὸν F. Gu. Schmidt | ἀμφοῖν λαβεῖν Vitelli 233 ἔχων] στένων Camper 235 οὐκ οὖν σπανίζων Camper 236 ἀσθενὴς δ' ἅπας Kirchhoff, ἀσθενής δέ τοι olim Nauck, ἀσθενῆ δ' ἅπερ Weil 238 ὅπου . . κυρεῖς Nauck | ἔχῃ Madvig

242 δάκνει σ' ὅμαιμος Camper 243 τί δ' αὖ μοι Lenting | (τί μοί γε τῶνδ' ἂν εἴη Camper) 245 ἀπὼν γε Camper 247 γάμον ἀνάξιον vel φίλ', ἄσημον (vel ἄτιμον) γάμον F. Gu. Schmidt, ἀνώνυμον γάμον Stadtmueller, θητικὸν γάμον olim coniciebam 248 δυσώνυμόν τινα Camper, Μυκηναῖόν τινα C. Haupt 249 οὐχ ὡς Victorius, ᾧ γ' οὐ Camper

251 sq. delet Steinberg 251 ἐκεῖνος . . ναίει M. Schmidt | ἐν τοῖσδ' ἐλεινοῖς O. Lueders | τηλορὸς] τῇδ' ὅρους Pierson, γηπόνου Heath, τῆλ' ὅρος Seidler, γ' ἄλοχος Vitelli | ἐν τοῖσδε ναίει τοῖσι τηλουροῖς δόμοις Hartung, ἐν τοῖσδε κλεινοῖς γημόρος ναίω (vel ναίει) δόμοις O. Jahn, ἐν τοῖσδ' ἐλεινῇ τηλοροῖς ναίω δόμοις Kvíčala 252 ἄξιοι δόμον Musgrave, ἄξιος γάμων Camper 253 πένης γ', ἀτὰρ Wilamowitz 256 ἢ σ' ἄγαν τίων F. Gu. Schmidt, ἢ σέ γ' ἀξιῶν Kvíčala 258—61 delet O. Lueders

262 delebat olim Nauck 268 ὡς παῖδα δῆθεν . . κοινάτορα Elmsley | ὡς δῆτα πατρὸς Camper, ἔδεισε παῖδας Semitelos

271 οὔτοι γε· σιγῇ Camper 273 καλῶς] 'σφαλῶς Camper 275 ἧκον τόδ' αἰσχρόν γ' Camper | αἰσχρὸν] ἄφρον Musgrave | οὐ γὰρ οὖν Elmsley 276 ἐλθὼν] λαθὼν Musgrave | δὲ πῶς ἂν φονέας αὖ Camper 279 ταὐτῷ τε πελέκει γ' ᾧ Pierson

282 φεῦ delet hic et 367, 968 Naber 287 γέρων γε . . ἀρχαῖος πατρός Camper 289 ὡς] ὧν γ' Camper

296 γνώμης μετεῖναι . . λίαν σοφῆς Camper 297 τῷδ' ἱερὸν ψυχῇ στέγω vel τῷδε ῥοῦν ψυχῆς ἔχω Beck

304 σαυλίζομαι Reiske, αὐαίνομαι Weil, φαυλίζομαι Herwerden, ἀγλάζομαι Tucker 308 γυμνὸν ἔξω O. Goram | κἀστερήσομαι Nauck, καὶ φθαρήσομαι Rauchenstein, καἰδεσθήσομαι Vitelli

311—13 delet A. Steinberg 311 ἀναίνομαι γυναῖκας οὖσα παρθένος Barnes, ἀναίνομαι νυμφεύματ' οὖσα παρθένος Camper, αὑαίνομαι δὲ γυμνὰς οὖσα παρθένος Vitelli. Versum delet Dindorf 312 Κάστορ' (i. e. Κάστορε) ὦ Scaliger 312 sq. ὃς πρὶν . . ἔμ' ἐμνήστευεν Nauck 315 θρόνον κάθηται vel θρόνῳ 'γκάθηται Schliack | ἕδρασμ' Camper | ἕδραισι ληῖδες vel ἕδραις ληίτιδες M. Schmidt | Ἀσιάτιδες L. Dindorf 316 ἅς γ' Camper 319 σεσηπός Weil, πέπηγεν Herwerden

324 οὐπώποτε χοὰς Pierson | οὔπω χοάς, οὐ κλῶνα μυρσίνης ποτὲ Hermann, χοῆς οὐπώποτ' οὐδὲν οὐδὲ μυρσίνην Camper 327 λέγουσιν] δὴ κλεινός Tucker 328 μνῆμα] σῆμα Camper 329 suspectum habet Vitelli 330 τύμβῳ 'ν καλῷ Vitelli

333 ἑρμηνεὺς δέ γ' εἷς Weil 334 γλῶσσ' — ἡ ταλαίπωρός γε φρὴν Camper 335 εἷς τ' ἐκεῖνος ὤν M. Schmidt, ὅ τε πίνος πέπλων Herwerden, ὅ τε πίνος τριχῶν Mekler, ὅ τε πίνος ῥακῶν F. Gu. Schmidt, ὅ τε κλεινὸς τεκὼν Weil, ὅ τε κοινὸς τεκὼν Keene (mallem ὅ τε κεύθων κάτω), ὅ τ' ἐκείνου τάφος olim coniciebam 337 κρατεῖν Camper

343 ἢ τοῦ Geel

351 sq. delet Schenkl, 352 delet, in v. 351 εἰ καί τι πατρὸς ἐμῶν τε scribens, Lachmann 352 ἐλπίσι γε ταῦτ' Camper 353 τίνα πορεύοντες Reiske 358 ἀρεστῶν λόγων Vitelli

361 ναὶ μηδὲν Paley 369—72 delet Vitelli (371 sq. iam Schenkl) 369 γενναίου 'κ Dobree

371 λοιμὸν Scaliger, ῥύπον Nauck, λῆρον Rauchenstein, δειμὸν Keene 372 πένητος ὄμματι Rauchenstein 374 τἄρα Seidler 375 ἢ τῷ πεπᾶσθαι Herwerden 376—79 delet Holthoefer 376 κακά Hartung 378 ὅστις ἀγαθός ἐστι δή Naber, ὅστις ἐστὶ χέρ' ἀγαθός F. Gu. Schmidt 379 κράτιστ' ἂν εἴη Burges (εἴη iam Toup)

381 ὀγκούμενος Musgrave 382 τοῖς τε πολλοῖς Victorius, τοῖσι πολλοῖς olim Nauck, τοῖς τρόποισιν Heimsoeth 383 μὴ φρενώσεσθ' Kvičala, μὴ φθονήσεσθ' Madvig, μὴ σφαλήσεσθ' Heimsoeth 384 πλήρεις] λήρῳ Camper 386—90 aliunde illatos putat Wilamowitz 389 μένει] θένει Tyrwhitt

394 Πυλάδη, δόμων Camper 395 πρότιμος Lobeck | ξένος] φίλος Camper

401 πάροιθε Fix 409 τροφέ' Elmsley | ἐμοὶ φίλον Kayser, ἐμὸν κἀμοῦ A. Mau 410 Τανὸν Barnes, Ταναὸν Heath, Τᾶνος Dindorf

413 δ' αὖ τόνδ' . . ἀφιγμένον Seidler, δ' αὐτὸν τῶνδε δόμον ἀφιγμένων Madvig, δ' αὐτὸν τῶνδε δεῦρ' ἀφιγμένων Heimsoeth, δ' αὐτὸν εἰς δόμους ⟨μάλ' αὐτίκα⟩ Stauridis ἀφιγμένος Musgrave 418 sq. κέλευε δ' αὐτόν, εἰς δόμους ἀφιγμένων ἐλθεῖν ξένων κεἰς . . τινα Camper, κέλευε δ' αὐτὸν τῶνδ' ἀφιγμένων δόμους ἐλθὼν ξένων εἰς . . τινα Kirchhoff, κέλευε δ' αὐτὸν δαῖτα πορσῦναί τινα (δαιτὶ πορσύναντά τι malit Nauck) ἐλθεῖν ξένων τῶνδ' εἰς δόμους ἀφιγμένων Czwalina, κέλευε δ' αὐτὸν τῶνδ' ὁμοῦ σ' ἀφιγμένων ξένων μολόντ' εἰς δαῖτα πορσῦναί τινα M. Schmidt, κέλευε δ' αὐτόν, τῶνδ' ἀφιγμένων, δόμους ἐλθεῖν ξένιά τ' εἰς δαῖτα πορσῦναί τινα Weil, κέλευε δ' αὐτὸν εἰς δόμους ἀφιγμένων τῶνδε ξένων εἰς . . τινα Kayser, κέλευε δ' οὖν τῶνδ' εἰς δόμους ἀφιγμένων ἐλθεῖν ξένιά τ' εἰς . . τινα Vitelli, κέλευε δ' αὐτὸν εἰς δόμους ἀφιγμένων ἐσθλῶν ξένων πρὸς δαῖτα πορσῦναί τι νῷν F. Gu. Schmidt, κέλευε δ' αὐτὸν τῶνδ' ἀφιγμένων δόμους ἡμῖν ξένων εἰς . . τινα Nauck,

*τήνδ' ὀρθίαν ὄχλον φέρει* Kayser | *τήνδ' ὀρθίαν τὸ δῶμ'* (vel *οἴκημ'*) olim coniciebam 490 *προσστείχειν* Hartung, *παραφόρῳ* Bruhn

496 *στεγανῶν τε τευχέων ἐξελὼν* Reiske 497 *παλαιόν*] *πολιοῦ* Pierson, *γραῖον* Thiersch, *γέρον* Seidler, *παλεόν* olim Dindorf, *πρέπον* Rauchenstein 498 *ὀσμῇ πανῆρες* Camper, *ὀσμῇ προσηνές* Hartung, *ἀσκῷ κατῆρες* Schenkl, *ὀσμῇ κατανθές* C. Haupt, *ὀσμῇ σαπῆρες* (vel *σαπηρόν*) Keene 499 *τόδ'* Musgrave

501 sq. suspectos habet Camper 503 *τόδ'*] *σὸν* F. Gu. Schmidt 504 *διὰ χρόνου σ' ἐκίνησ' αὖ* vel *σ' ἀνεκίνησε διὰ χρόνου* Weil 505 *ὡς τὰς* Camper 508 *ἀνόνηθ'*] *οὐ δῆθ'* Sandford | *ὅμως δ' οὐ τοῦτό γ' οὐκ ἠνεσχόμην* Camper, *ὅμως δ' οὐ τοῦτο νῦν γ' ἀνέστενον* Rauchenstein | *οὐκ ἠγασσάμην* Reiske, *οὐκ ἐννσσόμην* Musgrave, *οὐκ ᾐσχυνόμην* Dobree, *ἐξηνεσχόμην* Weil, *οὐκ ἀναστένω* Schenkl, *οὐκ ἠλγυνόμην* Herwerden, *οὐ 'κηνυσσόμην* F. Schoell, *οὐκ ἠλγήσαμεν* vel *οὐδὲν ἠχθόμην* F. Gu. Schmidt, *που κῆρεσκόμην* (vel *κάρέσκομαι*) Vitelli, *οὐκ ἦν ἴσχ' ὅ με* olim coniciebam, *οὐκ ἐπῃσθόμην* Holzner | *τοῖσδέ γ' οὐκ ἐνεσχόμην* Stadtmueller. Post 508 lacunam (*ἔμολεν Ὀρέστης εἰς φίλων σωτηρίαν*) statuit Schenkl

516 *ἀνθρώπων*] *ἐμπόρων* vel in proximo v. *Ἀργεῖος* Camper 518—44 delet, post 549 lacunam statuens, A. Mau 519 *ἐθαύμασ'*] *ἐτίμησ'* Canter, *ἐπρέσβευσ'* Vitelli, *ἐκόσμησ'* J. Heiland | *ἀθλίου* Lenting, *ἀτίετον* Mekler. Versum delet Naber 520 sq. *σκέψαι δὲ καὐτῇ προστιθεῖσα σῇ κόμην, εἰ χρῶμα χαίτης* Camper

521 *χρῶμα ταὐτῇ* Reiske | *ἐστί(ν)* Musgrave 525 *εἰς τήνδ' αἶαν* Nauck 526 *εὐθαρσῆ*] *οὐ θάρσει* Camper, *εὔσπλαγχνον* Heimsoeth 527 *χαίτῃ* Camper

532—44 delet F. Gu. Schmidt 532 *οὐ δ' . . σκέψει;* C. Haupt 534 *πῶς δ' αὖ* Reiske 538 *οὐδ' ἔστιν* Weil, *ἄρ' ἔστιν* Nauck | *οὐκ ἔστιν, εἰ παρῆν . . μολὼν* Canter, *οὐκ ἔστιν, εἰ καὶ νῦν . . μόλῃ* Scaliger, *οὐκ ἔστιν, εἰ κεῖχεν . . μολὼν* Bothe, *εἰ δ' ἔστιν, ᾗ καὶ . . μολὼν* Camper, *οὐκ ἔστιν, εἰ ζῇ γῆν* (olim *σὸς ἦν*) *. . μολὼν* Hartung, *εἰ δ' ἔστιν οἴκοι νῦν . . μολὼν* Kayser, *εἰ δ' ἐστὶν ἤδη* (mallem *ἔμπας*) *γῆν . . μολὼν* Kirchhoff, *εἰ δ' οὖν ἐοίκοι . . μολεῖν* olim coniciebam. Servari posse *μολών*, si post haec verba versus unus exciderit, putat Matthiae 539 *κερκίδος ἔτ' οὐ* Kirchhoff, *κερκίδος ὅλως* Kayser

543 etiam *νῦν ἔχοι ταὔτ' ἂν* Barnes, *νῦν τάδ' ἄρ' ἔχοι* Bothe, *νῦν τὰ τότ' ἂν ἔχοι* Nauck, *νῦν γε ταὔτ' ἔχοι* Kirchhoff 545 *αὐτοῦ*] *οἶμαι* Camper 545 sq. post 531 transponit Paley, item scribens *ἀλλ' ἤ τις αὐτοὺς . . ἢ 'κ τῆσδ' ἐν σκότῳ μολὼν χθονός* Weil | *ἀλλ' ἢ τεκόντος πάθος . . ἢ τῆσδ' ἀστὸς εὐσεβῶν χθονός* F. Gu. Schmidt, *ἀλλ' ἤ τις αὐτοὺς . . ἢ 'κ τῆσδ' ἀσκόπως βαλὼν χθονός* Semitelos 546 *σκοποὺς λαθὼν ἐκεῖρατ' ἢ τῆσδε χθονός* Elmsley, *ἐκεῖρατ' ἢ τῆσδ' ἐκ χθονὸς σκότος λαβὼν* Dobree | *ἐκεῖρατ'* (*ἢ γῆς τῆσδέ τις σκοποὺς* vel potius) *εὖ γῆς τῆσδ' ἐπισκόπους λαθὼν* Gloël | *τῆσδ' αὖ* Hartung | *τῆσδ' ἄσκοπον* Faust | *σκοπὸς* Reiske 549 *λαιψηρὸν πόδα* Camper

564 *τί; τῶν . . ἤ τι* Musgrave, *πότερον ἀπόντων ἤ τι* Weil, *τι τῶν . . εἴτε* Semitelos 565 *λαβεῖν*] *κρατεῖν* vel *λαθεῖν* Musgrave, *λαθεῖν* Camper 566 *τί δ' οὖν καλῶ* Rauchenstein, *Ἅιδου καλῶ* O. Goram | *σὺ τί τάδ' αὖ λέγεις* Camper | *ἢ τί*] *ὅ τι σὺ* Kirchhoff, *σὺ δὲ τί* Weil, *ἤ τι* Walberg

571 *δρῶν* Victorius

582 *ἣν δ' ἐκσπάσωμαί γ'* Victorius, *ἣν ἐκσπάσωμαί γ'* Musgrave, *νῦν δὲ σπασαίμην γ'* Nauck, *ἣν εὖ σπασώμεθ'* sive *εἶθ' εὖ σπασαίμεθ'* Kirchhoff, *ἣν ἀνσπάσωμαί γ'* Weil, *ἣν δεσπόσωμεν* (et *οὗ* . . *βόλου* vel *ὧν* . . *βόλων*) M. Schmidt, *εὖ δὲ σπασαίμην* Madvig, *ἣν ἀρπάσωμεν* olim coniciebam, *ἣν εἰσπέσωσιν* (et *ὧν*) Holzner | *ἣν δ' ἀσπάσωμαι* * * * | * * * *ὃν μετέρχομαι βόλον* Mau, *ἣν δ' ἀνσπάσωμαί γ' ὃν* . . *βόλον*, lacunam post hunc v. statuens, Vitelli. Post 584 lacunam statuit Kvičala

586 *ἔδειξας*] fort. *ἔφλεξας* 586sq. *ἔλαμψας πόλει μέγαν πυρσὸν ὃς παλαιᾷ φυγᾷ* Paley 589 *ἔβα. σὲ θεὸς* Reiske 590sq. *ἁμέτερά τις ἄγει μέλαθρ'*, *ὦ* Blaydes

591 *ἐπὶ γᾶν, ὦ* Reiske, *νίκαν σ', ὦ* Camper 592sq. *ἄνεχε λόγον* delet Kayser 593 *ἴει χέρας λιτάς τ' εἰς θεοὺς* Camper 594 *λευκᾷ σοι τύχᾳ* Reiske 597 *δέ γ' αὖθις* Fix | *καὖθις ἄλλα* Camper 600 *τε κοινωνοῦσαν* Kirchhoff. Versum delet Wilamowitz

601 *ἐμμενὲς* Camper 602 *ὥσπερ ἀτυχεῖς* Kirchhoff, *ὥσπερ αἴδ' ἐμαί* Rauchenstein, *ὥσπερ ἂν τύχοι* Schenkl, *ὡς πατὴρ φθίνει* Herwerden, *ὥστ' ἔτ' εὐτυχεῖν* Holzner, *ὡς στερραὶ τύχαι* Stadtmueller. Versum suspectum habet A. Steinberg 603 *πῶς συγγένωμαι;* Porson 603sq. delet C. Baier 604 post 600 (olim etiam 602 post 605) collocat F. Gu. Schmidt 605 *δυστυχοῦντί τοι* F. Gu. Schmidt 606 *γὰρ τὸ λῆμα* Nauck, *γάρ τι σπάνιον* Rauchenstein, *γὰρ τὸ ῥῆμα* Semitelos | *γάρ τι τοῦτο γίγνεταί τινα* Schenkl, *γὰρ τὰ χρηστὰ γίγνεται τάδε* Weil | *γίγνεται τόδε*] *βούλεσθαι φίλον* Hartung 607 delet Kvičala 608 *ἀφῄρησαι φίλους* R. Haupt | *φίλος* Kirchhoff 608sq. *σὺ δ' οὐ λελοιπὼς ἐλπίδ' ἴσθι μου κλύων* (ceteris deletis) A. Steinberg | *φίλοις τ' οὐκ* Schenkl | *φίλοις οὐδ' ἐλλελοιπὼς ἐλπίδ' ἴσθι* Weil, mallem *φίλοις οὐδ' ἐλλελοιπὼς ἐλπίδ'· ἴσθι* 610 *χειρὶ δὴ σῇ* Weil | *ἔχεις καλῇ τύχῃ* Schenkl, *ἔχεις καινῇ τύχῃ* Radermacher

615 *ἐλθεῖν ἐντὸς οὐδ' ἂν εἰς θέλοι* (vel *οὐδ' αὐτὸς θέλοις*) Reiske, *ἐλθεῖν ἐντὸς οὐδαμῇ θέμις* Jacobs | (*ὧδ' ἂν εἶθ' ἔλοις* Scaliger), *οὐδάμ' εἰ θέλοις* O. Goram, *οὐδ' ἂν ἐν σθένοις* Herwerden, *οὐδ' ἂν ἄνδρ' ἕλοις* Weidner, *οὐδάμ' ἂν σφ' ἕλοις* Weil, etiam *οὔ νιν ἂν θένοις* vel *οὐδ' ἂν εἰ θένοις* Keene, *οὐκ ἂν εὐθενοῖς* Tyrrell, *οὐκ ἂν εἶθ' ἕλοις* C. E. Hachtmann, possis etiam *οὐδὲν ἐκτελεῖς* conicere 616 *δεξιαῖς*] *διαδοχαῖς* Tyrrell, *τάξεσιν* Keene 617 *εὕδει σφαγεύς* Camper, *εὕδει 'σφαλὼς* Hartung, *εὕδει σ' ἀφεὶς* Tucker 619—45 *ΗΛ.* pro *ΠΡ.* ponit Dobree 619 *τἄμ' οὖν ἄκουσον* Weil 620 *ἀψαίμην* vel *ἀπτοίμην* Camper

622 *ἐδεξάμην τὸ ῥηθὲν* Herwerden 625 *ἑορτὴν πορσυνῶν* (vel *πορσυνεῖν*) *ἔδοξε* Pierson | *ὡς ἐμοὶ δοκεῖ* Camper 629 *ὀθνεία* Camper

630 *ἦ που* Victorius, *οὔ πως* Camper

631 *οἵπερ οὐκ* Nauck, *οἵπερ οὔ σ'* Weil | *οὐδ' εἶδον* Camper

633 *δμώων γὰρ* Porson | *ἄλλων γὰρ ἴδιον ταὐτὸ σοί τε σύμφορον* Paley

637 *ἐνθένδ' ἰδών σε* Cobet, *ὅθεν σ' ἰδὼν σὲ* olim Nauck

641 *δ' ἐν πόσει*] *δ' ᾧ πόσει* Canter, *σὺν πόσει* Scaliger, *δ' ἐν πόλει* Heath, *δ' ἐν κοσὶν* Pierson, *δ' αὖ πόσει* Musgrave, *δ' οὐ πόσει* Jacobs, *δέ γε πόσει* Schaefer, *δ' ἔτι πόσει* Seidler, *τοὐπίσω* Lobeck, *δ' αὖ πόσει* Fix, *δ' ἐν μέρει* Hartung, *δ' οὖν πόσει* Nauck, *δ' ὕστερον* Kayser, *δ' ἅμα πόσει* Rauchenstein, *δ' ἐν σκότει* Heimsoeth, *δ' ἐν σκότῳ* Weil, *δ' εὐνέτῃ*

Herwerden, δ' ἐπὶ πόσει Tucker | δ' ἦν πόσις θοίνην ποιῇ Holzner | ἐν πόσει θοίνης ἄπο Radermacher 642 ἐξωρμᾶτο δὴ μήτηρ F. Gu. Schmidt 645 τοῦτ' αὐτό Nauck 647 ἐξηγήσομαι Camper 648 ἐκείνῃ γ' ἢ τύχην Musgrave | ἐκεῖνα σὺν τύχῃ θήσω Weil | ἡ δίκη Camper | θείῃ Herwerden 649 ὑπηρετούντων νῷν Reiske, ὑπηρετοῖ τἂν ἓν Dobree, ὑπηρετοῖ μόνον Kirchhoff | μὲν] μὴν Hartung, δ' εἰς Weil | τόδε] ὅδε Tyrwhitt

651 κλέμμ', ὦ γεραιέ, τόδε Musgrave, λέξω, γεραιέ, πάντα Jacobs, λέγω, γεραιέ, τάδε Porson | λέγοιμ' ἄν, ὦ γεραιέ. Τυνδαρίδι μολὼν Camper, ἔχω, γεραιέ, τάδε· Κλυταιμνήστρᾳ μολὼν — Weil. Versum delet Matthiae. Post 651 fr. 126 σιγᾷς; σιωπὴ δ' ἄπορος ἑρμηνεὺς λόγων excidisse opinatur Camper 654 ἐν οἷσιν] ὅσοισιν Keene 656 δήξει κλύουσαν Geel | λύουσα λοχί' ἐμοὶ νοσήματος Camper 657 πόθεν τι ταύτῃ Camper | σὺ δ' αὐτῇ Weil, σύ γ' αὐτῇ Walberg. Post hunc v. lacunam duorum versuum statuit Schenkl 658 ἀξίως Kvíčala, fort. δεξίωμ' 659 πάλιν δὲ Camper 659 sq. delet Kvíčala. Post 660 collocat 663, 662, 661, 664 Camper

661 δόμων] νεκρῶν Jacobs | εἰσιῶ Seidler, εἰσάγω Camper, εἰσίοι Walberg, εἶσι σῶν Tucker 662 τάχ' οὖν ἀπέσται σμικρὸν ἴσθ' Ἅιδου τόδε Jacobs | τόδε] τανῦν Camper, τότε Kvíčala 665 Electrae continuat Vitelli 666 ἔπειτα τρανῶς Camper, ἔπειτ' ἱκανιῶν F. Gu. Schmidt

668 πρᾶσσ' ὃν εἴληχας φόνον Camper

Post 671 lacunam statuit Hartung 672—82 in hunc ordinem redigit: 673 (Oresti continuans); 672 (οἴκτειρε χήμᾶς, seni tribuens); 676 (Pyladi tribuens); 674, 678 (Κόρη τ' ἄνασσα); 675 (δόθ') (hos tres v. Electrae tribuens); 677, 679, 680 sq. (οἵπερ τε); 683, 682 Camper 672 οἴκτειρ' ἴθ' Musgrave, οἴκτειρέ γ' Fix, οἴκτειρε δ' Kvíčala 672 sq. delet Vitelli 673 σοὺς πονοῦντας (vel νοσοῦντας) F. Gu. Schmidt

676 τοῖσδε τιμωροῖς φόνου Schenkl, τοῖσδε τιμωροῖς (vel τοῖνδε τιμωροῖν) δίκῃ Radermacher 678 δίκῃ τ' ἄνασσα Tyrwhitt, Ἑκάτη τ' ἄνασσα Jacobs. Hunc v. ante 677 collocat Seidler, delet Matthiae 679 τέκνων Camper 680—82 delet Paley 680 νεκρὸν] νέρθεν Camper

685 θρασύνατ' Αἴγισθον θένειν Musgrave, καρτέρ' Αἴγισθον θένειν Hartung, πρὸς τάδ' ἄνδρ' εἶναί σε χρή (deletis versibus 688—93) J. Heiland | Αἴγισθον φθάνειν Jacobs, ἐγγύθεν θενεῖν Weil, ἐγκρατῶς θενεῖν Keene, αἴσχιστον (vel ἄλγιστον) θανεῖν Tyrrell 686 παλαισθεὶς] παλαιστὴς Valckenaer, μαλαχθεὶς Musgrave, παταχθεὶς Reiske 688 παίσω κέαρ γὰρ Reiske

697 τοῖς ἐμοῖς] ποινίμοις vel potius ζῶσ' ἐγὼ Camper 697 sq. νικωμένης δίκην Camper 699 ὑπὸ] ἀπὸ Reiske 699 sq. ματρὸς Ἀργηΐων Dindorf, ματρὸς Ἀργείων Fritzsche 700 ποτὲ] πόδα Musgrave

705 καλλίπλοκον Seidler | χορεῦσαι Dobree

711 φάσματ' ἀδείματα Musgrave, φάσματα θαύματα Jacobs, φάσματα δείγματα Hermann, φάσματα σήματα F. Gu. Schmidt | δείματα ex 456 repetit Bruhn 713 ἐπίλναντο Reiske, ἐπίπλαντο Seidler | χρυσήρεις Fritzsche 717 κάλλιμον Musgrave 718 μολπὰν δ' ἔσχεν δι' ἔριν Kayser 719 ἐστὶ (vel ὡς ἐστὶ) λόγος, Θυέστου Seidler, ἃς ἀμφὶ δόλοι Θυέστου Camper, ὡς ἔτι λόγοι, Θυέστου Passow, ἂν εἶτα λοχᾷ Θυέστης (olim ἃς ἔπι λόχοι Θυέστου) Hartung, ἃς προλέγοι, Θυέστου Fritzsche, εἶτα δόλοι Θυέστου Nauck, εἶτα δὲ κλοπαὶ (olim ὡς εἰσὶ λόχοι) Θυέστου

Camper, *νίκας στεφαναφοριᾶν κρείσσω παρ'* Seidler, *νίκαν στεφαναφορίας κρείσσω παρ'* Fix, *κρεῖσσον στεφαναφορεῖ ἢ νίκαν παρ'* Heimsoeth, *νικᾷ στεφαναφόρα κρείσσω τῶν παρ'* olim Weil, *κρείσσω στεφαναφορίαν εἰσ' ἢ παρ'* olim coniciebam 863 *κρείσσω τοῖς*] *κρείσσω τῆς* Canter, *κρείσσω* Matthiae, *κρείσσω τᾶς* Lenting, *κρείσσους* olim Nauck, *πρὸ τᾶς* Kayser, *κρείσσω τᾶν* Rauchenstein, *οἵαν* Dindorf, *οὐχ ὡς* vel *οὐ τὰν* olim coniciebam | *οὐ τὰς παρ'* .. *τελετάς* Sandford | *τελετᾶς* Bothe 866 *σέλας*] *σέβας* Lenting, *δέμας* Camper 868 *ἀμπνοαί* Reiske, *ἀμψυχαί* Vauvilliers, *ἀνστροφαί* Tyrrell 870 *οἷα κῆποι* Ahrens

871 *ἐξενέγκωμεν* Lenting 872 *κρᾶτ' ἐμοῦ* Camper 875 *χορεύσεται* Seidler, *ὀρχήσεται* olim coniciebam | *Μούσᾳ σφε* Camper 877 *γαίας* ⟨*αὖ*⟩ Beck | *κοιρανεύουσι* Lenting 878 *δυνάστας τούσδ'* Camper | *τούς γ'* olim Kirchhoff 880 fort. *πατρὸς ὢν νικηφόρον* deleto versu 881

882 *βοστρύχων ἀγάλματα* Burney, *βοστρύχῳ 'ναθήματα* Matthiae, *βοστρύχων ἐνδύματα* Camper 885 *Αἴγισθον*] *ἔχθιστον* olim coniciebam, *ἔχθιστον* (vel *ἔχθιστος*) Weidner 886 *παρασπίστ', εὐσεβεστάτου ξένων* Camper 890 *θεοὺς λέγ' εὖ σὺ* vel *θεοὺς μὲν εἰπὲ* F. Gu. Schmidt

896 *εἴ τι χρῄζεις* Schaefer, *εἴ γε χρῄζεις* olim Nauck 900 *εἰπεῖν*] *ἔρδειν* Herwerden

902 *φθόνος* Tyrwhitt, *ψόγῳ* Nauck 904 *ἡμῖν* Paley 909 *δι' ὀρφνῶν* Elmsley 910 *ἃ σ' εἰπεῖν* Walberg, *ἃ λάσκειν* (vel *φωνεῖν*) Heimsoeth, *ἃ κεἰπεῖν* Vitelli, *ὅσ' εἰπεῖν* Herwerden

911 *εἰ δὴ γένοιτο, δειμάτων* Camper 912 *ἐπιδώσω* Camper 917 *οὐδ' ἐλθὼν* Camper 920 *ἠδίκει* Canter

921 *δελεάσας* Lobeck 923 *δύστηνος ὢν τις* Rauchenstein 928 *ἀνῃρεῖσθον* Walberg 928 sq. *ἀφῃρεῖσθον τύχην* (vel *δίκην*) .. *σύ τοι κείνης λαβὼν* F. Schöll, *ἐπηυρέσθην κακὴν* .. *σὺ τὴν κείνης τύχην* Herwerden, *ἐπηυρέσθην κακόν*, .. *σὺ τὴν κείνης τύχην* Vitelli 929 *καὶ σὺ τὴν κείνης ἅμα* Schenkl | *κακόν*] *καλόν* Kayser. Versum delebat olim Hartung

932 *αἰσχρόν ἐστι προστατεῖν δόμων* Herwerden 933 sqq. *κἀκεῖνο στυγῶ τοὺς παῖδας οἷσι τοῦ μὲν ἄρσενος πάρα οὐκ ὠνομάσθαι* Weil 934 *ἄρσενος πάρα* (vel *σπόρος* vel *γόνος*) Reiske, *ἄρσενος γεγὼς* F. Gu. Schmidt 936 sq. post 931 collocat Schenkl. Post 936 quaedam excidisse putat Nauck 937 *οὐδείς*] *οὐδέν* Dobree

941—44 delet Bruhn 942 *αἴρει κάρα* Tyrwhitt, *αἱρεῖ κακά* Bothe, *αἰνεῖ κακά* Kirchhoff, *εὑρίσκεται* vel *ἐρρύσατο* Weil, *αἴρει μένος* Schenkl, *ἔχθει κακά* Vitelli, *εἴργει κακά* Holzner, *αἴρει καλά* Sandford

945 *τὰ δ' εἰς* Musgrave 948 *κάλλει τ' ἀγάλλων* Reiske, *κάλλει τε χαίρων* Valckenaer, *κάλλεσί τ' ἀραρὼς* Schaefer, *κάλλει τ' ἐγαυροῦ* (sive *τε γαυρός*) Hartung, *κάλλει τ' ἀρέσκων* Paley 949 *θατέρου τρόπου* Nauck

951 *οἱ δ' εὐπρεπεῖς* Schenkl 952 *ἄρ' οὐδὲν ᾔδησθ' ὢν ἐφευρεθεὶς* Kayser | *ἔρρ' οὖν, ὄνειδος ὢν* Hirzel, *ἔρρ' οὖν· ἀναιδὴς ὢν* F. Gu. Schmidt | *ἔρρ', ὅς γε δειλὸς ὢν ἐφευρεθεὶς* Vitelli | *οὐδὲν εἰδώς*] *οὐδὲν ἐλεῶ σ'* Nauck | *οὐδὲν οὐδεὶς ὢν ἐφευρεθεὶς* Kirchhoff, *οὐδὲν εἰ· τῶν σῶν ἐφευρεθεὶς* R. Haupt, *οὐδὲν εἰδὼς σῶν· ἐφευρεθεὶς* L. Schmidt, *οὐδὲν ὤνησ' ὢν ἐφευρεθεὶς* Schenkl, *οὐδὲν εἰδὼς ὢν ὑφ' αἱρεθεὶς* olim Weil, *οὐδὲν εἰδὼς ὡς* (vel *οὖν*) *ἐφηυρέθης* Walberg, *οὐδὲν ἢ εἶδος ὢν ἐφευρεθεὶς* vel potius *ἔρρ' ἔρρ', ὄνειδος· νῦν ἐφευρεθεὶς* Herwerden,

οὐδὲν εἰδὼς ἦν ἐφευρεθεὶς olim coniciebam, οὐδὲν εἰδὼς σῶν (= sanum) ἐφευρεθεὶς Radermacher 953 ὥστε τῇδ' ἐπουρίσας Taeuber, ὥστε τις κἀπουρίσας Kayser, ὥστε παῖς, κακοῦργος ὢν O. Goram, ὥστε τις παράορος Mekler | πόνηρος ὢν Heimsoeth, mallem πανοῦργος ὢν 955 sq. πρὶν ἂν πάλιν γραμμὴν Keene 959—61, 963, 965 Electrae, 962, 964, 966 Oresti tribuit Camperum, qui 966 choro dat, secutus Nauck post 966 versum Electrae excidisse ratus, item Kirchhoff, nisi quod hic 966 Electrae tribuit et versum Orestis post 965 intercidisse putat, item C. Haupt, qui quidem 966 delet. Post 961 lacunam (*OP.*) statuit Wilamowitz

961 μή σφ' ἴδῃ Musgrave | μὴ νεκρόν σφ' ἴδῃ Camper 962 ἄλλον λόχον Vitelli 963 ὁρᾷς Seidler 966 delebat olim Nauck 967 μητέρ' ἦ Hartung | δρῶμεν μητέρ'; ἦ Paley

976 λύμην γ' ἀμύνων . . ἴσῃ Musgrave, ἆρ' οὖν ἀμύνων . . ἴσει; Camper 977 ἐγώ γε Camper | ἐγῷδα μητρὶ . . δώσων Musgrave | φόνον δὲ μητρὸς μὴ τρέσας δώσω δίκας L. Schmidt | σέβων δὲ μητρὶ A. Schmidt, ἑλὼν δὲ μητρὶ olim F. Gu. Schmidt, ὀργῇ (olim θιγὼν) δὲ μητρὸς Weil, κτανὼν δὲ μητρὶ Nauck | ἐγῷδα· μητρὶ δ' οὐ Herwerden, ἀλλ' ὧδε μητρί γ' οὐ F. Gu. Schmidt 977 sq. *OP.* θιγὼν δὲ μητρὸς μητρὶ δὴ δώσω δίκας. *HΛ.* θεῷ δὲ πατρὸς διαμεθεὶς κτέ. Vitelli. Hos v. delet Schenkl 978 τί δ' ἂν πατρῴαν διαμεθῇς Musgrave, τῷ δ' αὖ πατρῴαν διαμεθεὶς Porson, θεῷ δ' αὖ πατρῴαν διαμεθεὶς Kayser, τί (vel τῷ) δ' ἢν πατρῴαν διαμεθῇς Nauck, τῷ δ' οὐ πατρῴαν διαμεθεὶς Kirchhoff, qui olim πῶς δ' οὐ πατρῴαν διαμεθεὶς coniecerat 979 εἶπεν εἰκασθεὶς Weil 980 sq. delet Vitelli

981 οὔ τἂν Hermann 982 σὺ μὴ . . πέσῃς Camper 983 θέλεις τὸν αὐτὸν Nauck, αἰνεῖς. τὸν αὐτὸν O. Goram | ἀλλ' ὡς, versum proximum, in quo καθεῖλον scribit, Oresti continuans, olim Kirchhoff | ἀλλ' εἰ . . ὑποστήσων δόλον, hunc versum Electrae continuans, Weil 984 καθεῖλέ γ' ἰσόθεον Burges, καθεῖλεν Αἴγισθος Walberg 985 δεινῶν ἄρχομαι Keene | ἅπτομαι Weil | προστρίμματος Camper 986 δράσω, 'πεὶ θεοῖς Reiske, δράσω γ'· εἰ δὲ θεοῖς Lenting 988 ἰώ duplicat Wilamowitz 990 ἀγανοῖν olim coniciebam, ἀμφοῖν Ch. Baier, ἁγνοῖν Herwerden

993 σωτῆρες Wesseling et Bothe 996 sq. τᾶς σᾶς δὲ τύχας . . καιρὸς ⟨παιδός⟩, βασίλεια Camper 997 καιρός γ' ἐμοί Heath | νῦν inserit Musgrave, κάρτ' Fix, γέγον' Paley | καιρὸς καιρός, βασίλεια Bothe 999 βήσω πόδα Abresch

1001 ἐγὼ δὲ Τρῳάδος χθονὸς τάδε Lenting 1004 sq. delet Wilamowitz 1007 δοῦλαι] ξέναι Camper 1008 τοί μ'] οὔ μ' Camper 1010 πατρίδος Reiske

1013—17 delet A. Steinberg 1013 sq. κεἴ τοι, δόξ' . . γυναῖκ', ἀγῶνι πικρότης . . τις Camper | καίτοι δόξ' ὅταν λάβῃ τινὰ κακὴ γυναῖκα, πικρότης ἔνεστί τις Hartung, καίτοι πικρότης ἔνεστί τις γλώσσῃ, γυναῖκα δόξ' ὅταν λάβῃ κακή A. Schmidt 1014 γλώσσῃ γυναικὸς (vel γυναικῶν) Elmsley, γυναῖκ' ἀκοῦσαι Paley | γλώσσῃ] λώβῃ Mekler | γυναῖκ', ἔνεστι πικρότης γλώσσῃ βροτῶν Holzner | ἔπεστι Weil 1015 ὡς νῦν Musgrave | παρ' ὑμῖν olim coniciebam, idem proposuit Schenkl | δὲ] γὰρ Wilamowitz 1016 μαθοῦσαν Canter | εἰ μὲν . . ἔχει Dobree 1017 στέγειν δίκαιόν μ' . . τί δεῖ ψέγειν Musgrave

1019 *οὐδ' ἃ γειναίμην* Reiske | *θνήσκειν τέκν' ἃ γειναίμην ἐγὼ* Heimsoeth, *θνήσκειν οἶδ' ἃ γειναίμην ἐγὼ* Herwerden, *θνήσκειν τῷδ' ἃ γειναίμην ἐγὼ* Weil, *θνήσκειν ὧδ' ἃ γειναίμην ἐγὼ* Vitelli 1020 sq. *κεῖνος δὲ πείσας . . λέκτροισι παῖδ' ἀνεῖχετ' ἐκ δόμων ἄγειν* olim F. Gu. Schmidt

1021 *ᾤχετ'*] *ὤλεσ'* F. Gu. Schmidt 1023 *αὐχένα διήμησ' . . πατὴρ δίχα* F. Gu. Schmidt 1024—26 *κεἰ νιν . . συγγνωστὰ μὲν* Camper

1026 delet Lehrs 1027 *Ἑλένης μάργος ἦν ὅς τ' αὖ* Dobree | *ἦν αὖ* Reiske, *ὁ δ' αὖ* Kirchhoff

1032 *ἔχων νεάνιδ'* F. Gu. Schmidt 1033 *ἐπεισέφρησε* Dawes 1034 *κατεῖχε νώ* olim coniciebam 1036 *ἀπόντος* Musgrave | *τούτου δ' ὑπόντος ὅταν* Vitelli

1041—45 post 1029 collocat Herwerden, delet Wilamowitz 1042 *πόσιν*] *χάριν* Camper 1043 *εὐναῖσιν ὡς σώσαιμι* Weil 1045 *κανόντα* Camper 1046 *ἐκ τῶνδ' ἐτρέφθην* Wilamowitz | *ἐτρέφθην δ'* Kayser 1047 *γὰρ οὖν* (vel *αὖ*) Reiske 1050 delet Oeri

1051 *δίκαια λέξω* olim Weil, *εἰκαῖ'* (vel *βίαι'*) *ἔλεξας* Vitelli | *σῇ δίκῃ* Nauck 1053 *φρενήρης γ'* Lenting | *εἰ δὲ μή, νοσεῖ τάδε* Jacobs

1054 *ἥκεις* ed. Brubachiana 1057 *καὶ νῦν δέ φημι* Nauck 1058 *ἄρ' εὖ λέγουσα* Elmsley, *ἄρ' αὖ κλύουσα* Rauchenstein, *ἡ παρακαλοῦσα* olim Weil, *ἡ πικρὰ κλύουσα* Vitelli, *ἀλλ' ἄρα κλύουσα* Keene | *ἀτὰρ κλύουσα σκλήρ' ἔμ' εἶτ'* F. Gu. Schmidt | *ἐρεῖς κακῶς* Reiske 1058—60 delet Radermacher 1059 *οὐκ ἔστι· νείκῃ δ' ἡσύχῳ σχήσω φρενί* Camper, *οὐκ, ἔστι τῇ σῇ δ' ἡδὺ προσθέσθαι φρενί* Weil | *οὐκ ἔσθ'· ὃ* (vel *οὐ δῆθ'· ὃ*) *τῇ . . προσθήσεις* Herwerden | *τῇ σῇ*] *τῇ 'μῇ* Musgrave | *δ' ἧκα προσθήσω φρένα* Reiske 1060 *προοιμίου*] *πικροῦ λόγου* Schenkl, *λόγου πέλει* Herwerden, *πρώτῃ λόγου* Keene

1062 sq. *ἄξιον φέρει Ἑλένῃ τε καὶ σοί* Camper 1065 *ἑκοῦσ' ἐφθείρετο* Camper 1068 *ἔκτεινας*] fort. *κτείνειας* | *οὐ γάρ, ὡς ἔγωγ', ἴσασί σε* Camper | *οὐ γάρ σ', ὡς ἔγωγ'* Dobree, *οὐ γάρ, ὥς σ' ἔγωγ'* vel *οὐ γάρ, ὥς σ' ἐγῷδ'* F. Gu. Schmidt 1069 *ἢ τῆς* Bothe

1074 *θυραῖον* Porson 1077 *τὰ Πάριος* (vel *Πάριδος*) *εὐτυχοῖ* Camper

1085 *εἰς ὄψιν τρέχει* Reiske | *ἐσθλοῖσι κεἰσοψιν φέρει* Camper 1088 *πῶς δ' οὐ* Camper 1090 *τἀλλότρι' Αἰγίσθου γάμους* Holzner

1093 *ἀδελφοῦ*] *ὁμαίμου* Camper 1094 *δικαίως* Nauck 1096 *πῶς τάδ' ἔνδικα;* Camper 1097 *ὅστις δὲ χρυσὸν* Camper, qui 1097—99 post 958 transponit. Ante 1100 senarium aliquem intercidisse putat Camper 1100 *τύχῃ μέλει τῶν εἰς γάμους* Stadtmueller, *τύχη κυβεία θ' οἱ γάμοι* F. Gu. Schmidt | *ἐν γάμοις* Hartung, *εἰς λέχη* Weil

1101 *βροτῶν*] *σφίσιν* Schenkl, *βροτοῖς* Keene 1102 *στέργειν ἕνα* F. Gu. Schmidt, fort. *στέργειν λίαν* 1103 *σκῆψιν δ' ἔχει* Jacobs, *ἔστω δὲ καὶ* Thiersch, *ἔστιν δ' ἀεὶ* Camper | *αἱ μὲν* Lenting 1107 sq. ante 1132 inserit Weil 1108 *νεοχμῶν* Pierson 1110 *ἤλασ' ἐκ φρενῶν τὸ πρίν* F. Gu. Schmidt, *μ' ἤλασ' εἰς ὀργὴν πόσις* Herwerden. Versum delet Kvičala

1111 *ἡνίκ' οὐκέτ' ἔστ' ἄκη* Camper 1116 *τί καὶ* Camper, *τί δ'; οὐ* Wilamowitz 1117 *καὶ σύ γ'* Blomfield 1120 *εἰ γὰρ . . ναίοι* Jacobs

1121 *ὁρᾷς ἃ νῦν σὺ* Scaliger, *ὁρᾷς ἅ γ' αὖ σὺ* Lenting, *ὁρᾷς; ἀεὶ*

1191 φανερὰ δ' ἄφατ' ἔτ' Camper 1192 ἄγεα delebat Hartung | ἄπασας Musgrave, ὤλεσας vel ὤχμασας Reiske 1192 sq. φόνιά τ' ὤπασας λάχε' ἐπὶ γᾶς 'Ελληνίδος Schenkl 1193 λέχε' 'Ελλάδος ἐκ γᾶς vel λέχε' 'Ελλάδος αἴας, nisi potius vitium in stropha quaerendum sit, Seidler | λάχε' ἀπὸ γᾶς Πελασγίδος olim, λάχε' ἀπὸ τᾶσδ' ἔλαντα γᾶς vel ἀπὸ γᾶς 'Ελλανίδος nunc Weil | verba λέχε' . . 'Ελλανίδος delet Hartung . ἀπὸ] ἀπόπρο Dobree 1194 τίνα δ' ὁ τάλας Camper, τίν' ἑτέραν Hartung | τίς δὲ ξένος Heath 1195 τίς ἀσεβὴς κάρα Hartung

1197 τίν' αὖ χορόν Camper

1201 πρὸς αὖραν delet Dindorf 1205 φίλον Reiske 1206 ἐῶν] ἄνω Porson, etiam ἐὸν Seidler 1207 ἐξέβαλ', ἔδειξε μαστὸν ὃν φονεῦσιν (olim ἔδειξε μαστόν, ἔλαβετ' ἐν φοναῖσιν) Weil | φοναῖς, ὦ olim Nauck 1208 ἰὼ ἰώ, πρὸς πέδῳ (et 1216 παρηΐδων τ' ἐξ ἐμᾶν) olim Kirchhoff | ἰὼ ἰώ μοι (et 1216 παρηΐδων τέ γ') Westphal 1209 γόνιμα] γόνατα Camper, γοῦνα Weil, fort. γυῖα. — τὰν κάνον δ' ἐγὼ Orelli

1214 γενῦδ' Porson | 1214—17 Electrae tribuit Wilamowitz 1215 etiam χεῖρας (vel χέρας) τιθεῖσα· τέκος ἐμὸν vel τιθεῖσα χέρας· ἐμὸν τέκος Seidler | τιθεῖσα χέρας. ὦ τέκος Fix | θεῖσα χέρας· ὦ τέκος σ' ἐμὸν λιταίνω Weil 1216 παρηΐδων θ' ἅμ' ἐξ ἐμᾶν Camper 1217 ἐκρήμναθ' Barnes | χέρα κενὸν λιπεῖν Camper 1219 sq. Electrae tribuit (ut 1210 sq.) Seidler 1219 φόνον] πόνους Camper

1224 ἐγὼ δὲ τάδ' ἐπένευσά σοι Camper, ἐγὼ δ' ἐπενεκέλευσά σοι olim Nauck 1225 ἅμ' ὦ olim Nauck 1226 Electrae tribuit (ut 1232), ἔρεξα scribens, Seidler, item, παθέων τ' ἔρεξα coniciens, Paley, Oresti Hermann | ἔλεξας Fix 1227 λαβοῦ λαβοῦ Grotefend 1230 φιλεῖ . . φιλεῖ Paley 1230 sq. φίλαν τε κοὐ φίλαν φάρεά σέ γ' Seidler

1232 Oresti tribuit Hermann 1233—1359 versus Euripide indignos existimat Nauck 1234 βαίνουσι Hartung, στείχουσι F. Gu. Schmidt | τίνες Camper

1241 ναύταις Reiske 1243 σφαγὰς ὁμαίμου τῆσδε, σῆς γε μητέρος Camper | μητέρος γε Lenting 1245 Φοῖβός σε Porson | Φοῖβος δ' ἐφοίβασ' O. Jahn 1248 πράσσειν σ' Camper 1250 ἔκλιφ', ὡς οὐκ ἔστι Camper

1251 σὴν κτανόντι μητέρα Hilberg 1253 ἐμμανῆ σ' ἀλώμενον Camper 1254 Παλλάδος Naber 1255 ἐσσοημένας Hartung, εἰσποτωμένας Rauchenstein 1256 σμερδνοῖς δράκουσιν Camper, δεινὰς δρακαίνας R. Haupt 1257 γοργῶπον ἐκτείνουσά σοι κάρα Camper

1261 τίσιν Camper, μῆνι Hartung | μῆνιν, θυγατρὸς ⟨ἀντ'⟩ ἀνοσίων Weil | ποινὴν θυγατρὸς Rauchenstein, mallem ἄποινα θυγατρὸς (vel παιδὸς) | μανεὶς θυγατρὸς ἀνοσίοις νυμφεύμασιν Schenkl 1263 ψῆφον . . τοῦ θέοις Tucker | ἔκ τέ του θεῶν Scaliger | ἐκ ταὐτοῦ Camper

1264 φόνου] ψυχῆς Camper 1265 δίκῃ] δίχα Camper 1266 γνῶμαι τεθεῖσαι Weil 1267 χρῆσαι Lenting 1270 κεῖναι μὲν οὖν θεαὶ F. Gu. Schmidt | τῷ λάχει Reiske

Post 1271 nonnulla deesse putat Kirchhoff 1272 Σεμνῶν Wilamowitz | εὐσεβέσι cum Clarkio Musgrave, πρευμενὲς Camper | σεμνὸν βροτῶν εὐσεβέσιν οἰκητήριον vel σεμνὸν βροτοῖς εὔσεπτον οἰκητήριον Weil, σεμνὸν λαβεῖν βροτοῖσιν οἰκητήριον Schenkl 1274 πλησίον θακήματος Camper

1275 fort. ἐπώνυμον δὲ σοῦ πέδον 1276 καὶ ταῦτα μὲν σοί· τόνδε Schenkl

1281 *οὐδ' εἶδεν* Camper 1282 *βροτοῖς* Camper 1283 *ἐξέπεμψεν Ἴλιον* Fix 1284 *χαίρων τε καὶ δάμαρτ' ἔχων* Musgrave, *ἣν ἤνεσας δάμαρτ' ἔχων* Hartung, *ἀκήρατον δάμαρτ' ἔχων* vel potius *κάσιν τε σὴν δάμαρτ' ἔχων* Heimsoeth, *κόρην τέως δάμαρτ' ἔχων* Herwerden, *κόρην ἑκὰς δάμαρτ' ἔχων* olim F. Gu. Schmidt, *κόρην ἔτ' Ἠλέκτραν ἔχων* Rauchenstein, *φερνήν τε καὶ δάμαρτ' ἔχων* Holzner | *Πυλάδης ἀδελφὴν σὴν ἐκεῖ δάμαρτ' ἔχων*, nisi potius hoc versu deleto v. 1285—87 post 1249 transponendi sint, F. Gu. Schmidt 1285 *Ἀχαΐδος* Seidler | *Ἀχαιΐδ' ἐς γῆν* Paley, *Ἀχαιίδος τήνδ'* Weil 1287 *βάρος*] *βάθος* Herwerden 1289 *ὄγκον* Bothe 1290 *φόνου*] *μόγου* Musgrave, *φόβου* Seidler, *πόνου* Camper, *βίου* Nauck, *πόνων* F. Gu. Schmidt

1291 *εὐημερήσεις* Weil | *πόνων*] *φόβων* Camper, *φόνων* Nauck | *τοῦδ' ἀπαλλαχθεὶς φόνου* F. Gu. Schmidt 1292—1330 delet Herwerden 1294 *θέμις, εἰ μυσαροὺς τούσδε* Camper | *μυσαροὶ* Lenting, *μυσαροὺς* Matthiae | *τοῖνδε σφαγίοιν* Musgrave 1295—97 post 1302 collocat Arnoldt 1299 *κἄτα φθιμένης* (omisso *τῆς*) Erfurdt, *κατὰ τῆς φθιμένης* Lenting, *τῆς νῦν φθιμένης* Camper, *καὶ δὴ φθιμένης* Dobree

1300 sq. *Κῆρος μελάθροις μοῖραν· Ἀνάγκης σφ' ἦγεν τὸ χρέος* Camper

1301 *μοῖρά σ' ἀνάγκης ἤγ' εἰς τὸ χρεών* Tucker | *ἀνάγκαις* Madvig

1303 *τί δέ μ' Ἀπόλλων* Dobree 1304 *φονίαν*] *δολίαν* Camper | *φονέα μ' ἔθεσαν* F. Gu. Schmidt 1309 *εὐθὺς*] *αὖθις* Heimsoeth

1311—13 choro tribuit Lenting 1311 *αὖθις* Camper 1312 *πρὶν ὅτ' ἐκλείπει* Reiske, *πλήν γ' ὅτι λείπει* Camper 1312 sq. *πλὴν . . Ἀργείων* et 1314 sq. delet Kvičala 1317 *ἀλλοτρίας* Lenting 1319 *θάρσει· ζαθέαν* (*πότνιαν* Camper) *Παλλάδος ἥξεις* olim Elmsley

1324 *φόνιαι* Herwerden 1325 *λαβέ* Paley 1327 Electrae relinquit, deletis v. 1328—30, Kvičala 1329 *καὐτοῖς τοῖς Οὐρανίδαις* Camper, *καὶ νῷν, τοῖς γ' οὐρανίδαις* F. Gu. Schmidt

1343 *τᾶσδ' ὑποφεύγειν* Camper 1344 *στέλλουσ'* Musgrave, *πάλλουσ'* Jacobs 1345 *σειροδράκοντες* vel *σπειροδράκοντες* Reiske 1346 *δεινῶν*] *δειλῶν* Keene, fort. *στυγερῶν*. — *καρπὸν*] *κάρτος* Jacobs | *κέντρα νέμουσαι* Musgrave, *καρπὸν ἔδουσαι* Camper 1350 *οὐκ ἔτ' ἀρήγομεν* vel *οὐκ ἐπαρήξομεν* Lenting. Recepto *ἐπαρήξομεν* etiam 1353 *σώσομεν* scribendum

1351 *οἷσιν δ' ὁσίοις* Camper 1355 *ἐπιόρκων τινὶ* (vel *ποτὲ*) *συμπλείτω*, nisi potius versus spurius sit, Lehrs 1357 sqq. delet Hartung.

# CORRIGENDA.

p. 6 v. 96 lege T. G. Tucker pro Lenting.
p. 22 v. 519 *ἐθεράπευσ'* scripsit iam Hartung.
p. 29 v. 723 *ᾀυτεῖ* scripsit iam Heath.
p. 34 v. 863 lege T. *G*. Tucker pro Lenting.

# EURIPIDIS

# I O N

EDIDIT

N. WECKLEIN.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCXCVIII.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

# NOTARUM INDEX.

*L* = cod. Laurent. 32, 2 chartaceus saec. XIV.
*l* = manus correctrices.
*P* = codex Palatinus, nunc Vaticanus 287, membranaceus saec. XIV.
*p* = manus correctrices.

Hos codices contulit R. Prinz. Cfr. etiam collationem Wilamowitzi Anal. Eur. p. 20—29.

Non memorantur minutiae ut varii accentus, *ι* subscr. omissum, *σώζειν*, *θνήσκειν* sine iota, et si de *εἰς* (*εἴσω*) vel *ἐς* (*ἔσω*) nulla mentio fit, velim putes codices omnibus quibus per metrum licet locis *εἰς* (*εἴσω*) pro *ἐς* (*ἔσω*) exhibere.

## Ὑπόθεσις.

Κρέουσαν τὴν Ἐρεχθέως Ἀπόλλων φθείρας ἔγκυον ἐποίησεν ἐν Ἀθήναις· ἡ δὲ τὸ γεννηθὲν ὑπὸ τὴν ἀκρόπολιν ἐξέθηκε, τὸν αὐτὸν τόπον καὶ τοῦ ἀδικήματος καὶ τῆς λοχείας μάρτυρα λαβοῦσα. τὸ μὲν οὖν βρέφος Ἑρμῆς ἀνελόμενος εἰς Δελφοὺς ἤνεγκεν· εὑροῦσα δ' ἡ προφῆτις ἀνέθρεψε. τὴν Κρέουσαν δὲ Ξοῦθος ἔγημε· συμμαχήσας γὰρ Ἀθηναίοις τὴν βασιλείαν καὶ τὸν τῆς προειρημένης γάμον ἔλαβε δῶρον. τούτῳ μὲν οὖν ἄλλος παῖς οὐκ ἐγένετο· τὸν δ' ἐκτραφέντα ὑπὸ τῆς προφήτιδος οἱ Δελφοὶ νεωκόρον ἐποίησαν. ὁ δὲ ἀγνοῶν ἐδούλευσε τῷ πατρί . . . . . . . .

ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Δελφοῖς.

---

Lin. 1 *ἔγγυον P*   10 verba *ἡ σκηνὴ . . δελφοῖς* post personarum indicem leguntur in *LP*.

## Τὰ τοῦ δράματος πρόσωπα·

Ἑρμῆς.
Ἴων.
χορὸς ἐκ θεραπαινίδων Κρεούσης.
Κρέουσα.
Ξοῦθος.
πρεσβύτης.
θεράπων Κρεούσης.
Πυθία ἤτοι προφῆτις.
Ἀθηνᾶ.

## ΕΡΜΗΣ.

*Ἄτλας, ὁ χαλκέοισι νώτοις οὐρανὸν*
*θεῶν παλαιὸν οἶκον ἐκτρίβων, θεῶν*
*μιᾶς ἔφυσε Μαῖαν, ἣ 'μ' ἐγείνατο*
*Ἑρμῆν μεγίστῳ Ζηνί, δαιμόνων λάτριν.*
*ἥκω δὲ Δελφοὺς τούσδε, γῆς ἵν' ὀμφαλὸν*
*μέσον καθίζων Φοῖβος ὑμνῳδεῖ βροτοῖς*
*[τά τ' ὄντα καὶ μέλλοντα θεσπίζων ἀεί].*
*ἔστιν γὰρ οὐκ ἄσημος Ἑλλήνων πόλις,*
*τῆς χρυσολόγχου Παλλάδος κεκλημένη,*
*οὗ παῖδ' Ἐρεχθέως Φοῖβος ἔζευξεν γάμοις*
*βίᾳ Κρέουσαν, ἔνθα προσβόρρους πέτρας*
*Παλλάδος ὑπ' ὄχθῳ τῆς Ἀθηναίων χθονὸς*
*Μακρὰς καλοῦσι γῆς ἄνακτες Ἀτθίδος.*
*ἀγνὼς δὲ πατρί· τῷ θεῷ γὰρ ἦν φίλον·*
*γαστρὸς διήνεγκ' ὄγκον· ὡς δ' ἦλθεν χρόνος,*
*τεκοῦσ' ἐν οἴκοις παῖδ' ἀπήνεγκεν βρέφος*
*ἐς ταὐτὸν ἄντρον οὗπερ ηὐνάσθη θεῷ*
*Κρέουσα, κἀκτίθησιν ὡς θανούμενον*
*κοίλης ἐν ἀντίπηγος εὐτόρνῳ κύκλῳ,*

---

1 sq. fort. *χαλκέοισιν ἐκτρίβων θεῶν* | *νώτοις παλαιὸν οἶκον Ὠκεανοῦ κορῶν* 2 *παλαι** *P*, *παλαιὸν p* 3 *ἣ 'μ'*] Dindorf, *ἦ μ' LP* 4 *λάτριν Lp*, *λάτρην l*, *λάτρις P*, fort. *τρόχιν* 5 *Δελφοὺς τούσδε, γῆς*] scripsi, *δελφῶν τῶνδε γῆν LP* 7 *καὶ καὶ L*, versum delevi 8 *ἔστι L*, *ἔστιν lP* 9 *χρυσολόχου LP*, *χρυσολόγχου p* 10 *οὗ LP*, *ι* super *υ* rescr. vel corr. *l* | *παῖδ' ἐξ ἐρεχθέως* et *ἔζευξε P* 11 *προσβόροις* (ους superscr.) *πέτραις* (ας superscr.) *L*, *προσβόροις πέτραις P* 11 sq. fort. *Παλλάδος ὑπ' ὄχθοις ἔνθα προσβόρρους πέτρας*, ceteris deletis (12 delet Herwerden) 14 *ἀγνῶς LP*, *ἀγνὼς p* 15 *δ' ἤνεγκ' P* | *ὄγκον*] Brodeau, *οἶκον LP* | *ἦλθε LP* 16 *παῖδ'*] fort. *παῖς* | *ἀπήνεγκε LP* 17 *οὗ παρηυνάσθη* Reiske 19 *εὐτόρνῳ*] Herwerden, *εὐτρόχῳ LP* Post 19 lacunam statuit Schliack

*τρέφει δέ νιν λαβοῦσα· τὸν σπείραντα δὲ*
*οὐκ οἶδε Φοῖβον οὐδὲ μητέρ' ἧς ἔφυ,*
*ὁ παῖς τε τοὺς τεκόντας οὐκ ἐπίσταται.*
*νέος μὲν οὖν ὢν ἀμφιβωμίοις τροφαῖς*
*ἠλᾶτ' ἀθύρων· ὡς δ' ἀπηνδρώθη δέμας,*
*Δελφοί σφ' ἔθεντο χρυσοφύλακα τοῦ θεοῦ*
*ταμίαν τε πάντων πιστόν, ἐν δ' ἀνακτόροις*
*θεοῦ καταζῇ δεῦρ' ἀεὶ σεμνὸν βίον.*
*Κρέουσα δ' ἡ τεκοῦσα τὸν νεανίαν*
*Ξούθῳ γαμεῖται συμφορᾶς τοιᾶσδ' ἄπο·*
*ἦν ταῖς Ἀθήναις τοῖς τε Χαλκωδοντίδαις,*
*οἳ γῆν ἔχουσ' Εὐβοΐδα, πολέμιος κλύδων·*
*ὃν συμπονήσας καὶ συνεξελὼν δορὶ*
*γάμων Κρεούσης ἀξίωμ' ἐδέξατο,*
*οὐκ ἐγγενὴς ὤν, Αἰόλου δὲ τοῦ Διὸς*
*γεγὼς Ἀχαιός· χρόνια δὲ σπείρας λέχη*
*ἄτεκνός ἐστι, καὶ Κρέουσ'· ὧν εἵνεκα*
*ἥκουσι πρὸς μαντεῖ' Ἀπόλλωνος τάδε*
*ἔρωτι παίδων. Λοξίας δὲ τὴν τύχην*
*ἐς τοῦτ' ἐλαύνει, κοὐ λέληθεν, ὡς δοκεῖ.*
*δώσει γὰρ εἰσελθόντι μαντεῖον τόδε*
*Ξούθῳ τὸν αὑτοῦ παῖδα, καὶ πεφυκέναι*
*κείνου σφε φήσει, μητρὸς ὡς ἐλθὼν δόμους*
*γνωσθῇ Κρεούσῃ, καὶ γάμοι τε Λοξίου*
*κρυπτοὶ γένωνται παῖς τ' ἔχῃ τὰ πρόσφορα.*
*Ἴωνα δ' αὐτόν, κτίστορ' Ἀσιάδος χθονός,*
*ὄνομα κεκλῆσθαι θήσεται καθ' Ἑλλάδα.*
*ἀλλ' ἐς δαφνώδη γύαλα βήσομαι τάδε,*
*τὸ κρανθὲν ὡς ἂν ἐκμάθω παιδὸς πέρι.*
*ὁρῶ γὰρ ἐκβαίνοντα Λοξίου γόνον*
*τόνδ', ὡς πρὸ ναοῦ λαμπρὰ θῇ πυλώματα*

---

51 delet F. Commer 52 *ἀμφιβωμίοις τροφαῖς*] scripsi, *ἀμφιβωμίους* (*ἀμφὶ βωμίους P*) *τροφὰς LP*. Sed fort. *νέον μὲν οὖν ὄντ' ἀμφιβώμιος τροφὴ ἤταλλ' ἀθύρονθ'* 58 *ἄπο*] Wakefield, *ὕπο LP* 59 *χαλκοδοντίδαις P* et mut. in *χαλκωδοντίδαις L*, *χαλκωδοντιάδαις* Eustath. in Jl. p. 281, 44 60 *εὐβοῖδα LP* 61 fort. *συνεξελθὼν* 65 *οὕνεκα LP* 68 *λέληθέ μ'* Schoemann 70 *αὐτοῦ LP* 71 sq. *ἔλθῃ . . γνωσθεὶς* Vitelli 74, quem habet Eustath. in Dion. v. 820, et 75 delet Hartung 74 *Ἀσίδος* Dindorf 79 fort. *πρόναα*

δάφνης κλάδοισιν. ὄνομα δ', οὗ μέλλει τυχεῖν,
Ἴων' ἐγώ ⟨νιν⟩ πρῶτος ὀνομάζω θεῶν.

ΙΩΝ.

ἅρματα μὲν τάδε λαμπρὰ τεθρίππων
Ἥλιος ἤδη κάμπτει κατὰ γῆν,
ἄστρα δὲ φεύγει πῦρ τόδ' αἰθέρος
ἐς νύχθ' ἱεράν,
Παρνησιάδες δ' ἄβατοι κορυφαὶ
καταλαμπόμεναι τὴν ἡμέραν
ἁψῖδα βροτοῖσι δέχονται.
σμύρνης δ' ἀνύδρου καπνὸς εἰς ὀρόφους
Φοίβου πέτεται.
θάσσει δὲ γυνὴ τρίποδα ζάθεον
Δελφίς, ἀείδουσ' Ἕλλησι βοάς,
ἃς ἂν Ἀπόλλων κελαδήσῃ.
ἀλλ', ὦ Φοίβου Δελφοὶ θέραπες,
τὰς Κασταλίας ἀργυροειδεῖς
βαίνετε δίνας, καθαραῖς δὲ δρόσοις
φαιδρυνάμενοι στείχετε ναούς·
στόμα δ' εὔφημον φρουρεῖτ' ἀγαθῶν
φήμας τ' ἀγαθὰς
τοῖς ἐθέλουσιν μαντεύεσθαι
γλώσσης Δίας ἀποφαίνειν.
ἡμεῖς δέ, πόνους οὓς ἐκ παιδὸς
μοχθοῦμεν ἀεί, πτόρθοισι δάφνης
στέφεσίν θ' ἱεροῖς ἐσόδους Φοίβου
καθαρὰς θήσομεν ὑγραῖς τε πέδον
ῥανίσιν νοτερόν, πτηνῶν τ' ἀγέλας,
αἳ βλάπτουσιν σέμν' ἀναθήματα,

---

81 *ἐγώ νιν*] Scaliger, *ἐγὼ LP*, *ἔγωγε l*, *ἐγώ σφε* L. Dindorf 83 *κάμπτει*] Musgrave, *λάμπει LP* 84 *φεύγει P* et mut. in *φλέγει L* | *πυρὶ τόδ' L*, *πυρὶ* et ut vid. *τῶδ' P*, *πῦρ τόδ' p* | *πῦρ τόδ' ἀπ'* Badham, fort. *φλόγα τήνδ'* 87 *ἡμέραν LP*, in marg. *πραεῖαν L*, *ἡμερίαν* Canter, fort. *ἠοίαν* 89 *ἀνύδρου*] fort. *ἀμυδρὸς* 90 *πέτεται*] Musgrave, *πέταται LP* 97 *φαιδρυνάμενοι*] Wakefield, *ἀφυδρανάμενοι LP* 98 *δ'*] Kirchhoff, *τ' LP* | *ἀγαθῶν*] Bothe, *ἀγαθὸν LP* (*φρουρεῖτ', ἀγαθῶν φήμας ἀγαθὰς* Hermann) 100 *ἐθέλουσι L*, *ἐθέλουσιν lP* | *μαντεύεσθαι P* et scripto *ε* super *αι L* 101 *Δίας*] scripsi, *ἰδίας LP* 104 *στέφεσί LP* 106 *ῥανίσι LP* 107 *βλάπτουσι L*, *βλάπτουσιν lP*

τόξοισιν ἐμοῖς φυγάδας θήσομεν·
ὡς γὰρ ἀμήτωρ ἀπάτωρ τε γεγὼς
τοὺς θρέψαντας
Φοίβου ναοὺς θεραπεύω.

ἄγ', ὦ νεηθαλὲς ὦ stroph.
καλλίστας προπόλευμα δάφνας,
ἃ τὰν Φοίβου θυμέλαν
σαίρεις ὑπὸ ναοῖς,
κήπων ἐξ ἀθανάτων,
ἵνα δρόσοι τέγγουσ' ἱεραὶ
. . τὰν ἀέναον παγὰν
ἐκπροϊεῖσαι
μυρσίνας ἱερὰν φόβαν,
ᾇ σαίρω δάπεδον θεοῦ
παναμέριος ἅμ' ἀλίου
πτέρυγι θοᾷ
λατρεύων τὸ κατ' ἦμαρ.

ὦ Παιὰν ὦ Παιάν,
εὐαίων εὐαίων
εἴην, ὦ Λατοῦς παῖ.

καλόν γε τὸν πόνον, ὦ antistr.
Φοῖβε, σοὶ πρὸ δόμων λατρεύω
τιμῶν μαντεῖον ἕδραν·
κλεινὸς δ' ὁ πόνος μοι
θεοῖσιν δούλαν χέρ' ἔχειν
οὐ θνατοῖς, ἀλλ' ἀθανάτοις·
εὐφάμους δὲ πόνους μοχθεῖν

---

112 *νεοθαλὲς LP*, *η* super *ο* scr. *l* vel *L* 113 *κάλλιστον* Dobree 115 *ναοῖς*] fort. *νασμοῖς*. Cfr. 146 116 *κήπων L*, *κόμπων P*, *κάπων* Badham 117 *ἵνα δρόσοι* (*δρόσω P*)] fort. *οὗ δῖναι*. Cfr. 148 | *ἱεραὶ*] fort. *ἱεροῦ* 118 *τὰν* habet *P*, in ras. scr. *l*, fort. *νάματος* | *ἀέναον*] Hermann, *ἀένναον LP* 120 *ἱερὰν*] *ζαθέαν* L. v. Sybel 122 *ἀλίου*] Hermann, *ἠελίου LP* 123 *θοᾷ*] Hermann, *θοῇ LP* 124 *λαμπρεύων P* | *ἆμαρ* Dindorf 127 *εἴην*] scripsi, *εἴης LP* 130 *μαντεῖον*, eraso *τὴν*, ut videtur, super *μ*, *L*, *τὴν μαντεῖον P* 132 *θεοῖσι L*, *θνατῷ* Herwerden 134 *εὐφάμους. δὲ πόνους*] Porson, *εὐφάμοις δὲ πόνοις LP*, sed *δὲ* delevit *l*, fort. *εὐκαμάτους δὲ πόνους* | *μοχθῶν* Wakefield

*ὅδε πρὸς θυμέλας ἄλλος ἐρέσσει*
*κύκνος· οὐκ ἄλλᾳ*
*φοινικοβαφῆ πόδα κινήσεις;*
*οὐδέν σ' ἁ φόρμιγξ ἁ Φοίβου*
*σύμμολπος τόξων ῥύσαιτ' ἄν·*
*πάραγε πτέρυγας,*
*λίμνας ἐπίβα τᾶς Δηλιάδος·*
*αἱμάξεις, εἰ μὴ πείσῃ,*
*τὰς καλλιφθόγγους ᾠδάς.*
*ἔα ἔα·*
*τίς ὅδ' ὀρνίθων καινὸς προσέβα;*
*μῶν ὑπὸ θριγκοὺς εὐναίας*
*καρφύρας θήσων τέκνοις;*
*ψαλμοί σ' εἴρξουσιν τόξων.*
*οὐ πείσῃ; χωρῶν δίνας*
*τὰς Ἀλφειοῦ παιδούργει*
*ἢ νάπος Ἴσθμιον,*
*ὡς ἀναθήματα μὴ βλάπτηται*
*ναοί θ' οἱ Φοίβου.*
*κτείνειν δ' ὑμᾶς αἰδοῦμαι*
*τοὺς θεῶν ἀγγέλλοντας φάμας*
*θνατοῖς· οἷς δ' ἔγκειμαι μόχθοις,*
*Φοίβῳ δουλεύω, κοὐ λήξω*
*τοὺς βόσκοντας θεραπεύων.*

ΧΟΡΟΣ.

*ΗΜΙΧ.* *οὐκ ἐν ταῖς ζαθέαις Ἀθά-* stroph.
*ναις εὐκίονες ἦσαν αὐ-*

---

161 *πρὸς θυμέλας*] Canter, *πρὸ θυμέλας L*, *προθυμέλας P* 162 *κύκνος*] Victorius, cfr. Demetr. l. ad v. 157 l., *κύκλος LP* 163 *φοινικοβαφῆ*] Nauck, *φοινικοφαῆ LP* 165 *ῥύσαιτ' ἂν Pl*, *ῥύσετ' ἂν L* 166 *πάραγε*] Scaliger, *παρά τε LP* 168 *αἱμάξω σ'* Musgrave 169 *ᾠδάς*] *δειράς* Kvičala 172 fort. *εὐναίους* 173 sq. *καρφυρὰς* ex Hes. *καρφυραί· αἱ ἐκ τῶν ξηρῶν ξύλων γινόμεναι κοῖται. Εὐριπίδης Ἴωνι* Wesseling, *καρφηρὰς LP* | *θήσων*] fort. *νήσων* | *εἴρξουσι LP*, *εἴρξουσιν l* 174 sq. *δίνας τὰς*] Badham, *δίναις* (*ἐν δίναις l*) *ταῖς LP* | *οὐ πείσῃ χωρῶν . . παιδουργεῖν*; idem 178 *βωμοί τε θεοῦ* Heimsoeth, fort. *ναοῖς τοῖς θεοῦ* 180 *φάμας*] Dindorf, *φήμας LP* 182 *δουλεύω*] scripsi, *δουλεύσω LP*, fort. *λατρεύω* 184—218 hemichoriis tribuit Musgrave (is quae choro reliquerat 184—9, hemichorio dedit L. Dindorf) 184 fort. *ζαθέοις*

*λαὶ θεῶν μόνον, οὐδ' ἀγυι-*
*άτιδες θεραπεῖαι·*
*ἀλλὰ καὶ παρὰ Λοξίᾳ*
*τῷ Λατοῦς διδύμων προσώ-*
*πων καλλιβλέφαρον φῶς.*
*ΗΜΙΧ. ἰδοὺ τάνδ', ἄθρησον,*
*Λερναῖον ὕδραν ἐναίρει*
*χρυσέαις ἅρπαις ὁ Διὸς παῖς·*
*φίλα, πρόσιδ' ὄσσοις.*

*ΗΜΙΧ. ὁρῶ. καὶ πέλας ἄλλος αὐ-* antistr.
*τοῦ πανὸν πυρίφλεκτον αἴ-*
*ρει τις· ἆρ' ὃς ἐμαῖσι μυ-*
*θεύεται παρὰ πήναις*
*ἀσπιστὰς Ἰόλαος, ὃς*
*κοινοὺς αἰρόμενος πόνους*
*Δίῳ παιδὶ συναντλεῖ;*
*ΗΜΙΧ. καὶ μὰν τόνδ' ἄθρησον*
*πτεροῦντος ἔφεδρον ἵππου·*
*τὰν πῦρ πνέουσαν ἐναίρει*
*τρισώματον ἀλκάν.*

*ΗΜΙΧ. πάντᾳ τοι βλέφαρον διώ-* stroph.
*κω. σκέψαι κλόνον ἐν τείχε-*
*σι λαΐνοισι Γιγάντων.*

---

186 *ἀγυιάτιδες* ex Hesychio s. h. v. et Steph. Byz. s. v. *ἀγυιά*] *ἀγυάτιδες LP* 187 sq. *θεραπεῖαι ἀλλὰ καὶ* mut. in *θεραπεῖ' ἀλλά γε καὶ L*, *θεραπεῖ' ἄλλα γε καὶ P* 188 *τῶ L*, *τῶν P* | *διδύμων τε P*, *διδύμων*, sed cum rasura supra sequens *π L*, fort. *μετώπων* 189 *καλλιβλέφαρον*] Brodeau, *καλλίφαρον LP* 190—3, 194—6 *καὶ πέλας . . αἴρει*, 198—204, 206 sq. *σκέψαι . . γιγάντων*, 209 sq., 212—22, 224, 225 (*στέμμασι . . γοργόνες*), 226—9, 233 (*πάντα . . ὄμμασι*), 234 (*δμωαὶ . . δόμων*) Ioni, cetera choro (235 *χορ. ἢ κρέουσα* in *L*) tribuunt libri, correxerunt Tyrwhitt et Musgrave 193 *ὄσσοις*] Musgrave, *ὄσσοισιν LP* 194 *ὁρῶ*] *ἀθρῶ* Nauck | *καὶ* om. *P*, add. *p* | *ἄλλος γ' P* 195 *πανὸν*] Pierson, cfr. Athen. XV p. 700 E, *πτανὸν LP* 196 *τίς; ἆρ'*] Boeckh, *τίς ἄρ' LP* | *ἐμαῖσι*] Musgrave, *ἐμαῖς LP* 197 *πήναις*] Musgrave, *πήναισιν LP* 199 *αἰρόμενος P*, fort. *ἀράμενος* 203 *πῦρ πνέουσαν*] Reiske, *πυρὶ πνέουσαν LP*, *πνείουσαν* Bothe 205 *πάντᾳ*] Musgrave, *πάντα LP* 206 *τείχεσι*] *τύποισι* anonymus 207 post *γιγάντων* rasura sex vel septem literarum in *L*

*ΗΜΙΧ.* ὧδε δερκόμεθ', ὦ φίλαι . .
*ΗΜΙΧ.* λεύσσεις οὖν ἐπ' Ἐγκελάδῳ
γοργωπὸν πάλλουσαν ἴτυν;
*ΗΜΙΧ.* λεύσσω Παλλάδ', ἐμὰν θεόν.
*ΗΜΙΧ.* τί γάρ; κεραυνὸν
ἀμφίπυρον ὄβριμον ἐν Διὸς
ἑκηβόλοισι χερσίν;
*ΗΜΙΧ.* ὁρῶ, τὸν δάϊον
Μίμαντα πυρὶ καταιθαλοῖ.
*ΗΜΙΧ.* καὶ Βρόμιος ἄλλον ἀπολέμοισι
κισσίνοισι βάκτροις
ἐναίρει Γᾶς τέκνων ὁ Βακχεύς.

*ΧΟ.* σέ τοι τὸν παρὰ ναὸν αὐ- antistr.
δῶ· θέμις γυάλων ὑπερ-
βῆναι λευκῷ ποδί γ . . . ;
*ΙΩΝ.* οὐ θέμις, ὦ ξέναι.
*ΧΟ.* οὐδ' ἂν ἐκ σέθεν ἂν πυθοίμαν,
*ΙΩΝ.* αὔδα· τί θέλεις;
*ΧΟ.* ἆρ' ὄντως μέσον ὀμφαλὸν
γᾶς Φοίβου κατέχει δόμος;
*ΙΩΝ.* στέμμασί γ' ἐνδυτόν, ἀμφὶ δὲ Γοργόνες.
*ΧΟ.* οὕτω καὶ φάτις αὐδᾷ.
*ΙΩΝ.* εἰ μὲν ἐδεύσατε πέλανον πρὸ δόμων
καί τι πυθέσθαι χρῄζετε Φοίβου,
πάριτ' ἐς θυμέλας, ἐπὶ δ' ἀσφάκτοις
μήλοισι δόμων μὴ πάριτ' ἐς μυχόν.
*ΧΟ.* ἔχω μαθοῦσα·
θεοῦ δὲ νόμον οὐ παραβαίνομεν·

---

208 δερκόμεθ'] Dobree, δερκόμεσθ' *LP*, δερκώμεσθ' *l* | ὦ φίλαι] fort. ὦ γυναῖκες 209 οὖν] fort. τάνδ' 210 γοργῶπιν Nauck 212 super κεραυνὸν scr. λεύσσεις *L* 213 sq. ὄμβριμον *LP*, ὄβριμον *p* | ἐκηβόλης *LP*, ἐκηβόλοισι *p*, ἑκαβόλοισι Herwerden 216 sq. ἀπολέμοισι κισσίνοισι] Musgrave, ἀπολέμοις (ἀπολεμίοις *l*) κισσίνοις *LP* 218 τέκνων] Elmsley, τέκνον *LP* 221 ποδὶ γ' *L*, ποδί cum litura loco literae γ *P*, ποδὶ βηλόν Hermann (βαλόν Dindorf), fort. ποδὶ θριγκούς. Cfr. 1321. θριγκὸν O. Hense 222 ξένοι *LP*, ξέναι *l* 223 sq. πυθοίμαν *ΙΩΝ.* αὔδα τί θέλεις] Hermann, ποθοίμαν αὐδάν *ΙΩΝ.* τίνα δὲ θέλεις *LP* | ὄντως *Lp*, ὄντος *P* 224 ἐνδυτόν] Musgrave, ἐνδυτός *LP* 226 ἐδεύσατε] scripsi, ἐδύσατε scripto λ super δ *LP*, ἐθύσατε H. Stephanus 226 sqq. ἔθυσας . . χρῄζεις . . πάριθ' . . πάριθ' Nauck 227 καί τοι *P*

ΚΡ. οὐδέν· μεθῆκα τόξα· τἀπὶ τῷδε δὲ
ἐγώ τε σιγῶ καὶ σὺ μὴ φρόντιζ' ἔτι.
ΙΩΝ. τίς δ' εἶ; πόθεν γῆς ἦλθες; ἐκ ποίου πατρὸς
πέφυκας; ὄνομα τί σε καλεῖν ἡμᾶς χρεών;
ΚΡ. Κρέουσα μέν μοι τοὔνομ', ἐκ δ' Ἐρεχθέως
πέφυκα, πατρὶς γῆ δ' Ἀθηναίων πόλις.
ΙΩΝ. ὦ κλεινὸν οἰκοῦσ' ἄστυ γενναίων τ' ἄπο
τραφεῖσα πατέρων, ὥς σε θαυμάζω, γύναι.
ΚΡ. τοσαῦτα κεὐτυχοῦμεν, ὦ ξέν', οὐ πέρα.
ΙΩΝ. πρὸς θεῶν ἀληθῶς, ὡς μεμύθευται βροτοῖς,
ΚΡ. τί χρῆμ' ἐρωτᾷς, ὦ ξέν', ἐκμαθεῖν θέλω.
ΙΩΝ. ἐκ γῆς πατρός σου πρόγονος ἔβλαστεν πατήρ;
ΚΡ. Ἐριχθόνιός γε· τὸ δὲ γένος μ' οὐκ ὠφελεῖ.
ΙΩΝ. ἦ καί σφ' Ἀθάνα γῆθεν ἐξανείλετο;
ΚΡ. ἐς παρθένους γε χεῖρας, οὐ τεκοῦσά νιν.
ΙΩΝ. δίδωσι δ' αἷσπερ ἐν γραφῇ νομίζεται;
ΚΡ. Κέκροπός γε σῴζειν παισὶν οὐχ ὁρώμενον.
ΙΩΝ. ἤκουσα λῦσαι παρθένους τεῦχος θεᾶς.
ΚΡ. τοιγὰρ θανοῦσαι σκόπελον ᾕμαξαν πέτρας.
ΙΩΝ. εἶεν·
τί δαὶ τόδ'; ἆρ' ἀληθὲς ἢ μάτην λόγος;
ΚΡ. τί χρῆμ' ἐρωτᾷς; καὶ γὰρ οὐ κάμνω σχολῇ.
ΙΩΝ. πατὴρ Ἐρεχθεὺς σὰς ἔθυσε συγγόνους;
ΚΡ. ἔτλη πρὸ γαίας σφάγια παρθένους κτανεῖν.
ΙΩΝ. σὺ δ' ἐξεσώθης πῶς κασιγνήτων μόνη;
ΚΡ. βρέφος νεογνὸν μητρὸς ἦν ἐν ἀγκάλαις.
ΙΩΝ. πατέρα δ' ἀληθῶς χάσμα σὸν κρύπτει χθονός;
ΚΡ. πληγαὶ τριαίνης ποντίου σφ' ἀπώλεσαν.
ΙΩΝ. Μακραὶ δὲ χῶρός ἐστ' ἐκεῖ κεκλημένος;
ΚΡ. τί δ' ἱστορεῖς τόδ'; ὥς μ' ἀνέμνησάς τινος.
ΙΩΝ. τιμᾷ σφε Πύθιος ἀστραπαί τε Πύθιαι.

---

256 τῷδε] fort. τοῖσδε 257 φρόντιζ' ἔτι] Barnes, φρόντιζέ τι *LP* 258 ποίου πατρὸς] L. Dindorf, ποίας πάτρας *LP* 261 πατρὶς δ' ἐστ' Nauck 264 τοσαῦτά γ' εὐτυχοῦμεν Musgrave 266 inde ab hoc v. lineolae praefixae in *LP* | θέλων; Badham 267 ἔβλαστε *LP* 271 αἷσπερ] Kirchhoff, ὥσπερ *LP* | νομίζεται] fort. φατίζεται 275 δαὶ] δὴ Elmsley, δ' αὖ Porson 280 ἦν] οὖσ' Nauck 282 τριαίνεις *LP*, τριαίνης *p* 285 Πύθιος] Φοῖβος Matthiae. Fort. ἀστραπαί τε Πύθιοι vel potius ἀστραπαῖς δι' Ἅρματος. Cfr. Hesych. s. v. ἀστραπὴ δι' Ἅρματος

ΚΡ. τιμᾷ τιμᾷ· ὡς μήποτ' ὤφελόν σφ' ἰδεῖν.
ΙΩΝ. τί δὲ στυγεῖς σὺ τοῦ θεοῦ τὰ φίλτατα;
ΚΡ. οὐδέν· ξύνοιδ' ἄντροισιν αἰσχύνην τινά.
ΙΩΝ. πόσις δὲ τίς σ' ἔγημ' Ἀθηναίων, γύναι;
ΚΡ. οὐκ ἀστός, ἀλλ' ἐπακτὸς ἐξ ἄλλης χθονός.
ΙΩΝ. τίς; εὐγενῆ νιν δεῖ πεφυκέναι τινά.
ΚΡ. Ξοῦθος, πεφυκὼς Αἰόλου Διός τ' ἄπο.
ΙΩΝ. καὶ πῶς ξένος σ' ὢν ἔσχεν οὖσαν ἐγγενῆ;
ΚΡ. Εὔβοι' Ἀθήναις ἔστι τις γείτων πόλις·
ΙΩΝ. ὅροις ὑγροῖσιν, ὡς λέγουσ', ὡρισμένη.
ΚΡ. ταύτην ἔπερσε Κεκροπίδαις κοινῷ δορί.
ΙΩΝ. ἐπίκουρος ἐλθών; κᾆτα σὸν γαμεῖ λέχος;
ΚΡ. φερνάς γε πολέμου καὶ δορὸς λαβὼν γέρας.
ΙΩΝ. σὺν ἀνδρὶ δ' ἥκεις ἢ μόνη χρηστήρια;
ΚΡ. σὺν ἀνδρί. σηκοὺς δ' ἐκστρέφει Τροφωνίου.
ΙΩΝ. πότερα θεατὴς ἢ χάριν μαντευμάτων;
ΚΡ. κείνου τε Φοίβου θ' ἓν θέλων μαθεῖν ἔπος.
ΙΩΝ. καρποῦ δ' ὕπερ γῆς ἥκετ', ἢ παίδων πέρι;
ΚΡ. ἄπαιδές ἐσμεν, χρόνι' ἔχοντ' εὐνάματα.
ΙΩΝ. οὐδ' ἔτεκες οὐδὲν πώποτ', ἀλλ' ἄτεκνος εἶ;
ΚΡ. ὁ Φοῖβος οἶδε τὴν ἐμὴν ἀπαιδίαν.
ΙΩΝ. ὦ τλῆμον, ὡς τἄλλ' εὐτυχοῦσ' οὐκ εὐτυχεῖς.
ΚΡ. σὺ δ' εἶ τίς; ὥς σου τὴν τεκοῦσαν ὤλβισα.
ΙΩΝ. τοῦ θεοῦ καλοῦμαι δοῦλος εἰμί τ', ὦ γύναι.
ΚΡ. ἀνάθημα πόλεως, ἤ τινος πραθεὶς ὕπο;
ΙΩΝ. οὐκ οἶδα πλὴν ἕν· Λοξίου κεκλήμεθα.
ΚΡ. ἡμεῖς σ' ἄρ' αὖθις, ὦ ξέν', ἀντοικτείρομεν.
ΙΩΝ. ὡς μὴ εἰδόθ' ἥτις μ' ἔτεκεν ἐξ ὅτου τ' ἔφυν.
ΚΡ. ναοῖσι δ' οἰκεῖς τοισίδ' ἢ κατὰ στέγας;

---

286 τιμᾷ τιμᾷ· ὡς] τιμᾷ; τί τιμᾷ Hermann, τιμᾷ σφε, τιμᾷ Badham, fort. τιμάς γ' ἀτίμους | σφ' Scaliger, σ' *LP* 288 ξύνοιδ'] Tyrwhitt, ξέν' οἶδ' *L*, ξέν' οἶδ' ἐν *P* 289 σ' om. *P* 295 ὅροις γ' Cobet (ὑγροῖσί γ' Herwerden) 300 σηκοὺς δ' ἐκστρέφει] Reiske, σηκούς δ' εὖ στρέφει cum schol. ἐνστρέφεται τῷ τοῦ Τροφωνίου σηκῷ *L*, σηκὸς δ' εὖ στέφει *P*, σηκοὺς δ' ἐνστρέφει apogr. Paris., σηκοῖς δ' ἐνστρέφει Scaliger. Cfr. Alc. 1001 301 πότερον Ammonius p. 69 304 ἄπαιδ' ἔτ' Naber | εὐνάματα] Nauck, εὐνήματα *LP* 307 εὐτυχεῖς] fort. εὐστομεῖς· 312 αὖτις *LP* 313 ἥτις *Lp*, εἴ τις *P* 314 τοισίδ'] Wakefield, τοῖσδε *P*, τοῖσδε γ' *L*

*ΙΩΝ.* ἁπανταχοῦ μοι δῶμ', ἵν' ἂν λάβῃ μ' ὕπνος.
*ΚΡ.* παῖς δ' ὢν ἀφίκου ναὸν ἢ νεανίας;
*ΙΩΝ.* βρέφος λέγουσιν οἱ δοκοῦντες εἰδέναι.
*ΚΡ.* καὶ τίς γάλακτί σ' ἐξέθρεψε Δελφίδων;
*ΙΩΝ.* οὐπώποτ' ἔγνων μαστόν· ἡ δ' ἔθρεψέ με
*ΚΡ.* τίς, ὦ ταλαίπωρ'; ὡς νοσοῦσ' ηὗρον νόσους.
*ΙΩΝ.* Φοίβου προφῆτις, μητέρ' ὣς νομίζομεν.
*ΚΡ.* ἐς δ' ἄνδρ' ἀφίκου τίνα τροφὴν κεκτημένος;
*ΙΩΝ.* βωμοί μ' ἔφερβον οὑπιών τ' ἀεὶ ξένος. 323
*ΚΡ.* ἔχεις δὲ βίοτον; εὖ γὰρ ἤσκησαι πέπλοις. 326
*ΙΩΝ.* τοῖς τοῦ θεοῦ κοσμούμεθ', ᾧ δουλεύομεν. 327
*ΚΡ.* τάλαινά σ' ἡ τεκοῦσα· τίς ποτ' ἦν ἄρα; 324
*ΙΩΝ.* ἀδίκημά του γυναικὸς ἐγενόμην ἴσως. 325
*ΚΡ.* οὐδ' ᾖξας εἰς ἔρευναν ἐξευρεῖν γονάς; 328
*ΙΩΝ.* ἔχω γὰρ οὐδέν, ὦ γύναι, τεκμήριον.
*ΚΡ.* φεῦ·
πέπονθέ τις σῇ μητρὶ ταὔτ' ἄλλη γυνή.
*ΙΩΝ.* τίς; εἰ πόνου μοι ξυλλάβοι, χαίροιμεν ἄν.
*ΚΡ.* ἧς εἵνεκ' ἦλθον δεῦρο πρὶν πόσιν μολεῖν.
*ΙΩΝ.* ποῖόν τι χρῄζουσ'; ὡς ὑπουργήσω, γύναι.
*ΚΡ.* μάντευμα κρυπτὸν δεομένη Φοίβου μαθεῖν.
*ΙΩΝ.* λέγοις ἄν· ἡμεῖς τἄλλα προξενήσομεν.
*ΚΡ.* ἄκουε δὴ τὸν μῦθον· ἀλλ' αἰδούμεθα.
*ΙΩΝ.* οὔ τἄρα πράξεις οὐδέν· ἀργὸς ἡ θεός.
*ΚΡ.* Φοίβῳ μιγῆναί φησί τις φίλων ἐμῶν.
*ΙΩΝ.* Φοίβῳ γυνὴ γεγῶσα; μὴ λέγ', ὦ ξένη.
*ΚΡ.* καὶ παῖδά γ' ἔτεκε τῷ θεῷ λάθρᾳ πατρός.
*ΙΩΝ.* οὐκ ἔστιν· ἀνδρὸς ἀδικίαν αἰσχύνεται.

---

315 ἁπανταχοῦ] Musgrave, ἅπαν θεοῦ *LP* 319 ἡ δ'] Musgrave, ἦδ' *LP* 320 εὗρον *LP* 324 sq. post 327 transposui (A. Soph. em. p. 193). Herwerden etiam 314 sq. inter 327 et 324 collocat 324 τεκοῦσα· τίς] Jodrell, τεκοῦσ' ἥτις *LP* | τάλαινά σ' ἡ τεκοῦσ' ἄρ', ἥτις ἦν ποτε Porson, τάλαιν' ἄρ' ἡ τεκοῦσά σ' ἥτις ἦν ποτε L. Dindorf 330 ταὔτ'] Huelsemann, ταῦτ' *LP* 331 τίς; εἰ πόνου μοι ξυλλάβοι] Yxem, τίς εἶπον εἴ μοι ξυλλάβῃ (ξυλάβη *P*) *LP*, ξυλλάβοις Kuiper 332 οὕνεκ' *LP* 334 μαθεῖν] λαβεῖν Nauck 335 τἄλλα] Brodeau, τ' (superscr. δ') ἄλλα *L*, δὲ τ' ἄλλα *P* 336 αἰδούμεθα] αἰδώς μ' ἔχει Kirchhoff 340 πατρός] H. Stephanus, πάρος *LP* 341 ἀδικία δ' ᾔσχυνέ νιν F. Gu. Schmidt

ἐν τοῖς γὰρ αὑτοῦ δώμασιν κακὸς φανεὶς
Φοῖβος δικαίως τὸν θεμιστεύοντά σοι
δράσειεν ἄν τι πῆμ'· ἀπαλλάσσου, γύναι·
τῷ γὰρ θεῷ τἀναντί' οὐ μαντευτέον.
ἐς γὰρ τοσοῦτον ἀμαθίας ἔλθοιμεν ἄν,
εἰ τοὺς θεοὺς ἄκοντας ἐκπονήσομεν
φράζειν ἃ μὴ θέλουσιν ἢ προβωμίοις
σφαγαῖσι μήλων ἢ δι' οἰωνῶν πτερά.
ἂν γὰρ βίᾳ σπεύδωμεν ἀκόντων θεῶν,
ἀνόνητα κεκτήμεσθα τἀγάθ', ὦ γύναι·
ἃ δ' ἂν διδῶσ' ἑκόντες, ὠφελούμεθα.
*ΧΟ.* πολλαί γε πολλοῖς εἰσι συμφοραὶ βροτοῖς,
μορφαὶ δὲ διαφέρουσιν· ἓν δ' ἂν εὐτυχὲς
μόλις ποτ' ἐξεύροι τις ἀνθρώπων βίῳ.
*ΚΡ.* ὦ Φοῖβε, κἀκεῖ κἀνθάδ' οὐ δίκαιος εἶ
ἐς τὴν ἀποῦσαν, ἧς πάρεισιν οἱ λόγοι,
ὃς οὔτ' ἔσωσας τὸν σὸν ὃν σῶσαί σε χρῆν,
οὔθ' ἱστορούσῃ μητρὶ μάντις ὢν ἐρεῖς,
ὡς, εἰ μὲν οὐκέτ' ἔστιν, ὀγκωθῇ τάφῳ,
εἰ δ' ἔστιν, ἔλθῃ μητρὸς εἰς ὄψιν ποτέ.
ἀλλ' ἐᾶν χρὴ τάδ', εἰ πρὸς τοῦ θεοῦ
κωλυόμεσθα μὴ μαθεῖν ἃ βούλομαι.
ἀλλ', ὦ ξέν', εἰσορῶ γὰρ εὐγενῆ πόσιν
Ξοῦθον πέλας δὴ τόνδε τὰς Τροφωνίου
λιπόντα θαλάμας, τοὺς λελεγμένους λόγους

---

370 lineola (i. e. *ΚΡ.*) praefixa in *LP*, correctum in ed. Hervagiana altera | αὐτοῦ δώμασι *LP* 371 θεμιστεύοντα *LP*, θεμιστεύσοντα *p* 373 fort. τοῖς γὰρ θεοῖσι τἀντί' 374 ἐς τοὔσχατον γὰρ Badham, ἐς γὰρ πόσον τοῦτ' Madvig 375 ἄκοντας] Brodeau, ἑκόντας *LP* 377 πτερά] scripsi (πτερῶν Kvičala), πτεροῖς *LP* | δι' οἰωνισμάτων Schoemann 378 ἂν] Scaliger, ἃν *LP* 379 ἀνόνητα] H. Stephanus, ἄκοντα *LP* | κεκτήμεθα *P* 380 ἃ] fort. οἷς 381 βροτοῖς Stob. fl. 98, 41, βροτῶν *LP* 382 μορφαῖς et ἐν δ' εὐτυχίαις Stobaeus 382 sq. ἕνα δ' ἂν εὐτυχῆ . . ἀνθρώπου βίον Heath (ἄνθρωπον βίῳ Herwerden), fort. ἓν πτερὸν τύχης . . ἂν θνητῶν βίῳ. Cfr. Aesch. Suppl. 331 383 βίον superscr. ω *L*, βίον *P*, βίω *p*, βίον Stobaeus 386 ὃς οὔτ'] Hermann (ὅς γ' οὔτ' Dobree), σὺ δ' οὐκ *P*, σὺ* οὐκ (κ ex ν ut videtur facto) *L*, σύ γ' οὐκ *l* | σ' ἐχρῆν *LP* 390 fort. ἄλλως ἔδη χρηστήρι', εἰ (ἄλλως Musgrave, ἔδη Nauck, χρηστήρι' Kirchhoff) 393 δὴ τόνδε] fort. στείχοντα

σίγα πρὸς ἄνδρα, μή τιν' αἰσχύνην λάβω
διακονοῦσα κρυπτά, καὶ προβῇ λόγος
οὐχ ᾗπερ ἡμεῖς αὐτὸν ἐξειλίσσομεν.
τὰ γὰρ γυναικῶν δυσχερῆ πρὸς ἄρσενας,
κἀν ταῖς κακαῖσιν ἀγαθαὶ μεμιγμέναι
μισούμεθ'· οὕτω δυστυχεῖς πεφύκαμεν.

ΞΟΥΘΟΣ.

πρῶτον μὲν ὁ θεὸς τῶν ἐμῶν προσφθεγμάτων
λαβὼν ἀπαρχὰς χαιρέτω, σύ τ', ὦ γύναι.
μῶν χρόνιος ἐλθών σ' ἐξέπληξ' ὀρρωδίᾳ;

ΚΡ. οὐδέν γ'· ἀφίκου δ' ἐς μέριμναν. ἀλλά μοι
λέξον, τί θέσπισμ' ἐκ Τροφωνίου φέρεις,
παίδων ὅπως νῷν σπέρμα συγκραθήσεται;

ΞΟΥ. οὐκ ἠξίωσε τοῦ θεοῦ προλαμβάνειν
μαντεύμαθ'· ἓν δ' οὖν εἶπεν, οὐκ ἄπαιδά με
πρὸς οἶκον ἥξειν οὐδὲ σ' ἐκ χρηστηρίων.

ΚΡ. ὦ πότνια Φοίβου μῆτερ, εἰ γὰρ αἰσίως
ἔλθοιμεν, ἅ τε νῷν συμβόλαια πρόσθεν ἦν
ἐς παῖδα τὸν σόν, μεταπέσοι βελτίονα.

ΞΟΥ. ἔσται τάδ'· ἀλλὰ τίς προφητεύει θεοῦ;

ΙΩΝ. ἡμεῖς τά γ' ἔξω, τῶν ἔσω δ' ἄλλοις μέλει,
οἳ πλησίον θάσσουσι τρίποδος, ὦ ξένε,
Δελφῶν ἀριστῆς, οὓς ἐκλήρωσεν πάλος.

ΞΟΥ. καλῶς· ἔχων δὴ πάνθ' ὅσων ἐχρῄζομεν
στείχοιμ' ἂν εἴσω· καὶ γάρ, ὡς ἐγὼ κλύω,
χρηστήριον πέπτωκε τοῖς ἐπήλυσι
κοινὸν πρὸ ναοῦ· βούλομαι δ' ἐν ἡμέρᾳ
τῇδ'· αἰσία γάρ· θεοῦ λαβεῖν μαντεύματα.
σὺ δ' ἀμφὶ βωμούς, ὦ γύναι, δαφνηφόρους

396 καὶ προβῇ] κἀμ' ὀλῇ corr. in καί μ' ὀλῇ cod. *A* Stob. 74, 29, κἀποβῇ Nauck, fort. καὶ πλεκῇ 397 ἐξελίσσομεν Stobaeus 399 ἀίγαθαὶ *LP* 401 ὁ θεὸς] ed. Brubachiana, θεὸς *LP* | προφθεγμάτων *P* 406 συγκραθήσεται] Wakefield, συγκαθήσεται *LP* 408 μαντεύμαθ'] Barnes, μάντευμ' *LP* | δ' οὖν] L. Dindorf, γοῦν *LP* 412 ἐς hic *LP* 413 προφητεύει θεοῦ] fort. θεμιστεύει θεῷ 415 ὦ ξένε] Duport, ξένε *LP* 416 ἀριστεῖς *L* | πάρος *LP*, πάλος *l* 417 ἔχων] Badham, ἔχω *LP* 422 fort. βωμόν

λαβοῦσα κλῶνας, εὐτέκνους εὔχου θεοῖς
χρησμούς μ' ἐνεγκεῖν ἐξ Ἀπόλλωνος δόμων.
ΚΡ. ἔσται τάδ' ἔσται. Λοξίας δ' ἐὰν θέλῃ
νῦν ἀλλὰ τὰς πρὶν ἀναλαβεῖν ἁμαρτίας,
ἅπας μὲν οὐ γένοιτ' ἂν εἰς ἡμᾶς φίλος,
ὅσον δὲ χρῄζει· θεὸς γάρ ἐστι· δέξομαι.
ΙΩΝ. τί ποτε λόγοισιν ἡ ξένη πρὸς τὸν θεὸν
κρυπτοῖσιν αἰεὶ λοιδοροῦσ' αἰνίσσεται,
ἤτοι φιλοῦσά γ' ἧς ὕπερ μαντεύεται,
ἢ καί τι σιγῶσ' ὧν σιωπᾶσθαι χρεών;
ἀτὰρ θυγατρὸς τῆς Ἐρεχθέως τί μοι
μέλει, προσῆκον οὐδέν; ἀλλὰ χρυσέαις
πρόχοισιν ἐλθὼν εἰς ἀπορραντήρια
δρόσον καθήσω. νουθετητέος δέ μοι
Φοῖβος, τί πάσχει· παρθένους βίᾳ γαμῶν
προδίδωσι, παῖδά τ' ἐκτεκνούμενος λάθρᾳ
θνῄσκοντος ἀμελεῖ. μὴ σύ γ'· ἀλλ', ἐπεὶ κρατεῖς,
ἀρετὰς δίωκε. καὶ γὰρ ὅστις ἂν βροτῶν
κακὸς πεφύκῃ, ζημιοῦσιν οἱ θεοί.
πῶς οὖν δίκαιον τοὺς νόμους ὑμᾶς βροτοῖς
γράψαντας αὐτοὺς ἀνομίαν ὀφλισκάνειν;
εἰ δ'· οὐ γὰρ ἔσται, τῷ λόγῳ δὲ χρήσομαι·
δίκας βιαίων δώσετ' ἀνθρώποις γάμων,
σὺ καὶ Ποσειδῶν Ζεύς θ' ὃς οὐρανοῦ κρατεῖ,
ναοὺς τίνοντες ἀδικίας κενώσετε.
τὰς ἡδονὰς γὰρ τῆς προμηθίας πάρος
σπεύδοντες ἀδικεῖτ'. οὐκέτ' ἀνθρώπους κακοὺς

429 οἱ ξένοι P, ἡ ξένη p 431 γ' ἧς] Victorius, γῆς LP | ὑπερμαντεύεται LP 434 προσῆκον οὐδὲν] Wakefield, προσήκει τοὔδας LP, προσῆκέ μ' οὐθέν Justinus Mart. de mon. I p. 128 435 πρόχουσιν LP, πρόχοισιν p et Justinus | fort. ἐς περιρραντήρια 438 παῖδά τ'] scripsi (παῖδάς τ' Musgrave), παῖδας LP | ἐκτεκνούμενος Justinus, τεκνούμενος LP 439 θνῄσκοντος] Th. Kock, θνήσκοντας LP | ἀμέλει LP 440 ἂν Justinus et Stob. ecl. I 3, 5, ὧν LP 441 πεφύκῃ Justinus, πεφύκει LP 443 ἀδικίας ὀφλισκάνειν Justinus et Clem. Alex. protr. p. 22 444 τῷ λόγῳ δὲ χρήσομαι Clemens, τῷ λόγῳ κεχρήσομαι Justinus, τῷ λοιπῷ δὲ χρήσομαι LP 447 τίνοντες ἀδικίας Justinus et Clemens, τίνοντες δ' ἀδικίας LP 448 προμηθείας πέρας Justinus, unde πέρα Conington 449 κακοὺς Justinus, κακῶς LP

*ἀκίνητον ἀφορμάν,*
*τέκνων οἷς ἂν κουροτρόφοι*
*λάμπωσιν ἐν θαλάμοις*
*πατρίοισι νεάνιδες ἧβαι,*
*διαδέκτορα πλοῦτον*
*ὡς ἕξοντες ἐκ πατέρων*
*ἑτέροις ἐπὶ τέκνοις.*
*ἀλκά τε γὰρ ἐν κακοῖς*
*σύν τ' εὐτυχίαις φίλον,*
*δορί τε γᾷ πατρίᾳ φέρει*
*σωτήριον ἀλκάν.*
*ἐμοὶ μὲν πλούτου τε πάρος*
*βασιλικῶν τ' εἶεν θαλάμων*
*τροφαὶ κήδειοι κεδνῶν γε τέκνων.*
*τὸν ἄπαιδα δ' ἀποστυγῶ*
*βίον ᾧ τε δοκεῖ ψέγω·*
*μετὰ δὲ κτεάνων μετρίων βιοτᾶς*
*εὔπαιδος ἐχοίμαν.*

*ὦ Πανὸς θακήματα καὶ*
*παραυλίζουσα πέτρα*
*μυχώδεσι Μακραῖς,*
*ἵνα χοροὺς στείβουσι ποδοῖν*
*Ἀγλαύρου κόραι τρίγονοι*
*στάδια χλοερὰ πρὸ Παλλάδος*
*ναῶν, [συρίγγων]*
*ὑπ' αἰόλας ἀχᾶς*
*ὕμνων, ὅτ' ἀναλίοις*
*συρίζεις, ὦ Πάν,*

---

475 *κουροτρόφοι*] Musgrave, *καρποτρόφοι* *LP* 477 *ἧβαι*] *ὧραι* O. Goram. Cfr. Phoen. 786 479 *ἕξοντες* *LP*, *ἕξοντες γ'* *l* 483 *γᾶ* *L*, *γὰρ* *P* | *δοριπόνῳ τε πάτρᾳ* F. Gu. Schmidt 484 *ἀλκάν*] *αἴγλαν* Herwerden, fort. *αἰχμάν* 486 *βασιλικῶν τ' εἶεν θαλάμων* *LP*, literis *α β* positis mutavit in *βασιλικῶν θαλάμων τ' εἶεν* *l*, fort. *βασιλικῶν τε χλιδᾶς δόμων* 487 *γε τέκνων* *LP*, *γε* delevit *l* 491 *ἐχοίμαν*] *ὀναίμαν* Herwerden 493 *καὶ παραυλίζουσα* *P* 494 *μυχώδεσι*] Tyrwhitt, *μυχοὶ δαισὶ* *LP* 495 *στείχουσι* *P*, fort. *ἱστᾶσι* 496 *Ἀγλαύρου*] Scaliger, *ἀγραύλου* *LP*. Cfr. 23 498 *συρίγγων* delendum videtur (*συρικτῶν* Musgrave) 499 *ἀχᾶς*] scripsi, *ἰαχᾶς* *LP* 500 sq. *ὅτ' ἀναλίοις συρίζεις*] Herwerden, *ὅταν αὐλίοις συρίζῃς* *LP*

*τοῖσι σοῖς ἐν ἄντροις,*
*ἵνα τεκοῦσά τις*
*παρθένος, ὦ μελέα, βρέφος*
*Φοίβῳ, πτανοῖς ἐξώρισε θοίναν*
*θηρσί τε φοινίαν δαῖτα, πικρῶν γάμων*
*ὕβριν. οὔτ' ἐπὶ κερκίσιν οὔτε λόγων*
*φάτιν ἄιον εὐτυχίας μετέχειν*
*θεόθεν τέκνα θνατοῖς.*

ΙΩΝ.

*πρόσπολοι γυναῖκες, αἳ τῶνδ' ἀμφὶ κρηπῖδας δόμων*
*θυοδόκων φρούρημ' ἔχουσαι δεσπότην φυλάσσετε,*
*ἐκλέλοιπ' ἤδη τὸν ἱερὸν τρίποδα καὶ χρηστήριον*
*Ξοῦθος, ἢ μίμνει κατ' οἶκον ἱστορῶν ἀπαιδίαν;*
*ΧΟ. ἐν δόμοις ἔστ', ὦ ξέν'· οὔπω δῶμ' ὑπερβαίνει τόδε.*
*ὡς δ' ἐπ' ἐξόδοισιν ὄντος τῶνδ' ἀκούομεν πυλῶν*
*δοῦπον, ἐξιόντα τ' ἤδη δεσπότην ὁρᾶν πάρα.*
*ΞΟΥ. ὦ τέκνον, χαῖρ'· ἡ γὰρ ἀρχὴ τοῦ λόγου πρέπουσά μοι.*
*ΙΩΝ. χαίρομεν· σὺ δ' εὖ φρόνει γε, καὶ δύ' ὄντ' ἓν πράξομεν.*
*ΞΟΥ. δὸς χερὸς φίλημά μοι σῆς σώματός τ' ἀμφιπτυχάς.*
*ΙΩΝ. εὖ φρονεῖς μέν; ἤ σ' ἔμηνε θεοῦ τις, ὦ ξένε, βλάβη;*
*ΞΟΥ. ὡς τί δὴ φεύγεις με σαυτοῦ γνωρίσας τὰ φίλτατα;*
*ΙΩΝ. οὐ φιλῶ φρενῶν ἀμοίρους καὶ μεμηνότας ξένους.*
*ΞΟΥ. οὐ φρονῶ, τὰ φίλταθ' εὑρὼν εἰ φιλεῖν ἐφίεμαι;*
*ΙΩΝ. παῦε, μὴ ψαύσας τὰ τοῦ θεοῦ στέμματα ῥήξῃς χερί.*
*ΞΟΥ. ἅψομαι· κοὐ ῥυσιάζω, τἀμὰ δ' εὑρίσκω φίλα.*
*ΙΩΝ. οὐκ ἀπαλλάξῃ, πρὶν εἴσω τόξα πλευμόνων λαβεῖν;*

504 *ἐξώρισε LP*, *ἐξώρισεν l*, *ἐξορίζει* Badham 505 *φοινίαν*] Matthiae, *φονίαν LP* 506 *λόγων*] Badham, *λόγοις LP* 511 *θυοδόκους* Hermann | *ἔχουσαι*] H. Stephanus, *ἔχοντα LP* 513 *εὐπαιδίαν* J. Heiland 514 *ἔνδον ἔστ' ἔτ'* Jacobs 515 *τῶνδ'*] *τόνδ'* Ge. Schmid 517 *ἡ γὰρ*] *ἥδε γ'* Badham 518 *ἓν*] scripsi, *εὖ LP* 519 inde ab hoc v. lineolae praefixae in *P* (omissa 539 ante *ἡ τύχη*) 520 *ἔμην' ἐκ* Ch. Baier 521—4 post 526 transposui (523 sq. post 526 collocat Ge. Schmid) 521 *οὐ φρονῶ*] Jacobs, *σωφρονῶ LP* | *φυγεῖν LP*, *φιλεῖν l* 522 *τὸ τοῦ . . στέμμα σῇ* Hilberg | *ῥήξεις LP* 523 *ἅπτομαι* Kayser | *εὑρίσκω φίλα*] fort. *εὑρίσκων ἄγω* 524 *πνευμόνων LP* 525 *με*] Heath, *ἐμὲ LP* | *με; σαυτοῦ γνώρισον* Hermann 526 *οὐ φιλῶ*] Scaliger, *ὀφείλω LP* | *φρενῶν P*, *φρενοῦν L* | *ἀμοίρους*] Nauck, *ἀμούσους LP*

ΞΟΥ. κτεῖνε καὶ πίμπρη· πατρὸς γάρ, ἢν κτάνῃς, ἔσῃ φονεύς.
ΙΩΝ. ποῦ δέ μοι πατὴρ σύ; ταῦτ' οὖν οὐ γέλως κλύειν ἐμοί;
ΞΟΥ. οὔ· τρέχων ὁ μῦθος ἄν σοι τρανὰ σημήνειεν ἄν.
ΙΩΝ. καὶ τί μοι λέξεις; ΞΟΥ. πατὴρ σός εἰμι καὶ σὺ παῖς ἐμός.
ΙΩΝ. τίς λέγει τάδ'; ΞΟΥ. ὅς σ' ἔθρεψεν ὄντα Λοξίας ἐμόν.
ΙΩΝ. μαρτυρεῖς σαυτῷ. ΞΟΥ. τὰ τοῦ θεοῦ γ' ἐκμαθὼν χρηστήρια.
ΙΩΝ. ἐσφάλης αἴνιγμ' ἀκούσας. ΞΟΥ. οὐκ ἄρ' ὀρθ' ἀκούομεν.
ΙΩΝ. ὁ δὲ λόγος τίς ἐστι Φοίβου; ΞΟΥ. τὸν συναντήσαντά μοι
ΙΩΝ. τίνα συνάντησιν; ΞΟΥ. δόμων τῶνδ' ἐξιόντι τοῦ θεοῦ
ΙΩΝ. συμφορᾶς τίνος κυρῆσαι; ΞΟΥ. παῖδ' ἐμὸν πεφυκέναι.
ΙΩΝ. σὸν γεγῶτ', ἢ δῶρον ἄλλων; ΞΟΥ. δῶρον, ὄντα δ' ἐξ ἐμοῦ.
ΙΩΝ. πρῶτα δῆτ' ἐμοὶ ξυνάπτεις πόδα σόν; ΞΟΥ. οὐκ ἄλλῳ, τέκνον.
ΙΩΝ. ἡ τύχη πόθεν ποθ' ἥκει; ΞΟΥ. δύο μίαν θαυμάζομεν.
ΙΩΝ. ἐκ τίνος δέ σοι πέφυκα μητρός; ΞΟΥ. οὐκ ἔχω φράσαι.
ΙΩΝ. οὐδὲ Φοῖβος εἶπε; ΞΟΥ. τερφθεὶς τοῦτο, κεῖν' οὐκ ἠρόμην.
ΙΩΝ. γῆς ἄρ' ἐκπέφυκα μητρός. ΞΟΥ. οὐ πέδον τίκτει τέκνα.
ΙΩΝ. πῶς ἂν οὖν εἴην σός; ΞΟΥ. οὐκ οἶδ', ἀναφέρω δ' ἐς τὸν θεόν.
ΙΩΝ. φέρε λόγων ἀψώμεθ' ἄλλων. ΞΟΥ. τῶνδ' ἄμεινον, ὦ τέκνον.
ΙΩΝ. ἦλθες ἐς νόθον τι λέκτρον; ΞΟΥ. μωρίᾳ γε τοῦ νέου.
ΙΩΝ. πρὶν κόρην λαβεῖν Ἐρεχθέως; ΞΟΥ. οὐ γὰρ ὕστερόν γ' ἔτι.
ΙΩΝ. ἆρα δῆτ' ἐκεῖ μ' ἔφυσας; ΞΟΥ. τῷ χρόνῳ γε συντρέχει.

---

528 ἐμοῦ superscr. οἱ *L*, ἐμοῦ *P* 529 τρανὰ] scripsi, τἀμὰ *LP*. Cfr. Mosch. frg. 8 p. 815 N 531 τάδε *LP* 532 γ' om. *L*, inseruit *l* 535 τῶνδ'] πρῶτ' Herwerden 536 κυρήσειν Nauck 537 ἄλλων] Dobree, ἄλλως *LP* | δ'] Musgrave, σ' *P* et ex τ ut videtur factum *L* 540 ἐκ] Bothe, ἔα *LP* | πέφυκα μητρός] Canter, μητρὸς πέφυκα *LP* 541 τοῦτο apogr. Paris., τούτῳ *LP* 542 πέδον *L*, παίδων *P* 544 τῶνδ'] scripsi, ταῦτ' *LP* 545 νέου cum glossa τῆς νεότητος *L*, λόγου *P* 546 γ' ἔτι] Cobet, γέ πω *LP*

*ΞΟΥ.* ὦ τέκνον, ἐς μὲν σὴν ἀνεύρεσιν θεὸς
ὀρθῶς ἔκρανε, καὶ συνῆψ' ἐμοί τε σέ,
σύ τ' αὖ τὰ φίλταθ' ηὗρες οὐκ εἰδὼς πάρος.
ὃ δ' ᾖξας ὀρθῶς, τοῦτο κἄμ' ἔχει πόθος,
ὅπως σύ τ', ὦ παῖ, μητέρ' εὑρήσεις σέθεν,
ἐγώ θ' ὁποίας μοι γυναικὸς ἐξέφυς.
χρόνῳ δὲ δόντες ταῦτ' ἴσως εὕροιμεν ἄν.
ἀλλ' ἐκλιπὼν θεοῦ δάπεδ' ἀλητείαν τε σὴν
ἐς τὰς Ἀθήνας στεῖχε κοινόφρων πατρί,
οὗ σ' ὄλβιον μὲν σκῆπτρον ἀναμένει πατρός,
πολὺς δὲ πλοῦτος· οὐδὲ θάτερον νοσῶν
δυοῖν κεκλήσῃ δυσγενὴς πένης θ' ἅμα,
ἀλλ' εὐγενής τε καὶ πολυκτήμων βίου.
σιγᾷς; τί πρὸς γῆν ὄμμα σὸν βαλὼν ἔχεις
ἐς φροντίδας τ' ἀπῆλθες, ἐκ δὲ χαρμονῆς
πάλιν μεταστὰς δεῖμα προσβάλλεις πατρί;
*ΙΩΝ.* οὐ ταὐτὸν εἶδος φαίνεται τῶν πραγμάτων
πρόσωθεν ὄντων ἐγγύθεν θ' ὁρωμένων.
ἐγὼ δὲ τὴν μὲν συμφορὰν ἀσπάζομαι,
πατέρα σ' ἀνευρών· ὧν δὲ γιγνώσκω πέρι
ἄκουσον. εἶναί φασι τὰς αὐτόχθονας
κλεινὰς Ἀθήνας οὐκ ἐπείσακτον γένος,
ἵν' ἐσπεσοῦμαι δύο νόσω κεκτημένος,
πατρός τ' ἐπακτοῦ καὐτὸς ὢν νοθαγενής.
καὶ τοῦτ' ἔχων τοὔνειδος, ἀσθενὴς μὲν ὤν,
μηδὲν καὶ οὐδένων κεκλήσομαι·
ἢν δ' ἐς τὸ πρῶτον πόλεος ὁρμηθεὶς ζυγὸν
ζητῶ τις εἶναι, τῶν μὲν ἀδυνάτων ὕπο
μισησόμεσθα· λυπρὰ γὰρ τὰ κρείσσονα·

---

569 *ἀνύρεσιν P, ἀναίρεσιν p* 571 *εὗρες LP* 572 *ὃ δ' ᾖξας ὀρθῶς*] *οἷ δ' ᾖξας* [*ὀρθῶς*] Herwerden, fort. *οἷ δ' ᾖξ' ἔρως σοι* 575 fort. *τοῦτ' ἴσως ἄνοιμεν ἄν* 576 *δάπεδα λατρείαν* Pierson 577 *στεῖχε L, ἦλθε P* 579 *κοὐκέθ' ἑκάτερον νοσῶν* Kuiper 583 *τ'*] Dindorf, *δ' LP* 585 *οὐ ταὐτὸν εἶδος*] Scaliger, *οὐ ταῦτ'* (superscr. *τὸ αὐτὸ*) *ὄνειδος L, οὐ ταῦτ' ὄνειδος P* 588 *ὧν δὲ γιγνώσκω, πάτερ* Badham, fort. *ὧν δὲ δυσθυμῶ πέρι* 589 *τὰς*] *σὰς* Hermann | *παλαίχθονας* Schoemann 593 *ἔχον P* 594 *ἀστοῖς* (vel *ἐκεῖ*) *τὸ μηδὲν κοὐδένων* Hermann, fort. *τὸ μηδὲν ἀστοῖς κοὐδένων* (*οὐδένων* Scaliger, *οὐδὲν ὢν LP*) 595 *πόλεως LP*

*ὅσοι δὲ χρηστοὶ δυνάμενοί τ', ὄντες σοφοί,*
*σιγῶσι κοὐ σπεύδουσιν ἐς τὰ πράγματα,*
*γέλωτ' ἐν αὐτοῖς μωρίαν τε λήψομαι*
*οὐχ ἡσυχάζων ἐν πόλει ψόφου πλέᾳ.*
*τῶν δ' αὖ λογίων τε χρωμένων τε τῇ πόλει*
*ἐς ἀξίωμα βὰς πλέον φρουρήσομαι*
*ψήφοισιν. οὕτω γὰρ τάδ', ὦ πάτερ, φιλεῖ·*
*οἳ τὰς πόλεις ἔχουσιν, ἀξιώματος*
*τοῖς ἀνθαμίλλοις εἰσὶ πολεμιώτατοι.*
*ἐλθὼν δ' ἐς οἶκον ἀλλότριον ἔπηλυς ὢν*
*γυναῖκά θ' ὡς ἄτεκνον, ἡ κοινουμένη*
*τὰς συμφορὰς σοι πρόσθεν, ἀπολαχοῦσα νῦν*
*αὐτὴ καθ' αὑτὴν τὴν τύχην οἴσει πικρῶς,*
*πῶς οὐχ ὑπ' αὐτῆς εἰκότως μισήσομαι,*
*ὅταν παραστῶ σοὶ μὲν ἐγγύθεν ποδός,*
*ἡ δ' οὖσ' ἄτεκνος τὰ σὰ φίλ' εἰσορᾷ πικρῶς,*
*κᾆτ' ἢ προδοὺς σύ μ' ἐς δάμαρτα σὴν βλέπῃς*
*ἢ τἀμὰ τιμῶν δῶμα συγχέας ἔχῃς;*
*[ὅσας σφαγὰς δὴ φαρμάκων θανασίμων*
*γυναῖκες εὗρον ἀνδράσιν διαφθοράς.]*
*ἄλλως τε τὴν σὴν ἄλοχον οἰκτείρω, πάτερ,*
*ἄπαιδα γηράσκουσαν· οὐ γὰρ ἀξία*
*πατέρων ἀπ' ἐσθλῶν οὖσ' ἀπαιδίᾳ νοσεῖν.*
*τυραννίδος δὲ τῆς μάτην αἰνουμένης*
*τὸ μὲν πρόσωπον ἡδύ, τἀν δόμοισι δὲ*
*λυπηρά· τίς γὰρ μακάριος, τίς εὐτυχής,*
*ὅστις δεδοικὼς καὶ περιβλέπων βίαν*
*αἰῶνα τείνει; δημότης ἂν εὐτυχὴς*

---

598 *ὄντες*] Herwerden, *εἶναι LP* 601 *ψόφου*] H. Stephanus, *φόβου LP* 602 *λογίων τε*] fort. *δοκούντων* 605 *ἔχουσιν ἀξιώματος*] Badham, *ἔχουσι κἀξιώματα LP*, *ἔχοντες ἀξίωμά τε* Stob. fl. 45, 4 607 *ἐς οἶκον L*, *οἶκον P*, *ἐς οἶκον p* 610 *αὐτὴ*] *αὐτὴν LP* 611 *πῶς*] Canter, *πῶς δ' LP* 613 *τὰ σὰ φίλ' εἰσορᾷ πικρῶς*] requiritur sensus *σῶν φίλων ἀποσταθῇ* 614 sq. delet Nauck 615 *συγχέας* (*συγ* in ras.) *L* 616 sq. delevit Dindorf 616 *φαρμάκων τε θ.* Heath, *φαρμάκων θυμοφθόρων* Cobet 620 *ἀπαιδίᾳ*] L. Dindorf, *ἀπαιδίαν LP*. Versum delet Nauck 621 *τῆς πάλαι θρυλουμένης* Stob. fl. 49, 2 622 *τἀν δόμοισι*] fort. *τἄνδον ὄντα* 624 *περιβλέπων* Stob. fl. 49, 2, *παραβλέπων LP* | *βίαν*] H. Stephanus, *βίον LP* 625 *δημότης* Stobaeus, *δημότης δ' LP* | *ἂν εὐτυχὴς*] fort. *ἂν εὔκολος* vel potius *ἄνευ πόνου*

ζῆν ἂν θέλοιμι μᾶλλον ἢ τύραννος ὤν,
ᾧ τοὺς πονηροὺς ἡδονὴ φίλους ἔχειν,
ἐσθλοὺς δὲ μισεῖ κατθανεῖν φοβούμενος.
εἴποις ἂν ὡς ὁ χρυσὸς ἐκνικᾷ τάδε,
πλουτεῖν τε τερπνόν· οὐ φιλῶ ψόγους κλύειν
ἐν χερσὶ σῴζων ὄλβον οὐδ' ἔχειν πόνους·
εἴη δ' ἔμοιγε μέτρια μὴ λυπουμένῳ.
ἃ δ' ἐνθάδ' εἶχον ἀγάθ' ἄκουσόν μου, πάτερ·
τὴν φιλτάτην μὲν πρῶτον ἀνθρώποις σχολὴν
ὄχλον τε μέτριον, οὐδέ μ' ἐξέπληξ' ὁδοῦ
πονηρὸς οὐδείς· κεῖνο δ' οὐκ ἀνασχετόν,
εἴκειν ὁδοῦ χαλῶντα τοῖς κακίοσιν.
θεῶν δ' ἐν εὐχαῖς ἢ λόγοισιν ἦ βροτῶν,
ὑπηρετῶν χαίρουσιν, οὐ γοωμένοις.
καὶ τοὺς μὲν ἐξέπεμπον, οἳ δ' ἧκον ξένοι,
ὥσθ' ἡδὺς αἰεὶ καινὸς ὢν καινοῖσιν ἦ.
ὃ δ' εὐκτὸν ἀνθρώποισι, κἂν ἄκουσιν ᾖ,
δίκαιον εἶναί μ' ὁ νόμος ἡ φύσις θ' ἅμα
παρεῖχε τῷ θεῷ. ταῦτα συννοούμενος
κρείσσω νομίζω τἀνθάδ' ἢ τἀκεῖ, πάτερ.
ἔα δ' ἔμ' αὐτοῦ ζῆν· ἴση γὰρ ἡ χάρις,
μεγάλοισι χαίρειν σμικρά θ' ἡδέως ἔχειν.

ΧΟ. καλῶς ἔλεξας, εἴπερ οὓς ἐγὼ φιλῶ
ἐν τοῖσι σοῖσιν εὐτυχήσουσιν λόγοις.

ΞΟΥ. παῦσαι λόγων τῶνδ', εὐτυχεῖν δ' ἐπίστασο·
θέλω γὰρ οὗπέρ σ' ηὗρον ἄρξασθαι, τέκνον,
κοινῆς τραπέζης δαῖτα πρὸς κοινὴν πεσών,
θῦσαί θ' ἅ σου πρὶν γενέθλι' οὐκ ἐθύσαμεν.
καὶ νῦν μὲν ὡς δὴ ξένον ἄγων σ' ἐφέστιον
δείπνοισι τέρψω τῆς τ' Ἀθηναίων χθονὸς

627 ᾧ *Lp*, ὦ *P*, οἷς Stobaeus 628 μισεῖν . . φοβουμένους Stobaeus 630 ψόγους] commemorat Brodeau, ψόφους *LP* 632 δ' ἔμοιγε] Lenting (τ' ἔμοιγε Duport), γ' ἐμοὶ *LP*. Versus suspectus 633 ἄκουσον, ὦ πάτερ Elmsley, fort. ἀκουστέον, πάτερ 634 ἀνθρώποις] Dobree, ἀνθρώπων *LP*, ἀνθρώπῳ Wakefield 635 ἐξέπλησσ' Badham 638 λόγοισιν ἢ] Musgrave, γόοισιν ἢ *LP* 641 καινὸς *Lp*, κενὸς *P* | ἦ] ἦν *LP* 646 ἔμ' αὐτοῦ] Badham, ἐμαυτῷ *LP* 649 φίλοις superscr. γρ. λόγοις *L*, φίλοις *P* 650 εὐτυχεῖν] fort. εὐστομεῖν 651—53 post 665 collocat Kvíčala 651 θέλω *L*, ἐλθὼν *P* | εὗρον *LP* 655 τ'] scripsi, δ' *LP* | χθονὸς] πόλεως Nauck

ἀτάρ με σαίνει
θέσφατα μή τιν' ἔχει δόλον.
δειμαίνω συμφορὰν
ἐφ' ὅ ποτε βάσεται.
ἄτοπος ἄτοπα γάρ παραδίδωσί μοι
τάδε θεοῦ φῆμα.
ἔχει δόλον τύχαν θ' ὁ παῖς
ἄλλων τραφεὶς ἐξ αἱμάτων.
τίς οὐ τάδε ξυνοίσεται;

φίλαι, πότερ' ἐμᾷ δεσποίνᾳ antistr.
τάδε τορῶς ἐς οὖς γεγωνήσομεν
πόσιν, ἐν ᾧ τὰ πάντ' ἔχουσ' ἐλπίδων
μέτοχος ἦν τλάμων;
νῦν δ' ἣ μὲν ἔρρει συμφοραῖς, ὃ δ' εὐτυχεῖ,
πολιὸν ἐσπεσοῦσα γῆρας τέκνων
ἀτίετος φίλων.
μέλεος, ὃς θυραῖος ἐλθὼν δόμους
μέγαν ἐς ὄλβον οὐκ ἔσωσε τύχης.
ὄλοιτ' ὄλοιτο
πότνιαν ἐξαπαφὼν ἐμάν·
καὶ θεοῖσιν μὴ τύχοι
καλλίφλογα πέλανον ἐπὶ
πυρὶ καθαγνίσας· τὸ δ' ἐμὸν εἴσεται
τυραννίδος φίλα
. . . . . . . . . . . . .
ἢ δὴ πέλας δείπνων κυρεῖ
παῖς καὶ πατὴρ νέος νέου.

---

685 ἀτάρ] scripsi, οὐ γάρ *LP* 686 ἔχει *P*, ἔχῃ *L* 691 τάδε θεοῦ φῆμα] Nauck (φάμα Dindorf, φάτις Heimsoeth), τόδε τ' εὔφημα *LP*, τοδί ποτ' εὔφημα *l* 692 δόλον τέχναν θ' Schoemann, δόλον κρύφιον Hartung 693 ἄλλων] δούλων Schoemann | ἐξ *LP*, superscr. ἀφ' *l* 694 fort. οὐ τᾷδε τίς 695 δεσποίνᾳ] ποτνίᾳ Badham 696 ἐς *L*, εἰς *P* | γεγωνήσομεν] fort. γεγώνω στέγειν 700 τέκνων] scripsi, πόσις δ' *LP* 702 δόμους] fort. δόμων 703 ἔσωσε τύχης] fort. ἔσωσεν δρόμον 704 ὄλοιτ' ὄλοιτο *LP*, ὄλοιτ' ὄλοιτ' ὦ *l* 705 πότνια *P* 706 καὶ om. *P* | θεοῖσι *LP*, θεοῖσιν *l* 710 sq. τύραννος Hartung. Lacunam indicavit Canter 712 ἤδη Reiske | πέλας] Seidler, πελάσας *LP* | δεῖπνον *P* 713 παῖς καὶ] fort. παιδὸς | νέου] Hartung, νέων *LP*

*ἰὼ δειράδες Παρνασοῦ πέτρας*
*ἔχουσαι σκόπελον οὐράνιόν θ' ἕδραν,*
*ἵνα Βάκχιος ἀμφιπύρους ἀνέχων πεύκας*
*λαιψηρὰ πηδᾷ νυκτιπόλοις ἅμα σὺν Βάκχαις,*
*μή τί ποτ' εἰς ἐμὰν πόλιν ἵκοιθ' ὁ παῖς,*
*νέαν δ' ἁμέραν ἀπολιπὼν φθάνοι.*
*στενομένα γὰρ ἂν πόλις ἔχοι σκῆψιν*
*ξενικὸν ἐσβολάν.*
*ἁλίσας ὁ πάρος ἀρχαγὸς ὢν*
*Ἐρεχθεὺς ἄναξ.*

ΚΡΕΟΥΣΑ.

*ὦ πρέσβυ παιδαγώγ' Ἐρεχθέως πατρὸς*
*τοὐμοῦ ποτ' ὢν τόθ', ἡνίκ' ἦν ἔτ' ἐν φάει,*
*ἔπαιρε σαυτὸν πρὸς θεοῦ χρηστήρια,*
*ὥς μοι συνησθῇς, εἴ τι Λοξίας ἄναξ*
*θέσπισμα παίδων ἐς γονὰς ἐφθέγξατο·*
*σὺν τοῖς φίλοις γὰρ ἡδὺ μὲν πράσσειν καλῶς·*
*ὃ μὴ γένοιτο δ', εἴ τι τυγχάνοι κακόν,*
*ἐς ὄμματ' εὔνου φωτὸς ἐμβλέψαι γλυκύ.*
*ἐγὼ δέ σ', ὥσπερ καὶ σὺ πατέρ' ἐμόν ποτε,*
*δέσποιν' ὅμως οὖσ' ἀντικηδεύω πατρός.*

ΠΡΕΣΒΥΤΗΣ.

*ὦ θύγατερ, ἄξι' ἀξίων γεννητόρων*
*ἤθη φυλάσσεις κοὐ καταισχύνασ' ἔχεις*
*τοὺς σοὺς παλαιοὺς ἐκγόνους αὐτόχθονας.*

---

714 *ἰὼ*] Badham, *ἵνα LP* 716 *ἀμφιπύρους*] Brodeau, *ἀμφιπόρους L*, *ἀμφὶ πόρους P* 719 *μή τί ποτ'*] Hermann, *μή ποθ' LP* 720 *φθάνοι*] Herwerden, *θάνοι LP* 723 *ἀρχηγὸς* mut. in *ἀρχαγὸς L* | fort. *ἅλις δ' ἃς πάροιθεν ἀρχαγὸς ἦν* (*ἅλις ἃς* et *ἦν* Tyrwhitt, *τὸ πάρος* Musgrave, *ἅλις δ' ἃς πάροιθεν* praeferri debere monuit Herwerden) 725—34 om. in textu et in marg. inferiore addidit *L* 726 *ὢν τόθ'*] scripsi, *ὄντος LP* 728 *συνησθεὶς P* 730 *φίλοισι δ'* Stob. fl. 113, 4 731 *ὃ*] H. Stephanus, *ἃ LP* | *εἰ δ' ἄρα συμβαίνοι τι δυσχερέστερον* Stobaeus 732 *ἐμβλέψαι* Plut. Mor. 49 F et 69 A et Stobaeus (*ἐμβλέπειν* schol. Pind. Nem. VIII 73), *εἰσβλέψαι LP* 733 *ὥσπερ καὶ πατὴρ ἐμός ποτε* Bellios 735 *πρεσβυ*[τησ] *L*, *πρέσ*[β] *P* 737 *τοῦ σοῦ παλαιοὺς ἐκ γένους* Bothe, *τοὺς γῆς παλαιοὺς ἐκγόνους* Paley. Versum cum Hermanno delet Herwerden

ἕλχ' ἕλκε πρὸς μέλαθρα καὶ κόμιζέ με.
αἰπεινά μοι μαντεῖα· τοῦ γήρως δέ μοι
συνεκπονοῦσα κῶλον ἰατρὸς γενοῦ.
ΚΡ. ἕπου νυν· ἴχνος δ' ἐκφύλασσ' ὅπου τιθεῖς.
ΠΡ. ἰδού.
τὸ τοῦ ποδὸς μὲν βραδύ, τὸ τοῦ δὲ νοῦ ταχύ.
ΚΡ. βάκτρῳ δ' ἐρείδου περιφερῆ στίβον χθονός.
ΠΡ. καὶ τοῦτο τυφλόν, ὅταν ἐγὼ βλέπω βραχύ.
ΚΡ. ὀρθῶς ἔλεξας· ἀλλὰ μὴ παρῇς κόπῳ.
ΠΡ. οὔκουν ἑκών γε· τοῦ δ' ἀπόντος οὐ κρατῶ.
ΚΡ. γυναῖκες, ἱστῶν τῶν ἐμῶν καὶ κερκίδος
δούλευμα πιστόν, τίνα τύχην λαβὼν πόσις
βέβηκε παίδων ὧνπερ εἵνεχ' ἥκομεν;
σημήνατ'· εἰ γὰρ ἀγαθά μοι μηνύσετε,
οὐκ εἰς ἀπίστους δεσπότας βαλεῖς χαράν.
ΧΟ. ἰὼ δαῖμον.
ΠΡ. τὸ φροίμιον μὲν τῶν λόγων οὐκ εὐτυχές.
ΧΟ. ἰὼ τλᾶμον.
ΠΡ. ἀλλ' ἦ τι θεσφάτοισι δεσποτῶν νοσῶ;
ΧΟ. εἶεν· τί δρῶμεν, θάνατος ὧν κεῖται πέρι;
ΚΡ. τίς ἥδε μοῦσα, χὠ φόβος τίνων πέρι;
ΧΟ. εἴπωμεν ἢ σιγῶμεν; ἢ τί δράσομεν;
ΚΡ. εἴφ'· ὡς ἔχεις γε συμφοράν τιν' εἰς ἐμέ.
ΧΟ. εἰρήσεταί τοι, κεἰ θανεῖν μέλλω διπλῇ.
οὐκ ἔστι σοι, δέσποιν', ἐν ἀγκάλαις λαβεῖν
τέκν' οὐδὲ μαστῷ σῷ προσαρμόσαι ποτέ.

---

739 μοι] Barnes, δέ μοι *LP*, τοι Valckenaer 741 τιθεῖς *L*, τιθεὶς *P* 742 ἰδού delet Barnes 743 βάκτωρ *P* | ἐρείδου] ἐρεύνα Schoemann 745 πάρες κόπῳ] Tyrwhitt (παρῇς Paley), 'πάρεσχέ πω *L* et literis ρεσχέ πω in ras. a corr. scriptis *P* 746 ἀπόντος] Reiske, ἄκοντος *LP* 749 οὕνεχ' *LP* 750 μηνύσετε] Barnes, μηνύσατε *LP* 751 χαράν] χάριν Elmsley 752 δαίμων *P* 753—6 personarum notas vel lineolas om. *LP*, seni tribuit 753 et 755 Hermann (Creusae Canter) 753 εὐτυχές] fort. εὔστομον 755 ἀλλ' ἦ τι] Musgrave, ἀλλὰ τί *LP* | fort. ἀλλ' ἦ τι δεσπόταισι θεσφάτων νοσεῖ (νοσεῖ Ge. Schmid) 756 αἰαῖ· προδῶμεν F. Gu. Schmidt (malim προῶμεν) 757 τίνων ὕπερ F. Gu. Schmidt 759 εἴπ' *LP* | ἔχεις] στέγεις F. Gu. Schmidt | συμφοράν τίν' *LP* 761 ἐν] Matthiae, ἐπ' *LP* 762 τέκνον *P* | ποτέ] Jacobs, τάδε *LP*

ΚΡ. ὀτοτοτοῖ· τὸ δ' ἐμὸν ἄτεκνον ἄτεκνον ἔλαβεν
ἄρα βίοτον, ἐρημίᾳ δ' ὀρφανοὺς
δόμους οἰκήσω.
ΠΡ. τίς οὖν ἐχρήσθη; τῷ συνῆψ' ἴχνος ποδὸς
πόσις ταλαίνης; πῶς δὲ ποῦ νιν εἰσιδών;
ΧΟ. οἶσθ', ὦ φίλη δέσποινα, τὸν νεανίαν
ὃς τόνδ' ἔσαιρε ναόν; οὗτος ἔσθ' ὁ παῖς.
ΚΡ. ἀν' ὑγρὸν ἀμπταίην αἰθέρα πρόσω γαί-
ας Ἑλλανίας, ἀστέρας ἑσπέρους,
οἷον οἷον ἄλγος ἔπαθον [φίλαι].
ΠΡ. ὄνομα δὲ ποῖον αὐτὸν ὀνομάζει πατήρ;
οἶσθ', ἢ σιωπῇ τοῦτ' ἀκήρυκτον μένει;
ΧΟ. Ἴων', ἐπείπερ πρῶτος ἤντησεν πατρί.
μητρὸς δ' ὁποίας ἐστίν, οὐκ ἔχω φράσαι.
φροῦδος δ', ἵν' εἰδῇς πάντα τἀπ' ἐμοῦ, γέρον,
παιδὸς προθύσων ξένια καὶ γενέθλια
σκηνὰς ἐς ἱερὰς τῆσδε λαθραίως πόσις,
κοινὴν ξυνάψων δαῖτα παιδὶ τῷ νέῳ.
ΠΡ. δέσποινα, προδεδόμεσθα· σὺν γάρ σοι νοσῶ·
τοῦ σοῦ πρὸς ἀνδρὸς καὶ μεμηχανημένως
ὑβριζόμεσθα δωμάτων τ' Ἐρεχθέως
ἐκβαλλόμεσθα· καὶ σὸν οὐ στυγῶν πόσιν
λέγω, σὲ μέντοι μᾶλλον ἢ κεῖνον φιλῶν·
ὅστις σε γήμας ξένος ἐπεισελθὼν πόλιν .
καὶ δῶμα καὶ σὴν παραλαβὼν παγκληρίαν,
ἄλλης γυναικὸς παῖδας ἐκκαρπούμενος
λάθρᾳ πέφηνεν· ὡς λάθρᾳ δ', ἐγὼ φράσω·

---

789 ὀτοτοττοτοῖ *L*, ὀττοτοττοτοῖ *lP* | ἄτεκνον ter *P* | ἔλαβεν] fort. ἔλαχ' 792 notam Creusae habet *L*, om. *P*, corr. Seidler 793 δὲ ποῦ νιν εἰσιδών;] Scaliger, δέ που νιν εἰσίδω *LP*. Fort. ταλαίνης παιδί; ποῦ νιν εἰσιδών; 796 ἀμπταίην Wakefield, ἂν πταίην *LP* | πόρσω Dindorf, καὶ πρόσω Hermann. Fort. καὶ πρόσω | γᾶς 797 ἑσπέρους] Seidler, ἑσπερίους *LP* 799 φίλαι erasum in *L*, om. *P*, add. *p* | οἷον ἄχος ἔπαθον (ceteris deletis) Ge. Schmid 801 ἀκήρυκτον] Nauck, ἀκύρωτον *LP* 802 ἤντησεν *Pl*, ἤντησε *L* 803 πρ[ε] μητρὸς δ' ὁποίας ἐστὶν χ[ο] (χ[ο] scripsit *p* in spatio relicto) οὐκ ἔχω φράσαι *LP*, corr. Kirchhoff 805 delet Ge. Schmid 807 κοινὴν] Kirchhoff, κοινῇ *LP* | δαῖτα] cod. Riccard. 32, παῖδα *LP* 808 notam om. *LP*, praescr. πρ[ε] *l*, θε(ράπων) *p* 813 ξένος postmodum in spat. vacuo additum in *L*

ἐπεί σ' ἄτεκνον ᾔσθετ', οὐκ ἔστεργέ σοι
ὅμοιος εἶναι τῆς τύχης τ' ἴσον φέρειν,
λαβὼν δὲ δοῦλα λέκτρα νυμφεύσας λάθρᾳ
τὸν παῖδ' ἔφυσεν, ἐξενωμένον δέ τῳ
Δελφῶν δίδωσιν ἐκτρέφειν· ὃ δ' ἐν θεοῦ
δόμοισιν ἄφετος, ὡς λάθοι, παιδεύεται.
νεανίαν δ' ὡς ᾔσθετ' ἐκτεθραμμένον,
ἐλθεῖν σ' ἔπεισε δεῦρ' ἀπαιδίας χάριν.
κᾆθ' ὁ θεὸς οὐκ ἐψεύσαθ', ὅδε δ' ἐψεύσατο
πάλαι τρέφων τὸν παῖδα, κἄπλεκεν πλοκὰς
τοιάσδ'· ἁλοὺς μὲν ἀνέφερ' ἐς τὸν δαίμονα,
λαθὼν δὲ καὶ τὸν χρόνον ἀμύνεσθαι θέλων
τυραννίδ' αὐτῷ περιβαλεῖν ἔμελλε γῆς.
καινὸν δὲ τοὔνομ' ἀνὰ χρόνον πεπλασμένον
Ἴων, ἰόντι δῆθεν ὅτι συνήντετο.

ΧΟ. οἴμοι, κακούργους ἄνδρας ὡς ἀεὶ στυγῶ,
οἳ συντιθέντες τἄδικ' εἶτα μηχαναῖς
κοσμοῦσι. φαῦλον χρηστὸν ἂν λαβεῖν φίλον
θέλοιμι μᾶλλον ἢ κακὸν σοφώτερον.

ΠΡ. καὶ τῶνδ' ἁπάντων ἔσχατον πείσῃ κακόν,
ἀμήτορ', ἀναρίθμητον, ἐκ δούλης τινὸς
γυναικός, ἐς σὸν δῶμα δεσπότην ἄγειν.
ἁπλοῦν ἂν ἦν γὰρ τὸ κακόν, εἰ παρ' εὐγενοῦς
μητρός, πιθών σε, σὴν λέγων ἀπαιδίαν,
ἐσῴκισ' οἴκους· εἰ δὲ σοὶ τόδ' ἦν πικρόν,
τῶν Αἰόλου νιν χρῆν ὀρεχθῆναι δόμων.
ἐκ τῶνδε δεῖ σε δὴ γυναικεῖόν τι δρᾶν,
ἤτοι ξίφος λαβοῦσαν ἢ δόλῳ τινὶ

818 ὅμοιός τ' *P* 820 ἐξενωμένων vel ἐξενωμένῳ Beck 825 οὐκ om. *P*, add. *p* | ὅδε δ'] Canter, ὅδ' *LP* 826 κἄπλεκε *LP* 827 ἁλοὺς *Lp*, ἄλλους *P* 828 λαθὼν] Musgrave, ἐλθὼν *LP* | καὶ τὸν χρόνον ἀμύνεσθαι (ύ ex εί fecit *p*) θέλων] fort. καιρὸν μηχανήσασθαι λαβὼν 830 sq. delet Dindorf 830 ἀνὰ λόγον Hermann 832 personae notam om. *LP*, hic et 836 praescripsit Hermann. πανούργους Nauck | αἰεὶ *LP* 833 sq. μηχαναῖς et ἂν λαβεῖν cod. Riccard. 32, μηχανὰς et ἀναλαβεῖν *LP* 836 κἀκ τῶνδ' Dobree, καὶ τοῦθ' Badham 838 γυναικός] fort. γενόμενον. ἄγειν] ἄγει (ἄγῃ) Hermann 840 λέγων] fort. ψέγων 842 δόμων] scripsi, γάμων *P* et γ ex δ ut videtur facto *L* 843 δὴ] ἡ ex εῖ factum in *P*. δή σε δεῖ Badham 844 ἤτοι] Hartung, ἢ γὰρ *LP*

ἢ φαρμάκοισι σὸν κατακτεῖναι πόσιν
καὶ παῖδα, πρὶν σοὶ θάνατον ἐκ κείνων μολεῖν.
[εἰ γάρ γ' ὑφήσεις τοῦδ', ἀπαλλάξῃ βίου.
δυοῖν γὰρ ἐχθροῖν εἰς ἓν ἐλθόντοιν στέγος,
ἢ θάτερον χρὴ δυστυχεῖν ἢ θάτερον.]
ἐγὼ μὲν οὖν σοι καὶ συνεκπονεῖν θέλω,
καὶ συμφονεύειν παῖδ' ὑπεισελθὼν δόμους
οὗ δαῖθ' ὁπλίζει, καὶ τροφεῖα δεσπόταις
ἀποδοὺς θανεῖν τε ζῶν τε φέγγος εἰσορᾶν.
ἓν γάρ τι τοῖς δούλοισιν αἰσχύνην φέρει,
τοὔνομα· τὰ δ' ἄλλα πάντα τῶν ἐλευθέρων
οὐδὲν κακίων δοῦλος, ὅστις ἐσθλὸς ᾖ.

ΧΟ. κἀγώ, φίλη δέσποινα, συμφορὰν θέλω
κοινουμένη τήνδ' ἢ θανεῖν ἢ ζῆν καλῶς.

ΚΡ. ὦ ψυχά, πῶς σιγάσω;
πῶς δὲ σκοτίας ἀναφήνω
εὐνάς, αἰδοῦς δ' ἀπολειφθῶ;
τί γὰρ ἐμπόδιον κώλυμ' ἔτι μοι;
πρὸς τίν' ἀγῶν' ἂν θείμεσθ' ἀρετῆς,
οὗ πόσις ἡμῶν προδότης γέγονεν;
στέρομαι δ' οἴκων, στέρομαι παίδων,
φροῦδαι δ' ἐλπίδες, ἃς διαθέσθαι
χρῄζουσα καλῶς οὐκ ἐδυνήθην,
σιγῶσα γάμους,
σιγῶσα τόκους πολυκλαύτους.
ἀλλ' οὐ τὸ Διὸς πολύαστρον ἕδος
καὶ τὴν ἐπ' ἐμοῖς σκοπέλοισι θεὰν

---

845 delet et 846 scribit *τὸν παῖδα . . ἐκ κείνου μολεῖν* Badham 846 *θάνατον ἐκείνων P* 847 *εἰ γάρ* postmodum additum in spatio vacuo relicto in *L*. Versum delevit Dindorf. 848 sq. delevit Badham 849 *χρὴ*] scripsi, *δεῖ LP* 851 *ὑπεισελθὼν*] Wakefield, *ἐπεισελθὼν LP* | *δόμους* cod. Riccard. 32, *δόμοις LP* 854 *τι L*, *τοι P* 856 *οὐδὲν*] Dobree, *οὐδεὶς LP* 857 sq. fort. *συμφορᾶς . . τῆσδ'* 858 *ζεῖν P*, *ζῆν p* 860 fort. *σκοτίους*. Cfr. Alc. 125 863 *ἀγῶν' ἂν θείμεσθ'*] L. Dindorf, *ἀγῶνα τιθέμεσθ' LP*, *ἀγῶνας τιθέμεσθ'* Musgrave 864 *οὗ*] Dobree, *οὐ LP* | *γέγονε P* 865 *στέρομαι παίδων, στέρομαι δ' οἴκων* Nauck 866 *ἃς δὴ θέσθαι* Herwerden 867 *ἐδυνήθην*] Elmsley, *ἐδυνάθην* mut. in *ἐδυνάσθην L*, *ἐδυνάσθην P*, *ἐδυνάθην* olim Elmsley 869 *πολυκλαύτους*] *σ* ante *τ* eras. in *L* 870 *τὸ LP*, *μὰ* superscr. *l*

*ἵνα με λέχεσι μελέαν μελέοις*
*ἐξεύξω τὰν δύστανον.*
*οἴμοι μοι· καὶ νῦν ἔρρει*
*πτανοῖς ἁρπασθεὶς θοίνα*
*παῖς μοι καὶ σὸς τλάμων·*
*σὺ δὲ κιθάρᾳ κλάζεις*
*παιᾶνας μέλπων.*
*ὠή, τὸν Λατοῦς αὐδῶ,*
*ὅστ' ὀμφὰν κληροῖς*
*πρὸς χρυσέους θάκους καὶ*
*γαίας μεσσήρεις ἕδρας,*
*εἰς οὖς αὐδὰν καρύξω·*
*ἰὼ κακὸς εὐνάτωρ,*
*ὃς τῷ μὲν ἐμῷ νυμφεύτᾳ*
*χάριν οὐ προλαβὼν*
*παῖδ' εἰς οἴκους οἰκίζεις·*
*ὁ δ' ἐμὸς γενέτας καὶ σὸς ἀμαθὴς*
*οἰωνοῖς ἔρρει συλαθείς,*
*σπάργανα ματέρος ἐξαλλάξας.*
*μισεῖ σ' ἁ Δᾶλος καὶ δάφνας*
*ἔρνεα φοίνικα παρ' ἁβροκόμαν,*
*ἔνθα λοχεύματα σέμν' ἐλοχεύσατο*
*Λατὼ Δίοισί σε καρποῖς.*

ΧΟ. *οἴμοι, μέγας θησαυρὸς ὡς ἀνοίγνυται*
*κακῶν, ἐφ' οἷσι πᾶς ἂν ἐκβάλοι δάκρυ.*

ΠΡ. *ὦ θύγατερ, οἴκτου σὸν βλέπων ἐμπίμπλαμαι*
*πρόσωπον, ἔξω δ' ἐγενόμην γνώμης ἐμῆς.*

---

900 *μελέαν μελέοις L, μελέαν μελέαν P.* fort. *ἵνα λέχεσι λέχεσι μελέοις* 904 *καὶ σὸς* delet Badham 906 *πεάνας P, παιᾶνας p* 908 *ὅστ'*] Herwerden, *ὃς LP, ὅς γ' l* 909 *πρὸς χρυσέοις θάκοις κατὰ* Reiske, fort. *πρὸς χρυσέοις θάκοις | κατὰ γᾶς μ. ἕδρας* 910 *μεσήρεις LP, μεσσήρεις l* 911 *οὖς Lp, οὗς P* | fort. *καρύσσω* 912 *ἰὼ ἰὼ* Paley 913 *νυμφεύτᾳ*] Ricc. 32, *νυμφέτᾳ LP* 915 *ἐς LP, εἰς l* 916 *σὸς LP, σός γ' l | ὁ δ' ἐμᾶς γενεᾶς καὶ σᾶς* Kvičala 917 *οἰκεῖα* quod post *συλαθεὶς* habent *LP* delevit Hermann 919 *μισοῖ* Heath 920 *φοίνικα* Ricc. 32, *φοίνια LP | ἀβροκόμαν P* 922 Cfr. Hes. *καρποῖς· βλαστήμασιν* | fort. *Λατὼ Δίοις ἰσί σε καρπόν.* Cfr. Hec. 215 923 *ἀνοίγεται* Nauck 925 *ὦ* om. *LP*, addidit rubricator in *P* | *οἴκτου*] Nauck, *οὗτοι LP* | *ἐμπίμπλαμαι*] Barnes, *ἐμπίπλαμαι LP*

*κακῶν γὰρ ἄρτι κῦμ' ὑπεξαντλῶν φρενί,*
*πρύμνηθεν αἴρει μ' ἄλλο σῶν λόγων ὕπο,*
*οἷς ἐκβαλοῦσα τῶν παρεστώτων κακῶν*
*μετῆγες ἄλλων πημάτων καινὰς ὁδούς.*
*τί φῄς; τίνα λόγον Λοξίου κατηγορεῖς;*
*ποῖον τεκεῖν φῂς παῖδα; ποῦ θεῖναι πόλεως*
*θηρσὶν φίλον τύμβευμ'; ἄνελθέ μοι πάλιν.*
ΚΡ. *αἰσχύνομαι μέν σ', ὦ γέρον, λέξω δ' ὅμως.*
ΠΡ. *ὡς συστενάζειν γ' οἶδα γενναίως φίλοις.*
ΚΡ. *ἄκουε τοίνυν· οἶσθα Κεκροπίας πέτρας*
*[πρόσβορρον ἄντρον, ἃς Μακρὰς κικλήσκομεν];*
ΠΡ. *οἶδ', ἔνθα Πανὸς ἄδυτα καὶ βωμοὶ πέλας.*
ΚΡ. *ἐνταῦθ' ἀγῶνα δεινὸν ἠγωνίσμεθα.*
ΠΡ. *τίν'; ὡς ἀπαντᾷ δάκρυά μοι τοῖς σοῖς λόγοις.*
ΚΡ. *Φοίβῳ ξυνῆψ' ἄκουσα δύστηνον γάμον.*
ΠΡ. *ὦ θύγατερ, ἆρ' ἦν ταῦθ' ἅ γ' ᾐσθόμην ἐγώ;*
ΚΡ. *οὐκ οἶδ'· ἀληθῆ δ' εἰ λέγεις φαίημεν ἄν.*
ΠΡ. *νόσον κρυφαίαν ἡνίκ' ἔστενες λάθρᾳ;*
ΚΡ. *τότ' ἦν ἃ νῦν σοι φανερὰ σημαίνω κακά.*
ΠΡ. *κᾆτ' ἐξέκλεψας πῶς Ἀπόλλωνος γάμους;*
ΚΡ. *ἔτεκον· ἀνάσχου ταῦτ' ἐμοῦ κλύων, γέρον.*
ΠΡ. *ποῦ; τίς λοχεύει σ'; ἢ μόνη μοχθεῖς τάδε;*
ΚΡ. *μόνη κατ' ἄντρον οὗπερ ἐζεύχθην γάμοις.*
ΠΡ. *ὁ παῖς δὲ ποῦ 'στιν; ἵνα σὺ μηκέτ' ᾖς ἄπαις.*
ΚΡ. *τέθνηκεν, ὦ γεραιέ, θηρσὶν ἐκτεθείς.*
ΠΡ. *τέθνηκ'; Ἀπόλλων δ' ὁ κακὸς οὐδὲν ἤρκεσεν;*
ΚΡ. *οὐκ ἤρκεσ'· Ἅιδου δ' ἐν δόμοις παιδεύεται.*
ΠΡ. *τίς γάρ νιν ἐξέθηκεν; οὐ γὰρ δὴ σύ γε.*
ΚΡ. *ἡμεῖς, ἐν ὄρφνῃ σπαργανώσαντες πέπλοις.*

927 *κακῶν* Ricc. 32, *κακὸν* *LP* 928 *αἴρει*] fort. *ἄρδει* | *ὕπερ* superscr. *πο* *L*, *ὕπερ* *P*, *ὕπο* *p* 929 *οἷς*] Beck, *οὓς* *LP* 930 *μετῆγες*] scripsi, *μετῆλθες* *LP* | *καινὰς*] Musgrave, *κακὰς* *LP* 932 *ἐκθεῖναι* Dobree | *πόλεως*, scr. *οσ* super *ως*, *L*, fort. *χθονὸς* 933 *θηρσὶ* *LP* 934 *σ'* delet Dobree 935 *ὡς σοι στενάζειν* *P* 936 fort. *Κεκροπίους* 937 delevit anonymus in Class. Journ. III p. 615 et Badham 942 *ἄρ'* *LP* | *ἅ γ' ᾐσθόμην*] fort. *ἃ 'πῃσθόμην* 943 fort. *λέγοις* | *φαίημεν*] *συμφαῖμεν* L. Dindorf 945 *τότ'*] L. Dindorf, *τοῦτ'* *LP* 946 *γάμους*] fort. *γονάς* 948 sq. delet Wiskemann. Cfr. 16 948 *'μόχθεις* Valckenaer 952 *τέθνηκ'*] Barnes, *τέθνηκεν* *LP* 953 *Ἅιδου* Ricc. 32, *αἰδοῦς* *LP*

*ΠΡ.* οὐδὲ ξυνῄδει σοί τις ἐκθεσιν τέκνου;
*ΚΡ.* αἱ ξυμφοραί γε καὶ τὸ λανθάνειν μόνον.
*ΠΡ.* καὶ πῶς ἐν ἄντρῳ παῖδα σὸν λιπεῖν ἔτλης;
*ΚΡ.* πῶς; οἰκτρὰ πολλὰ στόματος ἐκβαλοῦσ' ἔπη.
*ΠΡ.* φεῦ·
τλήμων σὺ τόλμης, ὁ δὲ θεὸς μᾶλλον σέθεν.
*ΚΡ.* εἰ παῖδά γ' εἶδες χεῖρας ἐκτείνοντά μοι.
*ΠΡ.* μαστὸν διώκοντ' ἢ πρὸς ἀγκάλαις πεσεῖν;
*ΚΡ.* ἐνταῦθ', ἵν' οὐκ ὢν ἄδικ' ἔπασχεν ἐξ ἐμοῦ.
*ΠΡ.* σοὶ δ' ὡς τί δόξ' ἐσῆλθεν ἐκβαλεῖν τέκνον;
*ΚΡ.* ὡς τὸν θεὸν σώσοντα τόν γ' αὑτοῦ γόνον.
*ΠΡ.* οἴμοι, δόμων σῶν ὄλβος ὡς χειμάζεται.
*ΚΡ.* τί κρᾶτα κρύψας, ὦ γέρον, δακρυρροεῖς;
*ΠΡ.* σὲ καὶ πατέρα σὸν δυστυχοῦντας εἰσορῶν.
*ΚΡ.* τὰ θνητὰ τοιαῦτ'· οὐδὲν ἐν ταὐτῷ μένει.
*ΠΡ.* μή νυν ἔτ' οἴκτων, θύγατερ, ἀντεχώμεθα.
*ΚΡ.* τί γάρ με χρὴ δρᾶν; ἀπορία τὸ δυστυχεῖν.
*ΠΡ.* τὸν πρῶτον ἀδικήσαντά σ' ἀποτίνου θεόν.
*ΚΡ.* καὶ πῶς τὰ κρείσσω θνητὸς οὖσ' ὑπερδράμω;
*ΠΡ.* πίμπρη τὰ σεμνὰ Λοξίου χρηστήρια.
*ΚΡ.* δέδοικα· καὶ νῦν πημάτων ἅδην ἔχω.
*ΠΡ.* τὰ δυνατά νυν τόλμησον, ἄνδρα σὸν κτανεῖν.
*ΚΡ.* αἰδούμεθ' εὐνὰς τὰς τόθ' ἡνίκ' ἐσθλὸς ἦν.
*ΠΡ.* νῦν δ' ἀλλὰ παῖδα τὸν ἐπὶ σοὶ πεφηνότα.
*ΚΡ.* πῶς; εἰ γὰρ εἴη δυνατόν· ὡς θέλοιμί γ' ἄν.
*ΠΡ.* ξιφηφόρους σοὺς ὁπλίσασ' ὀπάονας.
*ΚΡ.* στείχοιμ' ἄν· ἀλλὰ ποῦ γενήσεται τόδε;
*ΠΡ.* ἱεραῖσιν ἐν σκηναῖσιν, οὗ θοινᾷ φίλους.
*ΚΡ.* ἐπίσημον ὁ φόνος, καὶ τὸ δοῦλον ἀσθενές.
*ΠΡ.* τοὐμὸν κακίζεις· φέρε, σύ νυν βούλευέ τι.

---

956 *οὐδὲ ξυνῄδει* Ricc. 32, *οὐδὲ ξυνῄδη L*, *οὐδὲ ξήδει P*, *οὐδ' ἐξήδει p* 959 *πῶς*] Matthiae, *πῶς δ' LP*, punctum infra *δ'* posuit *l* 964 *ὡς*] Wakefield, *ἐς LP* | *δόξ' εἰσῆλθεν*] Hermann, *δόξης ἦλθεν LP* 965 *σώσοντα*] Wakefield, *σώζοντα LP* | *αὐτοῦ LP* 968 *καὶ πάτραν σὴν δυστυχοῦσαν* Badham | *εἰσορῶ P* et superscr. *ων L* 970 *μὴ νῦν LP* | *οἴκτων P* et factum ex *οἰκῶν L* 974 *πίπρη P* 975 fort. *ἔοικα καὶ .. ἔχειν* 976 *νυν*] Dindorf, *νῦν LP* 978 *νῦν δ'*] *σὺ δ'* Hermann, fort. *κτεῖν'* 980 *ὁπλίσασ' Lp*, *ὁπλήσασ' P* 981 *στείλαιμ' ἂν* Herwerden 982 *φίλους* factum ex *φίλος* ut videtur in *L* 984 *τοὐμὸν κακίζεις*] Badham, *ὤμοι κακίζῃ LP*. Cfr. 1022 | *σὺ νῦν LP*

ΚΡ. νόσους ἀπείργει καὶ τροφὰς ἔχει βίου.
ΠΡ. ὁ δεύτερος δὲ θρόμβος ὃν λέγεις τί δρᾷ;
ΚΡ. κτείνει, δρακόντων ἰὸς ὢν τῶν Γοργόνος.
ΠΡ. ἐς ἓν δὲ κραθέντ' αὐτὸν ἢ χωρὶς φορεῖς;
ΚΡ. χωρίς· κακῷ γὰρ ἐσθλὸν οὐ συμμίγνυται.
ΠΡ. ὦ φιλτάτη παῖ, πάντ' ἔχεις ὅσων σε δεῖ.
ΚΡ. τούτῳ θανεῖται παῖς· σὺ δ' ὁ κτείνων ἔσῃ.
ΠΡ. ποῦ καὶ τί δράσας; σὸν λέγειν, τολμᾶν δ' ἐμόν.
ΚΡ. ἐν ταῖς Ἀθήναις, δῶμ' ὅταν τοὐμὸν μόλῃ.
ΠΡ. οὐκ εὖ τόδ' εἶπας· καὶ σὺ γὰρ τοὐμὸν ψέγεις.
ΚΡ. πῶς; ἆρ' ὑπείδου τοῦθ' ὃ κἄμ' ἐσέρχεται;
ΠΡ. σὺ παῖδα δόξεις διολέσαι, κεἰ μὴ κτενεῖς.
ΚΡ. ὀρθῶς· φθονεῖν γάρ φασι μητρυιὰς τέκνοις.
ΠΡ. αὐτοῦ νυν αὐτὸν κτεῖν', ἵν' ἀρνήσῃ φόνους.
ΚΡ. προλάξυμαι γοῦν τῷ χρόνῳ τῆς ἡδονῆς.
ΠΡ. καὶ σόν γε λήσεις πόσιν ἅ σε σπεύδει λαθεῖν.
ΚΡ. οἶσθ' οὖν ὃ δρᾶσον; χειρὸς ἐξ ἐμῆς λαβὼν
χρύσωμ' Ἀθάνας τόδε, παλαιὸν ὄργανον,
ἐλθὼν ἵν' ἡμῖν βουθυτεῖ λάθρᾳ πόσις,
δείπνων ὅταν λήγωσι καὶ σπονδὰς θεοῖς
μέλλωσι λείβειν, ἐν πέπλοις ἔχων τόδε
κάθες βαλὼν ἐς πῶμα τῷ νεανίᾳ,
ἰδίᾳ δέ, μή τι πᾶσι, χωρίσας ποτὸν
τῷ τῶν ἐμῶν μέλλοντι δεσπόσειν δόμων.
κἄνπερ διέλθῃ λαιμόν, οὔποθ' ἵξεται

1014 δὲ θρόμβος] scripsi, δ' ἀριθμὸς *LP* 1015 Γοργόνος] Bothe, γοργόνων *LP* 1016 κραθέντ' αὐτὸν ἢ χωρὶς φορεῖς] Canter (κραθέντ' αὐτὸν) et A. Snape, κρανθὲν ταυτὸν ἰχῶρ' εἰσφορεῖς *LP* 1017 συμμικτέον vel συμμικτέα Herwerden 1023 ἄρ' *P* et mut. in ἆρ' et in marg. superiore τὸ ἆρα πρὸς τὴν χρείαν τοῦ μέτρου καὶ δίχα τοῦ ἐρωτᾶν καὶ περισπᾶται καὶ ὀξύνεται *L* 1024 κτ•νεῖς *P*, κτενεῖς *p* 1025 φρονεῖν *P* | φησὶ *P*, φασὶ *p* 1026 νυν *P*, νῦν mut. in νυν et in marg. νὺν ἐνταῦθα ἀντὶ τοῦ νῦ παραπληρωματικοῦ συνδέσμου· διὰ τοῦτο γὰρ καὶ βραχὺ αὐτὸ παραλήγεται καὶ ὀφείλει ὀξύνεσθαι *L* | κτεῖν'] Barnes, κτεῖνον *LP* 1027 fort. τὴν ἡδονήν 1028 λαθεῖν] H. Stephanus, λαβεῖν *LP* | λήσει πόσιν ὅσα σφε δεῖ λαθεῖν Kuiper | ἃ σὺ σπεύδεις Wakefield 1029 χειρὸς] Barnes, χερὸς *LP* 1033 λείβειν *L*, λήβειν *P*, fort. λείψειν 1034 βαλὼν] fort. στάλαγμ' 1035 μή τι πᾶσι] Wakefield, μὴ πᾶσι *LP*, superscr. 'νᾶ (i. e. μὴ 'ν ἅπασι) *p*. Versum delet Paley, fort. verba τῷ νεανίᾳ, ἰδίᾳ δέ, μὴ πᾶσι delenda sunt 1036 δεσπόσειν] Dindorf, δεσπόζειν *LP*

κλεινὰς Ἀθήνας, κατθανὼν δ' αὐτοῦ μενεῖ.
ΠΡ. σὺ μέν νυν εἴσω προξένων μέθες πόδα·
ἡμεῖς δ' ἐφ' ᾧ τετάγμεθ' ἐκπονήσομεν.
ἄγ', ὦ γεραιὲ πούς, νεανίας γενοῦ
ἔργοισι, κεἰ μὴ τῷ χρόνῳ πάρεστί σοι.
ἐχθρὸν δ' ἐπ' ἄνδρα στεῖχε δεσποτῶν μέτα,
καὶ συμφόνευε καὶ συνεξαίρει δόμων.
τὴν δ' εὐσέβειαν εὐτυχοῦσι μὲν καλὸν
τιμᾶν· ὅταν δὲ πολεμίους δρᾶσαι κακῶς
θέλῃ τις, οὐδεὶς ἐμποδὼν κεῖται νόμος.

ΧΟ. Εἰνοδία θύγατερ Δάματρος, ἃ τῶν stroph.
νυκτιπόλων ἐφόδων ἀνάσσεις
καὶ μεθαμερίων, ὅδωσον δυσθανάτων
κρατήρων πληρώματ', ἐφ' οἷσι πέμπει
πότνια πότνι' ἐμὰ χθονίας
Γοργοῦς λαιμοτόμων ἀπὸ σταλαγμῶν
τῷ τῶν Ἐρεχθεϊδᾶν
δόμων ἐφαπτομένῳ·
μηδέ ποτ' ἄλλος ἄλλων ἀπ' οἴκων
πόλεως ἀνάσσοι
πλὴν τῶν εὐγενετᾶν Ἐρεχθειδᾶν.

εἰ δ' ἀτελὴς θάνατος σπουδαί τε δεσποί- antistr.
νας, ὅ τε καιρὸς ἄπεισι τόλμας
ἅ τε φαίνεται ἐλπίς, ἢ θηκτὸν ξίφος ἢ
λαιμῶν ἐξάψει βρόχον ἀμφὶ δειρήν,
πάθεσι πάθεα δ' ἐξανύτουσ'
εἰς ἄλλας βιότου κάτεισι μορφάς.

1038 ἀθάνας *LP* 1039 personae notam om. *P*. μέθες] fort. κάθες 1042 καὶ εἰ *L*, κεἰ *l* 1043 μέτα] fort. χάριν 1044 σὺ φόνευε *P* 1046 sq. ὅπου δὲ . . θέλει Stob. fl. 54, 22 1048 ἐνοδία *LP*, εἰνοδία *l* 1049 νυκτιπόλων *LP*, νυκτιπόδων *l* 1054 χθονίας] fort. φονίας 1056 ἐρειχθειδᾶν *LP* 1059 πόλεος *LP*, πόλεως *l* 1060 ἐρεχθειδῶν *LP* 1063 sqq. ἅ τε φαίνεται ἐλπὶς ἢ] scripsi (ᾇ νῦν ἐλπὶς ἐφαίνετ' ἢ Badham), ὦ νῦν ἐλπὶς φέρετ' ἢ *LP*, ἅ τε νῦν φέρετ' ἐλπὶς ἢ *l* | θηκτὸν] θήξει Th. Kock | ξίφος ἢ *L*, ξίφος ὁ *P* 1065 λαιμῶν] Scaliger, δαίμων *LP* | ἢ λαιμῶν] ἐς λαιμοὺς Hartung | ἐξάψει *LP*, ἐξάψειν *l*. ἢ 'ξάψει Fix | δειρήν] Wakefield, δέρην *LP* 1067 κάτεισι μορφάς Hermann, μορφὰς κάτεισιν *LP*

οὐ γὰρ δόμων γ' ἑτέρους
ἄρχοντας ἀλλοδαποὺς
ζῶσά ποτ' ὀμμάτων ἐν φαενναῖς
ἀνέχοιτ' ἂν αὐγαῖς
ἁ τῶν εὐπατριδᾶν γεγῶσ' οἴκων.

αἰσχύνομαι τὸν πολύυμνον stroph.
θεόν, εἰ παρὰ καλλιχόροισι παγαῖς
λαμπάδα θεωρὸς εἰκάδων
ὄψεται ἐννύχιος ἄυπνος ὤν,
ὅτε καὶ Διὸς ἀστερωπὸς
ἀνεχόρευσεν αἰθήρ,
χορεύει δὲ σελάνα
καὶ πεντήκοντα κόραι
Νηρέος αἳ κατὰ πόντον
ἀενάων τε ποταμῶν
δίνας χορευόμεναι
τὰν χρυσοστέφανον κόραν
καὶ ματέρα σεμνάν·
ἵν' ἐλπίζει βασιλεύσειν
ἄλλων πόνον ἐσπεσὼν
ὁ Φοίβειος ἀλάτας.

ὁρᾶθ' ὅσοι δυσκελάδοισιν antistr.
κατὰ μοῦσαν ἰόντες ἀείδεθ' ὕμνοις
ἁμέτερα λέχεα καὶ γάμους
Κύπριδος ἀθέμιτας ἀνοσίους,
ὅσον εὐσεβίᾳ κρατοῦμεν

---

1069 γ' ἑτέρους] ἐσορῶσ' O. Hense, ἐφορῶσ' Herwerden 1071 ὄμμασι *LP*, superscr. ὀμμάτων ἐν *l* 1073 ἀπατριδᾶν *P* 1076 θεωρὸς] Musgrave, θεωρὸν *LP* 1081 κόραι *LP*, κοῦραι *l* 1082 fort. Νηρεΐδες ἀμφὶ πόντον 1083 ἀενάων *LP*, ἀεννάων *l*. κατ' ἀενάων Hermann 1084 χορευόμεναι] κορευόμεναι Musgrave, εἱλισσόμεναι Dindorf, δινευόμεναι Kuiper 1085 χρυσοστέφανον] Elmsley, χρυσεοστέφανον *LP* 1088 ἄλλων] Brodeau, ἄλλον *LP* | πόνον εἰσπεσὼν] Heath, πόνον τ' εἰσπεσεῖν *LP* 1089 ὁ om. *LP*, add. *l* 1090 ὅσι mut. in ὅσοι *L*, ὅσοι *P* | δυσκελάδοις *LP*, δυσκελάδοισιν *l* 1090 sq. fort. δυσκελάδοις οὐ κατὰ μοῖραν 1091 ὕμνοισιν *LP*, ὕμνοις *l* 1092 λέχεα] λέκτρα Musgrave 1093 κύπριδας mut. in κύπριδος *L*, κύπριδας *P* | ἀθέμιτας *L* (compendium ους quod super ας scriptum erat erasum itemque accentus super ι), ἀθεμίτους *P* 1094 εὐσεβεία *LP*

ΘΕ. ἐπεὶ θεοῦ μαντεῖον ᾤχετ' ἐκλιπὼν
πόσις Κρεούσης, παῖδα τὸν καινὸν λαβὼν
πρὸς δεῖπνα θυσίας θ' ἃς θεοῖς ὡπλίζετο,
Ξοῦθος μὲν ᾤχετ' ἔνθα πῦρ πηδᾷ θεοῦ
βακχεῖον, ὡς σφαγαῖσι Διονύσου πέτρας
δεύσειε δισσὰς παιδὸς ἀντ' ὀπτηρίων,
λέξας· σὺ μὲν νῦν, τέκνον, ἀμφήρεις μένων
σκηνὰς ἀνίστη τεκτόνων μοχθήμασι.
θύων δὲ γενέταις θεοῖσιν ἢν μακρὸν χρόνον
μένω, παροῦσι δαῖτες ἔστωσαν φίλοις.
λαβὼν δὲ μόσχους ᾤχεθ'· ὁ δὲ νεανίας
σεμνῶς ἀτοίχους περιβολὰς σκηνωμάτων
ὀρθοστάταις ἱδρύεθ' ἡλίου φλόγα
καλῶς φυλάξας, οὔτε πρὸς μεσημβρινὰς
ἀκτῖνας, οὔτ' αὖ πρὸς τελευτῶσας βίον,
πλέθρου σταθμήσας μῆκος εἰς εὐγωνίαν,
μέτρημ' ἔχουσαν τοὐν μέσῳ γε μυρίων
ποδῶν ἀριθμόν, ὡς λέγουσιν οἱ σοφοί,
ὡς πάντα Δελφῶν λαὸν ἐς θοίνην καλῶν.
λαβὼν δ' ὑφάσμαθ' ἱερὰ θησαυρῶν πάρα
κατεσκίαζε, θαύματ' ἀνθρώποις ὁρᾶν.
πρῶτον μὲν ὀρόφῳ πτέρυγα περιβάλλει πέπλων,
ἀνάθημα Δίου παιδός, οὓς Ἡρακλέης
Ἀμαζόνων σκυλεύματ' ἤνεγκεν θεῷ.
ἐνῆν δ' ὑφανταὶ γράμμασιν τοιαίδ' ὑφαί·
Οὐρανὸς ἀθροίζων ἄστρ' ἐν αἰθέρος κύκλῳ·
ἵππους μὲν ἤλαυν' ἐς τελευταίαν φλόγα
Ἥλιος, ἐφέλκων λαμπρὸν Ἑσπέρου φάος,
μελάμπεπλος δὲ Νὺξ ἀσείρωτον ζυγοῖς
ὄχημ' ἔπαλλεν, ἄστρα δ' ὡμάρτει θεᾷ·
Πλειὰς μὲν ᾔει μεσοπόρου δι' αἰθέρος

---

1125 μὲν ᾤχετ'] fort. μετήρχετ' 1126 Διονύσου] fort. Παρνασοῦ 1128 ἀμφήρεις] H. Stephanus, ἀμφήρης LP 1130 θύων] scripsi, θύσας LP 1131 μενῶ L, μένω mut. in μενῶ P | δαῖτας ἑστία L. Dindorf 1134 φλόγα] Bothe, φλογὸς LP 1135 μεσημβρινὰς] Th. Kock, μέσας βολὰς LP 1136 βίον] βολάς Dindorf 1137 εὐγωνίαν] Elmsley, εὐγώνιον LP 1138 γε] fort. τῶν 1146 γράμμασι LP 1148 φλόγα] πλάκα Wakefield, πτύχα Hartung, fort. ὁδὸν 1150 ἀσύρωτον P

Digitized

*ὅ τε ξιφήρης Ὠρίων, ὕπερθε δὲ*
*Ἄρκτος στρέφουσ' οὐραῖα χρυσήρει πόλῳ·*
*κύκλος δὲ πανσέληνος ἠκόντιζ' ἄνω*
*μηνὸς διχήρης, Ὑάδες τε, ναυτίλοις*
*σαφέστατον σημεῖον, ἥ τε φωσφόρος*
*Ἕως διώκουσ' ἄστρα. τοίχοισιν δ' ἔπι*
*ἤμπισχεν ἄλλα βαρβάρων ὑφάσματα,*
*εὐηρέτμους ναῦς ἀντίας Ἑλληνίσι,*
*καὶ μιξόθηρας φῶτας ἱππείας τ' ἄγρας*
*ἐλάφων λεόντων τ' ἀγρίων θηράματα.*
*κατ' εἰσόδους δὲ Κέκροπα θυγατέρων πέλας*
*σπείραις συνειλίσσοντ', Ἀθηναίων τινὸς*
*ἀνάθημα, χρυσέους τ' ἐν μέσῳ συσσιτίῳ*
*κρατῆρας ἔστησ'· ἐν δ' ἄκροισι βὰς ποσὶ*
*κῆρυξ ἀνεῖπε τὸν θέλοντ' ἐγχωρίων*
*ἐς δαῖτα χωρεῖν. ὡς δ' ἐπληρώθη στέγη,*
*στεφάνοισι κοσμηθέντες εὐόχθου βορᾶς*
*ψυχὴν ἐπλήρουν. ὡς δ' ἀνεῖσαν ἡδονήν,*
*. . παρελθὼν πρέσβυς ἐς μέσον πέδον*
*ἔστη, γέλων δ' ἔθηκε συνδείπνοις πολύν,*
*πρόθυμα πράσσων· ἔκ τε γὰρ κρωσσῶν ὕδωρ*
*χεροῖν ἔπεμπε νίπτρα κἀξεθυμία*
*σμύρνης ἱδρῶτα χρυσέων τ' ἐκπωμάτων*
*ἦρχ', αὐτὸς αὑτῷ τόνδε προστάξας πόνον.*
*ἐπεὶ δ' ἐς αὐλοὺς ἧκον ἐς κρατῆρά τε*
*κοινόν, γέρων ἔλεξ'· ἀφαρπάζειν χρεὼν*
*οἰνηρὰ τεύχη σμικρά, μεγάλα δ' ἐσφέρειν,*
*ὡς θᾶσσον ἔλθωσ' οἵδ' ἐς ἡδονὰς φρενῶν.*

---

1153 *ὡρίων P* 1154 *χρυσήρει*] H. Stephanus, *χρυσήρη LP* | *πόλῳ*] Brodeau, *πώλῳ LP* 1158 *τοίχοισι LP*, *τοίχοισιν l* 1159 *βαρβάρων*] fort. *βαριβῶν* 1160 *ἑλληνίσι LP*, *ἑλληνίσιν l* 1161 fort. *ἱππείους* 1164 *πείραις P*, *σπείρας* H. Stephanus 1166 *κρητῆρας LP* 1167 *ἐγχωρίων*] Lobeck, *ἐγχώριον LP* 1168 *ἐς* hic *LP* 1169 *εὐόχθου Lp*, *εὐόχου P* 1170 *ἀνεῖσαν*] Musgrave, *ἀνῆσαν LP* 1171 *λάθρᾳ* addit Herwerden, fort. *ἄφνω* Cfr. Med. 1205 | *πέδον* interpolatori tribuit Kirchhoff | *μέσον πέδον*] *μεταίχμιον* Headlam (qui conicit *πέδον παρελθὼν πρέσβυς ἐς μεταίχμιον*) 1173 *κρωσσῶν LP* 1174 *ἔπεμπε*] *ἐπένεμε* Herwerden 1176 *αὐτῷ P* 1177 *ἧκον*] Dobree, *ἧκεν LP* 1178 *κοινόν*] Musgrave, *καινόν LP* | *ἔλεξεν LP* 1179 *τεύχη*] Porson, *σκεύη LP*

*ἣν δὴ φερόντων μόχθος ἀργυρηλάτους*
*χρυσέας τε φιάλας· ὃ δὲ λαβὼν ἐξαίρετον,*
*ὡς τῷ νέῳ δὴ δεσπότῃ χάριν φέρων,*
*ἔδωκε πλῆρες τεῦχος, εἰς οἶνον βαλὼν*
*ὃ φησι δοῦναι φάρμακον δραστήριον*
*δέσποιναν, ὡς παῖς ὁ νέος ἐκλίποι φάος·*
*κοὐδεὶς τάδ' ᾔδειν. ἐν χεροῖν ἔχοντι δὲ*
*σπονδὰς μετ' ἄλλων παιδὶ τῷ πεφηνότι*
*βλασφημίαν τις οἰκετῶν ἐφθέγξατο·*
*ὃ δ', ὡς ἐν ἱερῷ μάντεσίν τ' ἐσθλὸς τραφείς,*
*οἰωνὸν ἔθετο κἀκέλευσ' ἄλλον νέον*
*κρατῆρα πληροῦν· τὰς δὲ πρὶν σπονδὰς θεοῦ*
*δίδωσι γαίᾳ, πᾶσί τ' ἐκσπένδειν λέγει.*
*σιγὴ δ' ὑπῆλθεν. ἐκ δ' ἐπίμπλαμεν δρόσου*
*κρατῆρας ἱερᾶς Βυβλίνου τε πώματος.*
*κἀν τῷδε μόχθῳ πτηνὸς ἐσπίπτει δόμοις*
*κῶμος πελειῶν· Λοξίου γὰρ ἐν δόμοις*
*ἄτρεστα ναίουσ'· ὡς δ' ἀπέσπεισαν μέθυ,*
*ἐς αὐτὸ χείλη πώματος κεχρημέναι*
*καθῆκαν, εἷλκον δ' εὐπτέρους ἐς αὐχένας.*
*καὶ ταῖς μὲν ἄλλαις ἄνοσος ἦν λοιβὴ θεοῦ·*
*ἣ δ' ἕζετ' ἔνθ' ὁ καινὸς ἔσπεισεν γόνος,*
*ποτοῦ τ' ἐγεύσατ', εὐθὺς εὔπτερον δέμας*
*ἔσεισε κἀβάκχευσεν, ἐκ δ' ἔκλαγξ' ὄπα*
*ὀξύτονον αἰάζουσ'· ἐθάμβησεν δὲ πᾶς*
*θοινατόρων ὅμιλος ὄρνιθος πόνους.*
*θνῄσκει δ' ἀπασπαίρουσα, φοινικοσκελεῖς*
*χηλὰς παρεῖσα. γυμνὰ δ' ἐκ πέπλων μέλη*

1181 *μόχθος*] Brodeau, *μόχθους LP*, *μόχθος* ut videtur *p* 1185 *φησι*] Ge. Schmid, *φασι LP* 1187 *ᾔδειν*] Pierson, *ᾔδει P* et factum ex *ἤδη L*, *εἶδεν* Herwerden | *χεροῖν*] Canter, *χερσὶν LP* 1188 delet F. Gu. Schmidt 1190 *μάντεσί LP* | *ἐσθλὸς*] Naber, *ἐσθλοῖς LP* 1194 *σιγῇ LP* 1195 *ἱερᾶς*] Reiske, *ἱεροὺς LP* | *Βυβλίνου*] Blomfield, *βιβλίνου LP* 1196 *μόχθου* Kirchhoff | *δόμους* Badham, *στέγῃ* Ritschl, *δόμοις* e v. proximo ortum videtur, fort. *ἐσπίπτων κυρεῖ* 1197 *κῶμος*] fort. *ἑσμὸς* 1198 *ὡς*] fort. *οὐ* 1199 *ἐς αὐτὸ L*, om. *P*, add. in marg. *p*, *κεἰς αὐτὰ l* 1200 *καθεῖσαν* Badham 1201 *ἄνοσον P*, *ἄνοσος p* 1202 *ἔσπεισε L*, *ἔσπεισεν lP* 1204 fort. *ἔσειε κἀβάκχευεν* 1205 *ὀξύτονον*] Herwerden, *ἀξύνετον LP* | *αἰάζουσ'· ἐθάμβησεν*] Heath, *αἰάζουσα θάμβησε LP*

χθονὸς ὑπὸ σκοτίων μυχῶν
πορευθῶ, θανάτου λεύσιμον ἄταν
ἀποφεύγουσ', ἢ τεθρίππων
ὠκιστᾶν χαλᾶν ἐπιβᾶσ',
ἢ πρύμνας ἐπὶ ναῶν;

οὐκ ἔστι λαθεῖν, ὅτε μὴ χρῄζων
θεὸς ἐκκλέπτει.
τί ποτ', ὦ μελέα δέσποινα, μένει
ψυχῇ σε παθεῖν; ἆρα θέλουσαι
δρᾶσαί τι κακὸν τοὺς πέλας αὐταὶ
πεισόμεθ', ὥσπερ τὸ δίκαιον;

ΚΡΕΟΥΣΑ.

πρόσπολοι, διωκόμεσθα θανασίμους ἐπὶ σφαγάς,
Πυθίᾳ ψήφῳ κρατηθεῖσ', ἔκδοτος δὲ γίγνομαι.
*ΧΟ.* ἴσμεν, ὦ τάλαινα, τὰς σὰς συμφοράς, ἵν' εἶ τύχης.
*ΚΡ.* ποῖ φύγω δῆτ'; ἀρκύων γὰρ προύλαβον μόγις πόδα
μὴ θανεῖν, κλοπῇ δ' ἀφῖγμαι διαφυγοῦσα πολεμίους.
*ΧΟ.* ποῖ δ' ἂν ἄλλοσ' ἢ 'πὶ βωμόν; *ΚΡ.* καὶ τί μοι πλέον τόδε;
*ΧΟ.* ἱκέτιν οὐ θέμις φονεύειν. *ΚΡ.* τῷ νόμῳ δέ γ' ὄλλυμαι.
*ΧΟ.* χειρία γ' ἁλοῦσα. *ΚΡ.* καὶ μὴν οἵδ' ἀγωνισταὶ πικροὶ
δεῦρ' ἐπείγονται ξιφήρεις. *ΧΟ.* ἷζε νυν πυρᾶς ἔπι.
κἂν θάνῃς γὰρ ἐνθάδ' οὖσα, τοῖς ἀποκτείνασί σε
προστρόπαιον αἷμα θήσεις· οἰστέον δὲ τὴν τύχην.
*ΙΩΝ.* ὦ ταυρόμορφον ὄμμα Κηφισοῦ πατρός,
οἵαν ἔχιδναν τήνδ' ἔφυσας ἢ πυρὸς
δράκοντ' ἀναβλέποντα φοινίαν φλόγα,
ᾗ τόλμα πᾶσ' ἔνεστιν, οὐδ' ἥσσων ἔφυ

---

1239 *σκοτίων L, σκότων P. σκοτίους μυχοὺς* Hartung 1241 *ἀποφεύγουσ' ἢ*] scripsi, *ἀποφεύγουσα LP* 1242 *ὠκιστᾶν χαλᾶν*] J. Heiland, *ὠκίσταν χαλὰν LP* 1243 *ναῶν*] fort. *ναός* 1244 *λαθεῖν*] H. Stephanus, *λαβεῖν LP* 1246 *μένει*] Portus, *μέλει LP* 1247 *ἄρα LP, ἆρα l* 1251 *Πυθίᾳ*] H. Stephanus, *πυθίω LP* | *γίνομαι LP* 1252 *ἵν' εἶ τύχης*] Scaliger, *ἵν' εὐτυχεῖς LP* 1253 *ἀρκύων γὰρ*] scripsi, *ἐκ γὰρ ἄκων LP, ἐκ γὰρ οἴκων* Victorius | *μόλις* Dindorf 1254 *κλοπεῖν P, κλοπῇ p* 1258 *ΧΟ.* om. *P* 1259 *κἂν*] *ἢν* Nauck

Γοργοῦς σταλαγμῶν, οἷς ἔμελλέ με κτενεῖν. 1265
ἐσθλοῦ δ' ἔκυρσα δαίμονος, πρὶν ἐς πόλιν 1269
μολεῖν Ἀθηνῶν χὐπὸ μητρυιὰν πεσεῖν.
ἐν συμμάχοις γὰρ ἀνεμετρησάμην φρένας
τὰς σάς, ὅσον μοι πῆμα δυσμενής τ' ἔφυς·
ἔσω γὰρ ἄν με περιβαλοῦσα δωμάτων
ἄρδην ἂν ἐξέπεμψας εἰς Ἅιδου δόμους. 1274
ἴδεσθε τὴν πανοῦργον, ἐκ τέχνης τέχνην 1279
οἵαν ἔπλεξε· βωμὸν ἔπτηξεν θεοῦ,
ὡς οὐ δίκην δώσουσα τῶν εἰργασμένων. 1281
ἀλλ' οὔτε βωμὸς οὔτ' Ἀπόλλωνος δόμος 1275
σώσει σ'· ὁ δ' οἶκτος ὁ σὸς ἐμοὶ κρείσσων πάρα
καὶ μητρὶ τἠμῇ· καὶ γὰρ εἰ τὸ σῶμά μοι
ἄπεστιν αὐτῆς, τοὔνομ' οὐκ ἄπεστί πω. 1278
λάζυσθ', ἵν' αὐτῆς τοὺς ἀκηράτους πλόκους 1266
κόμης καταξήνωσι Παρνασοῦ πλάκες,
ὅθεν πετραῖον ἅλμα δισκηθήσεται. 1268

ΚΡ. ἀπεννέπω σε μὴ κατακτείνειν ἐμὲ 1282
ὑπέρ τ' ἐμαυτῆς τοῦ θεοῦ θ' ἵν' ἕσταμεν.
ΙΩΝ. τί δ' ἐστὶ Φοίβῳ σοί τε κοινὸν ἐν μέσῳ;
ΚΡ. ἱερὸν τὸ σῶμα τῷ θεῷ δίδωμ' ἔχειν. 1285
ΙΩΝ. κἄπειτ' ἔκαινες φαρμάκοις τὸν τοῦ θεοῦ;
ΚΡ. ἀλλ' οὐκέτ' ἦσθα Λοξίου, πατρὸς δὲ σοῦ.
ΙΩΝ. ἀλλ' ἐγενόμεσθα, πατρὸς δ' οὐσίαν λέγω.
ΚΡ. οὐκοῦν τότ' ἦσθα· νῦν δ' ἐγώ, σὺ δ' οὐκέτι.
ΙΩΝ. οὐκ εὐσεβής γε· τἀμὰ δ' εὐσεβῆ τότ' ἦν. 1290
ΚΡ. ἔκτεινά σ' ὄντα πολέμιον δόμοις ἐμοῖς.
ΙΩΝ. οὔτοι σὺν ὅπλοις ἦλθον ἐς τὴν σὴν χθόνα.

---

1265 κτενεῖν] Dindorf, κτανεῖν *LP* 1266—8 post 1278 collocavit Kirchhoff 1267 παρνησοῦ *LP* 1268 δισκηθήσεται (ευ superscr.) *L*, δισκηθήσεται *P*, ευ superscr. *p* 1269 ἐς hic *LP* 1273 fort. περιλαβοῦσα | δωμάτων] δικτύων Dobree 1275—8 post 1281 transposuit Musgrave 1275 δόμος] βρέτας L. v. Sybel 1280 ἔπλεξε] Elmsley, ἔπλεξ' οὐ *LP* | ἔπτηξε *L*, ἔπτηξεν *lP* 1286 ἔκαινες] Duport, ἔκτανες *LP* | κᾆτ' ἔκτανές με Musgrave, κᾆτ' ἔκτανες σὺ Nauck 1288 fort. ἀλλ' ἐγενόμεσθα πατρὸς οὐ παρουσίᾳ 1289 οὐκέτι] Dobree, οὐκέτ' εἶ *LP* 1290 εὐσεβής] L. Dindorf, εὐσεβῆ *P* et superscr. βεῖς *L* 1291 σ'] Wakefield, δ' *LP* | ἔκτεινον ὄντα Elmsley 1292 ὅπλοις] Barnes, ὅπλοισιν *LP*

ΚΡ. μάλιστα· κἀπίμπρης γ' Ἐρεχθέως δόμους.
ΙΩΝ. ποίοισι πανοῖς ἢ πυρὸς ποίᾳ φλογί;
ΚΡ. ἔμελλες οἰκεῖν τἄμ', ἐμοῦ βίᾳ λαβών. 1295
ΙΩΝ. κἄπειτα τοῦ μέλλειν μ' ἀπέκτεινες φόβῳ; 1300
ΚΡ. ὡς μὴ θάνοιμί γ', εἰ σὺ μὴ μέλλων τύχοις.
ΙΩΝ. φθονεῖς ἄπαις οὖσ', εἰ πατήρ ἐξηῦρέ με.
ΚΡ. σὺ τῶν ἀτέκνων δῆτ' ἀναρπάσεις δόμους; 1303
ΙΩΝ. πατρός γε γῆν διδόντος ἣν ἐκτήσατο. 1296
ΚΡ. τοῖς Αἰόλου δὲ πῶς μετῆν τῶν Παλλάδος;
ΙΩΝ. ὅπλοισιν αὐτήν, οὐ λόγοις ἐρρύσατο.
ΚΡ. ἐπίκουρος οἰκήτωρ γ' ἂν οὐκ εἴη χθονός. 1299
ΙΩΝ. ἡμῖν δέ γ' ἀλλὰ πατρικῆς οὐκ ἦν μέρος; 1304
ΚΡ. ὅσ' ἀσπὶς ἔγχος θ'· ἥδε σοι παμπησία. 1305
ΙΩΝ. ἔκλειπε βωμὸν καὶ θεηλάτους ἕδρας.
ΚΡ. τὴν σὴν ὅπου σοι μητέρ' ἐστὶ νουθέτει.
ΙΩΝ. σὺ δ' οὐχ ὑφέξεις ζημίαν, κτείνουσ' ἐμέ;
ΚΡ. ἤν γ' ἐντὸς ἀδύτων τῶνδέ με σφάξαι θέλῃς.
ΙΩΝ. τίς ἡδονή σοι θεοῦ θανεῖν ἐν στέμμασι; 1310
ΚΡ. λυπήσομέν τιν', ὧν λελυπήμεσθ' ὕπο.
ΙΩΝ. φεῦ.
δεινόν γε, θνητοῖς τοὺς νόμους ὡς οὐ καλῶς
ἔθηκεν ὁ θεὸς οὐδ' ἀπὸ γνώμης σοφῆς·
τοὺς μὲν γὰρ ἀδίκους βωμὸν οὐχ ἵζειν ἐχρῆν,
ἀλλ' ἐξελαύνειν· οὐδὲ γὰρ ψαύειν καλὸν 1315
θεῶν πονηρὰν χεῖρα· τοὺς δέ γ' ἐνδίκους
ἱερὰ καθίζειν, ὅστις ἠδικεῖτ', ἐχρῆν,
καὶ μὴ 'πὶ ταὐτὸ τοῦτ' ἰόντ' ἔχειν ἴσον
τόν τ' ἐσθλὸν ὄντα τόν τε μὴ θεῶν πάρα.

---

1293 κἀπίμπρης] Ge. Schmid, κἀπίμπρας *LP*. ἀλλ' ἐξεπίμπρης τούς γ' Herwerden | γ' om. *P* 1294 πανοῖς] Musgrave, πτανοῖς *P* et superscr. δαλοῖς *L* 1295 λαχὼν scripto β super χ *LP* 1296—9 post 1303 collocavit Nauck 1296 τὲ *P* et superscr. γε *L* 1297 τῶν, non τῆς *LP* 1298 αὐτὴν συμμάχοις Hartung 1300 τοῦ μέλλοντος ἔκτεινες Hartung 1302 ἐξεῦρε *LP* 1303 ἀναρπάσῃ Cobet 1304 πατρικῆς] Aldina, περὶ γῆς *LP* 1305 ὅσ' *Lp*, ὡς *P* 1306 ἔκλιπε *LP*, ἔκλειπε *p* | θεοδμήτους J. Heiland 1311 ὧν] οὗ Valckenaer | λελυπήμεθ' *LP* 1314 ἕζειν scripto ἴ super ἕ *L*, ἕξειν *P*, ἕζειν *p* 1316 θεῶν] fort. ναῶν | τοὺς δέ γ' ἐνδίκους] Dobree, τοῖσι δ' ἐνδίκοις *LP* 1317 ἱρὰ *LP*

*ΠΥ.* πατέρα κατειπὼν τῆσδέ σ' ἐκπέμπει χθονός.
*ΙΩΝ.* σὺ δ' ἐκ κελευσμῶν ἢ πόθεν σῴζεις τάδε;
*ΠΥ.* ἐνθύμιόν μοι τότε τίθησι Λοξίας
*ΙΩΝ.* τί χρῆμα δρᾶσαι; λέγε, πέραινε σοὺς λόγους.
*ΠΥ.* σῶσαι τόδ' εὕρημ' ἐς τὸν ὄντα νῦν χρόνον.
*ΙΩΝ.* ἔχει δέ μοι τί κέρδος ἢ τίνα βλάβην;
*ΠΥ.* ἐνθάδε κέκρυπται σπάργαν' οἷς ἐνῆσθα σύ.
*ΙΩΝ.* μητρὸς τάδ' ἡμῖν ἐκφέρεις ζητήματα.
*ΠΥ.* ἐπεί γ' ὁ δαίμων βούλεται· πάροιθε δ' οὔ.
*ΙΩΝ.* ὦ μακαρίων μοι φασμάτων ἥδ' ἡμέρα.
*ΠΥ.* λαβών νυν αὐτὰ τὴν τεκοῦσαν ἐκπόνει.
*ΙΩΝ.* πᾶσάν γ' ἐπελθὼν Ἀσιάδ' Εὐρώπης θ' ὅρους.
*ΠΥ.* γνώσῃ τάδ' αὐτός. τοῦ θεοῦ δ' ἕκατί σε
ἔθρεψά τ', ὦ παῖ, καὶ τάδ' ἀποδίδωμί σοι,
ἃ κεῖνος ἀκέλευστόν μ' ἐβουλήθη λαβεῖν
σῶσαί θ'· ὅτου δέ γ' εἵνεκ', οὐκ ἔχω λέγειν.
ᾔδει δὲ θνητῶν οὔτις ἀνθρώπων τάδε
ἔχοντας ἡμᾶς, οὐδ' ἵν' ἦν κεκρυμμένα.
καὶ χαῖρ'· ἴσον γάρ σ' ὡς τεκοῦσ' ἀσπάζομαι.
[ἄρξαι δ' ὅθεν σὴν μητέρα ζητεῖν σε χρή·
πρῶτον μὲν εἴ τις Δελφίδων τεκοῦσά σε
ἐς τούσδε ναοὺς ἐξέθηκε παρθένος,
ἔπειτα δ' εἴ τις Ἑλλάς· ἐξ ἡμῶν δ' ἔχεις
ἅπαντα Φοίβου θ', ὃς μετέσχε τῆς τύχης.]
*ΙΩΝ.* φεῦ φεῦ· κατ' ὄσσων ὡς ὑγρὸν βάλλω δάκρυ,
ἐκεῖσε τὸν νοῦν δούς, ὅθ' ἡ τεκοῦσά με
κρυφαῖα νυμφευθεῖσ' ἀπημπόλα λάθρᾳ
καὶ μαστὸν οὐκ ἐπέσχεν· ἀλλ' ἀνώνυμος

---

1346 τόδε Herwerden 1347 τότε, scripto δε super τε *L*, τόδε τε *P* 1348 δρᾶσαι] Musgrave, δράσειν *LP* | λέγε om. *P*, add. super versum *p* 1351 σπάργαν' οἷς ἐνῆσθα] Reiske, σπαργάνοισιν οἶσθα *LP* 1352 ἐκφέρει *P*, ἐκφέρεις *p* 1354 μακαρία Hermann, fort. μακαρία . . φασμάτων τῶνδ' 1356 Pythiae continuant *LP*, corr. Kirchhoff. γ'] olim Kirchhoff, δ' *LP* | ἢ πᾶσαν ἐλθὼν . . ὅρους; Heimsoeth | Ἀσιάδ'] Scaliger, Ἀσίαν *LP*, Ἀσίδ' Nauck 1360 ὅτου δέ γ'] Badham, ὅτου δ' ἐβούλεθ' *LP* | Wilamowitz mavult λέγειν delere (ὅτου δ' ἐβούλεθ' οὕνεκ' οὐ λέγω Paley) | οὕνεκ' *L*, om. *P* | δ' ἄρ' εἵνεκ' Shilleto 1362 ἵν' om. *P*[1] 1364—8 delevit H. Hirzel 1364 ζητεῖσθαι *LP*, ζητεῖν σε *l* 1367 εἷς τις *P* 1369 ὅσων *P* 1372 οὐκ ἐπέσχεν] Dobree, οὐχ ὑπέσχεν *LP*

*ἐν θεοῦ μελάθροις εἶχον οἰκέτην βίον.*
*τὰ τοῦ θεοῦ μὲν χρηστά, τοῦ δὲ δαίμονος*
*βαρέα· χρόνον γὰρ ὅν με χρῆν ἐν ἀγκάλαις*
*μητρὸς τρυφῆσαι καί τι τερφθῆναι βίου,*
*ἀπεστερήθην φιλτάτης μητρὸς τροφῆς.*
*τλήμων δὲ χἠ τεκοῦσά μ᾽· ὡς ταὐτὸν πάθος*
*πέπονθε, παιδὸς ἀπολέσασα χαρμονάς.*
*καὶ νῦν λαβὼν τήνδ᾽ ἀντίπηγ᾽ οἴσω θεῷ*
*ἀνάθημ᾽, ἵν᾽ εὕρω μηδὲν ὧν οὐ βούλομαι.*
*εἰ γάρ με δούλη τυγχάνει τεκοῦσά τις,*
*εὑρεῖν κάκιον μητέρ᾽ ἢ σιγῶντ᾽ ἐᾶν.*
*ὦ Φοῖβε, ναοῖς ἀνατίθημι τήνδε σοῖς.*
*καίτοι τί πάσχω; τοῦ θεοῦ προθυμίᾳ*
*πολεμῶ, τὰ μητρὸς σύμβολ᾽ ὃς σέσωκέ μοι.*
*ἀνοικτέον τάδ᾽ ἐστὶ καὶ τολμητέον·*
*τὰ γὰρ πεπρωμέν᾽ οὐχ ὑπερβαίην ποτ᾽ ἄν.*
*ὦ στέμμαθ᾽ ἱερά, τί ποτέ μοι κεκεύθατε,*
*καὶ σύνδεθ᾽, οἷσι τἄμ᾽ ἐφρουρήθη φίλα;*
*ἰδοὺ περίπτυγμ᾽ ἀντίπηγος εὐκύκλου*
*ὡς οὐ γεγήρακ᾽ ἔκ τινος θεηλάτου,*
*εὐρώς τ᾽ ἄπεστι πλεγμάτων· ὁ δ᾽ ἐν μέσῳ*
*χρόνος πολὺς δὴ τοῖσδε θησαυρίσμασιν.*

*ΚΡ.* *τί δῆτα φάσμα τῶν ἀνελπίστων ὁρῶ;*
*ΙΩΝ.* *σίγα σύ· πολλὰ καὶ πάροιθεν οἶσθά μοι.*
*ΚΡ.* *οὐκ ἐν σιωπῇ τἀμά· μή με νουθέτει.*
*ὁρῶ γὰρ ἄγγος οὗ ᾽ξέθηκ᾽ ἐγώ ποτε*
*σέ γ᾽, ὦ τέκνον μοι, βρέφος ἔτ᾽ ὄντα νήπιον,*
*Κέκροπος ἐς ἄντρα καὶ Μακρὰς πετρηρεφεῖς.*
*λείψω δὲ βωμὸν τόνδε, κεἰ θανεῖν με χρή.*

1374 fort. *τὰ δὲ τοῦ δαίμονος* 1375 *μ᾽ ἐχρῆν LP* 1378 *δὲ χἠ*] Schaefer, *δέ θ᾽ ἡ LP* 1380 *οἴσω*] Brodeau, *οἶσον LP* | *θεῷ* factum ex *θεοῖ* in *L* 1381 *μηθὲν LP* 1384 *ναοῖς*] fort. *βωμοῖς* 1386 *σέσωκε*] Dobree, *ἔσωσε LP* 1388 *οὐχ*] Nauck, *οὐδ᾽ LP* | *ὑπερβαίην*] vel *ὑπερβαίης* Barnes, *ὑπερβαίη LP*. *ὑπερβαίη τις* Wakefield 1390 *σύνδετ᾽ LP* 1392 *ἐκ τύχης* Badham 1396 choro dant *LP*, corr. Heath | *σίγα*] L. Dindorf, *σιγᾶν LP* | *πολλὴ . . ᾖσθά μοι* Hartung, fort. *πολλὰ καὶ πάρος σύνοιδά σοι* 1398 *οὗ ᾽ξέθηκ᾽*] Aldina, *οὐξέθηκ᾽ LP*. *οὑξέθηκ᾽*, deleto v. proximo, Cobet 1400 delet Paley 1401 fort. *λείπω*

ΙΩΝ. λάζυσθε τήνδε· θεομανὴς γὰρ ἥλατο
βωμοῦ λιποῦσα ξόανα· δεῖτε δ' ὠλένας.
ΚΡ. σφάζοντες οὐ λήγοιτ' ἄν· ὡς ἀνθέξομαι
καὶ τῆσδε καὶ σοῦ τῶν τ' ἔσω κεκρυμμένων.
ΙΩΝ. τάδ' οὐχὶ δεινά; ῥυσιάζομαι λόγῳ.
ΚΡ. οὔκ, ἀλλὰ σοῖς φίλοισιν εὑρίσκῃ φίλος.
ΙΩΝ. ἐγὼ φίλος σός; κᾆτά μ' ἔκτεινες λάθρᾳ;
ΚΡ. παῖς γ', εἰ τόδ' ἐστὶ τοῖς τεκοῦσι φίλτατον.
ΙΩΝ. παῦσαι πλέκουσα· λήψομαί σ' ἐγὼ καλῶς.
ΚΡ. ἐς τοῦθ' ἱκοίμην, τοῦδε τοξεύω, τέκνον.
ΙΩΝ. κενὸν τόδ' ἄγγος ἢ στέγει πλήρωμά τι;
ΚΡ. σά γ' ἔνδυθ', οἷσί σ' ἐξέθηκ' ἐγώ ποτε.
ΙΩΝ. καὶ τοὔνομ' αὐτῶν ἐξερεῖς πρὶν εἰσιδεῖν;
ΚΡ. κἂν μὴ φράσω γε, κατθανεῖν ὑφίσταμαι.
ΙΩΝ. λέγ'· ὡς ἔχει τι δεινὸν ἥ τόλμα γέ σου.
ΚΡ. σκέπασμ' ὃ παῖς ποτ' οὖσ' ὕφασμ' ὕφην' ἐγώ.
ΙΩΝ. ποῖόν τι; πολλὰ παρθένων ὑφάσματα.
ΚΡ. οὐ τέλεον, οἷον δ' ἐκδίδαγμα κερκίδος.
ΙΩΝ. μορφὴν ἔχον τίν'; ὥς με μὴ ταύτῃ λάβῃς.
ΚΡ. Γοργὼ μὲν ἐν μέσοισιν ἠτρίοις πέπλων.
ΙΩΝ. ὦ Ζεῦ, τίς ἡμᾶς ἐκκυνηγετεῖ πότμος;
ΚΡ. κεκρασπέδωται δ' ὄφεσιν αἰγίδος τρόπον.
ΙΩΝ. ἰδού, τόδ' ἔσθ' ὕφασμα θέσφαθ' ὡς εὑρίσκομεν.
ΚΡ. ὦ χρόνιον ἱστῶν παρθένευμα τῶν ἐμῶν.
ΙΩΝ. ἔστιν τι πρὸς τῷδ', ἢ μόνῳ τῷδ' εὐτυχεῖς;
ΚΡ. δράκοντες ἀρχαῖόν τι παγχρύσῳ γένυι.
ΙΩΝ. δώρημ' Ἀθάνας ἣ τέκν' ἐντρέφειν λέγε.

---

1404 λήγοιτ'] φθάνοιτ' Madvig 1405 τ' ἔσω Tyrwhitt, τε σων L, γε σῶν P 1406 fort. ῥυσιάζομαι δ' ἐγώ 1408 φίλος σοι Hermann 1410 σ'] Tyrwhitt, δ' LP | fort. τί παῖς; ἐλέγχων λήψομαί σ' ἐγὼ καλῶς 1411 τοξεύω LP, superscr. σαι vel σω l 1413 ἔνδυτ' L, ἐνδύτ' P 1416 ἥ γε τόλμα σου Jodrell, ἥδε τόλμα σου L. Dindorf 1417 σκέπασμ'] L. Dindorf, σκέψασθ' LP 1421 Γοργὼ] L. Dindorf, γοργὼν LP | ἠτρίοις] Musgrave, ἠτρίων LP 1423 κ'εκ κρασπέδωτ' L, κ*ε+κρασπέδω τ' (eraso κ post κε) P, κεκρασπέδωται δ' p 1424 fort. ἰδού, τόδ' οἷον φῂς ὕφασμ' εὑρίσκομεν 1426 ἔστι L, ἔστιν l P | πρὸς τῷδ'] L. Dindorf, πρὸς τῶ γ' LP (γ in ras. in P) | εὐστοχεῖς Pierson, fort. μόνου τοῦδ' εὐστοχεῖς 1427 δράκοντε μαρμαίροντε Porson | γένυι] Heath, γένει LP | fort. δράκοντε λιχμαίνοντε πάγχρυσον γένυν 1428 λέγε] Dobree, λέγει LP

τίν' ἀνὰ χέρα δόμους ἔβα Λοξίου;
ΙΩΝ. θεῖον τόδ'· ἀλλὰ τἀπίλοιπα τῆς τύχης
εὐδαιμονοῖμεν, ὡς τὰ πρόσθε δυστυχῆ.
ΚΡ. τέκνον, οὐκ ἀδάκρυτος ἐκλοχεύῃ,
γόοις δὲ ματρὸς ἐκ χερῶν ὁρίζῃ·
νῦν δὲ γενειάσιν παρὰ σέθεν πνέω
μακαριωτάτας τυχοῦσ' ἡδονᾶς.
ΙΩΝ. τοὐμὸν λέγουσα καὶ τὸ σὸν κοινῶς λέγεις.
ΚΡ. ἄπαιδες οὐκέτ' ἐσμὲν οὐδ' ἄτεκνοι·
δῶμ' ἑστιοῦται, γᾶ δ' ἔχει τυράννους·
ἀνηβᾷ δ' Ἐρεχθεύς,
ὅ τε γηγενέτας δόμος οὐκέτι νύκτα
δέρκεται, ἀελίου δ' ἀναβλέπει λαμπάσι.
ΙΩΝ. μῆτερ, παρών μοι καὶ πατὴρ μετασχέτω
τῆς ἡδονῆς τῆσδ' ἧς ἔδωχ' ὑμῖν ἐγώ.
ΚΡ. ὦ τέκνον, τί φῄς; οἷον οἷον ἀνελέγχομαι.
ΙΩΝ. πῶς εἶπας; ΚΡ. ἄλλοθεν γέγονας, ἄλλοθεν.
ΙΩΝ. ὤμοι· νόθον με παρθένευμ' ἔτικτε σόν;
ΚΡ. οὐχ ὑπὸ λαμπάδων οὐδὲ χορευμάτων
ὑμέναιος ἐμός,
τέκνον, ἔτικτε σὸν κάρα.
ΙΩΝ. αἰαῖ· πέφυκα δυσγενής, μῆτερ, πόθεν;
ΚΡ. ἴστω Γοργοφόνα, ΙΩΝ. τί τοῦτ' ἔλεξας;
ΚΡ. ἃ σκοπέλοις ἐπ' ἐμοῖς
τὸν ἐλαιοφυῆ πάγον θάσσει.
ΙΩΝ. λέγεις λέγεις μοι δόλια κοὐ σαφῆ τάδε.

---

1455 χέρα] Hermann, χεῖρα *LP* | δόμους *LP*, sed ους in ras. scr. *l*. Fort. χεῖρα δόμον 1457 πρόσθ' ἐδυστύχει Bothe 1458 οὐκ ἀδάκρυτος ἐκλοχεύῃ, τέκνον Paley 1460 γενειάσι *LP* 1461 ἀδονᾶς Matthiae
1464 δῶμ'] Hermann, δῶμα δ' *LP* | ἑστιοῦται *LP*, sed ται in ras. scr. *l* | γᾶ δ'] Reiske, τάδ' superscr. δε *L*, τάδε δ' *P* 1466 δόμος] fort. λόχος | νύκτα] Markland, νύκτας *LP* 1467 ἀελίου] Hermann, ἁλίου *LP* 1469 ὑμῖν ἐγώ] ἡμῖν θεός Nauck 1470 sqq. ΞΟΥ ὦ (ἰὼ *p*) τέκνον, τί φῄς; (ον τί φῄς in ras. scr. *l*) ΙΩΝ οἷον . . ΞΟΥ (superscr. κρ̄ *l*) πῶς . . ΙΩΝ ἰώ μοι (ὤμοι *l*) . . ΞΟΥ (superscr. κρ̄ *l*) οὐχ . . ΙΩΝ αἶ αἴ, correxit Tyrwhitt 1470 ὦ τέκνον τέκνον, τί φῄς; Hermann, fort. οἷ' ἀνελέγχομαι praeferendum 1471 γέγονας *LP*, γέγονας γὰρ *l*, σὺ γέγονας Dindorf, fort. πῶς φῄς; praeferendum 1474 λαμπάδων *LP*, sed άδων in ras. scr. *l* 1477 ποθέν *P* 1480 ἐλαιοφυᾶ Dindorf 1481 alterum λέγεις supplevit Bothe | δόλια] σκόλια Herwerden

*ΚΡ.* παρ' ἀηδόνιον πέτραν Φοίβῳ
*ΙΩΝ.* τί Φοῖβον αὐδᾷς;
*ΚΡ.* κρυπτόμενον λέχος ηὐνάσθην.
*ΙΩΝ.* λέγ'· ὡς ἐρεῖς τι κεδνὸν εὐτυχές τέ μοι.
*ΚΡ.* δεκάτῳ δέ σε μηνὸς ἐν
κύκλῳ κρύφιον ὠδῖν' ἔτεκον Φοίβῳ.
*ΙΩΝ.* ὦ φίλτατ' εἰποῦσ', εἰ λέγεις ἐτήτυμα.
*ΚΡ.* παρθένια δ' ἐμᾶς ματέρος
σπάργαν' ἀμφίβολά σοι τάδ' ἐνῆψα κερ-
κίδος ἐμᾶς πλάνους.
γάλακτι δ' οὐκ ἐπέσχον, οὐδὲ μαστῷ
τροφεῖα ματρὸς οὐδὲ λουτρὰ χειροῖν,
ἀνὰ δ' ἄντρον ἔρημον οἰωνῶν
γαμφηλαῖς φόνευμα θοίναμά τ' εἰς
Ἅιδαν ἐκβάλλῃ.
*ΙΩΝ.* ὦ δεινὰ τλᾶσα μῆτερ.
*ΚΡ.* ἐν φόβῳ καταδεθεῖσα σὰν
ψυχὰν ἀπέβαλον, τέκνον·
ἔκτεινά σ' ἄκουσ'.
*ΙΩΝ.* ἐξ ἐμοῦ τ' οὐχ ὅσι' ἔθνῃσκες.
*ΚΡ.* ἰώ· δειναὶ μὲν αἱ τότε τύχαι,
δεινὰ δὲ καὶ τάδ'· ἑλισσόμεσθ' ἐκεῖθεν
ἐνθάδε δυστυχίαισιν
εὐτυχίαις τε πάλιν,
μεθίσταται δὲ πνεύματα.
μενέτω· τὰ πάροιθεν ἅλις κακά· νῦν δ'
ἐγένετό τις οὖρος ἐκ κακῶν, ὦ παῖ.
*ΧΟ.* μηδεὶς δοκείτω μηδὲν ἀνθρώποις ποτὲ

---

1484 κρυπτὸν μὲν Ge. Schmid 1485 εὐτυχές] fort. εὐκλεές 1489 ματέρος] fort. κερκίδος, deletis verbis κερκίδος . . πλάνους 1491 1490 σπάργαν'] fort. ὄργαν'. Cfr. Phoen. 115 | τάδε *LP* 1491 ἐμὰς *LP* | πλάνους] πόνους Wakefield 1492 sq. τάλαινα δ' οὐκ ἐπέσχον οὔτε . . οὔτε Herwerden 1493 χειροῖν] Heath, χεροῖν *LP* 1496 ἀΐδαν *LP* 1498 ἐν φόβῳ] ⏑ – – φόβῳ Dindorf, fort. τοῦ πατρὸς φόβῳ 1499 ἀπέβαλον ante ψυχὰν addit Hermann 1500 ἄκουσα *LP* 1501 ἔθνησκες *LP*, sed ε et ες in ras. scr. *l* 1502 ἰὼ duplicat Hermann | αἱ τότε] Matthiae, τότε *LP* 1503 δεινὰ] Barnes, δειλία *LP* | τάδε *LP*. Ante 1506 Jonis, ante 1508 Creusae notam add. *P* 1510 ἀνθρώποις] Dobree, ἀνθρώπων *LP*, ἀνθρώπῳ Badham

ἄελπτον εἶναι πρὸς τὰ τυγχάνοντα νῦν.
*ΙΩΝ.* ὦ μεταβαλοῦσα μυρίους ἤδη βροτῶν
καὶ δυστυχῆσαι καὖθις αὖ πρᾶξαι καλῶς
τύχη, παρ' οἵαν ἤλθομεν στάθμην βίου
μητέρα φονεῦσαι καὶ παθεῖν ἀνάξια.
φεῦ·
ἆρ' ἐν φαενναῖς ἡλίου περιπτυχαῖς
ἔνεστι πάντα τάδε καθ' ἡμέραν μαθεῖν;
φίλον μὲν οὖν σ' εὕρημα, μῆτερ, ηὕρομεν,
καὶ τὸ γένος οὐδὲν μεμπτόν ἐσθ' ἡμῖν τόδε·
τὰ δ' ἄλλα πρὸς σὲ βούλομαι μόνην φράσαι.
δεῦρ' ἔλθ'· ἐς οὖς σοι τοὺς λόγους εἰπεῖν θέλω
. καὶ περικαλύψαι τοῖσι πράγμασι σκότον.
ὅρα σύ, μῆτερ, μὴ σφαλεῖσ' ἃ παρθένοις
ἐγγίγνεται νοσήματ' ἐς κρυπτοὺς γάμους,
ἔπειτα τῷ θεῷ προστιθεῖς τὴν αἰτίαν,
καὶ τοὐμὸν αἰσχρὸν ἀποφυγεῖν πειρωμένη,
Φοίβῳ τεκεῖν με φῄς, τεκοῦσ' οὐκ ἐκ θεοῦ.
*ΚΡ.* μὰ τὴν παρασπίζουσαν ἅρμασίν ποτε
Νίκην Ἀθάναν Ζηνὶ γηγενεῖς ἔπι,
οὐκ ἔστιν οὔτις σοι πατὴρ θνητῶν, τέκνον,
ἀλλ' ὅσπερ ἐξέθρεψε Λοξίας ἄναξ.
*ΙΩΝ.* πῶς οὖν τὸν αὑτοῦ παῖδ' ἔδωκ' ἄλλῳ πατρὶ
Ξούθου τε φησὶ παῖδά μ' ἐκπεφυκέναι;
*ΚΡ.* πεφυκέναι μὲν οὐχί, δωρεῖται δέ σε
αὑτοῦ γεγῶτα· καὶ γὰρ ἂν φίλος φίλῳ
δοίη τὸν αὑτοῦ παῖδα δεσπότην δόμων.
*ΙΩΝ.* εἰ θεὸς ἀληθὴς ἢ μάτην μαντεύεται,

---

1513 καὖτις *LP* | αὖ] Pierson, εὖ *LP* 1515 suspectus 1516 ἄρ' *LP* | ἡλίου] αἰθέρος Badham 1518 εὕρομεν *LP* 1519 ἐσθ'] Hartung, ὡς *LP* 1521 σοι schol. Phoen. 911, γὰρ *LP*. Schol. in Aristoph. Av. 1647 habet δεῦρ' ἐλθέ· σὺν σοὶ τἄλλα βούλομαι φράσαι, unde versu 1520 deleto hic ἐς οὖς σοι τἄλλα βούλομαι φράσαι scribit Cobet 1522 τοῖσι] ed. Brubachiana, τοῖς *LP* 1523 σφαλεῖσ' ἃ παρθένοις] Musgrave, σφαλεῖσα παρθένος *LP* 1524 ἐγγίνεται *LP* 1525 προστιθεὶς *L*, προστιθεὶς *P*, προστίθης Elmsley 1528 ἅρμασι *L*, ἅρμασιν *lP* 1529 Ἀθάναν] Matthiae, ἀθηνᾶν *LP* 1530 οὔτις] Hartung, ὅστις *LP* 1532 αὑτοῦ *P* 1533 τὲ *L*, δὲ *P* 1535 αὑτοῦ *LP* 1536 αὑτοῦ *P* 1537 εἰ] Reiske, ὁ *LP*

*ἔμελλε δ' αὐτὰ διασιωπήσας ἄναξ*
*ἐν ταῖς Ἀθήναις γνωριεῖν ταύτην τε σήν,*
*σέ θ' ὡς πέφυκας τῆσδε καὶ Φοίβου πατρός.*
*ἀλλ' ὡς περαίνω πρᾶγμα καὶ χρησμοὺς θεῷ,*
*ἐφ' οἷσιν ἔζευξ' ἅρματ', εἰσακούσατον.*
*λαβοῦσα τόνδε παῖδα Κεκροπίαν χθόνα*
*χώρει, Κρέουσα, κἀς θρόνους τυραννικοὺς*
*ἵδρυσον· ἐκ γὰρ τῶν Ἐρεχθέως γεγὼς*
*δίκαιος ἄρχειν τῆς ἐμῆς ὅδε χθονός.*
*ἔσται δ' ἀν' Ἑλλάδ' εὐκλεής· οἱ τοῦδε γὰρ*
*παῖδες γενόμενοι τέσσαρες ῥίζης μιᾶς*
*ἐπώνυμοι γῆς κἀπιφυλίου χθονὸς*
*λαῶν ἔσονται, σκόπελον οἳ ναίουσ' ἐμόν.*
*Γελέων μὲν ἔσται πρῶτος· εἶτα δεύτερος*

— — — — — — — — —

*Ὅπλητες Ἀργαδῆς τ', ἐμῆς ἀπ' αἰγίδος*
*ἔμφυλον ἕξουσ' Αἰγικορῆς. οἱ τῶνδε δ' αὖ*
*παῖδες γενόμενοι σὺν χρόνῳ πεπρωμένῳ*
*Κυκλάδας ἐποικήσουσι νησαίας πόλεις*
*χέρσους τε παράλους, ὃ σθένος τἠμῇ χθονὶ*
*δίδωσιν· ἀντίπορθμα δ' ἠπείροιν δυοῖν*
*πεδία κατοικήσουσιν, Ἀσιάδος τε γῆς*
*Εὐρωπίας τε· τοῦδε δ' ὀνόματος χάριν*
*Ἴωνες ὀνομασθέντες ἕξουσιν κλέος.*
*Ξούθῳ δὲ καὶ σοὶ γίγνεται κοινὸν γένος,*
*Δῶρος μέν, ἔνθεν Δωρὶς ὑμνηθήσεται*
*πόλις, κατ' αἶαν Πελοπίαν δ' ὁ δεύτερος*
*Ἀχαιός, ὃς γῆς παραλίας Ῥίου πέλας*
*τύραννος ἔσται, κἀπισημανθήσεται*

---

1566 *αὐτοῦ* F. Gu. Schmidt  1569 *χρησμοὺς*] *θεσμοὺς* F. Gu. Schmidt  1570 *οἷσιν ἔζευξ'*] Scaliger, *οἷς ἐζεύξαθ'* *LP*  1572 *κεὶς* *LP*  1574 *τῆς*] Hartung, *τῆσδ'* superscr. *γ'* *L*, *τῆσδ'* *P*  1575 *δ'*] L. Dindorf, *τ'* *LP*  1577 *ἐπώνυμοι τῆς τετραφυλίου* Hartung  1578 *λαῶν* *L*, *λαὸν* *P*, *λαῶν τ'* Herwerden | *νέουσ'* *P*  1579 *Γελέων*] Canter, *τελέων* *LP*. Lacunam significavit Badham  1580 *Ὅπλητες Ἀργαδῆς τ'*] Canter, *ὃ πάντες ἀργαλῆς* (scr. *ο* super *α* *l*) *τ'* *LP* | *ἐμῆς τ'* Canter, *ἐμῆς δ'* Kirchhoff, fort. *ὄνομα δ'*  1583 *κυκλάδος* *P*  1586 *Ἀσίδος* Herwerden  1588 *ἕξουσι* *LP*  1589 *γίνεται* *P*  1591 *δ'*] Barnes, *γ'* *LP*

*κείνου κεκλῆσθαι λαὸς ὄνομ' ἐπώνυμον.*
*καλῶς δ' Ἀπόλλων πάντ' ἔπραξε· πρῶτα μὲν*
*ἄνοσον λοχεύει σ', ὥστε μὴ γνῶναι φίλους·*
*ἐπεὶ δ' ἔτικτες τόνδε παῖδα κἀπέθου*
*ἐν σπαργάνοισιν, ἁρπάσαντ' ἐς ἀγκάλας*
*Ἑρμῆν κελεύει δεῦρο πορθμεῦσαι βρέφος,*
*ἔθρεψέ τ' οὐδ' εἴασεν ἐκπνεῦσαι βίον.*
*νῦν οὖν σιώπα, παῖς ὅδ' ὡς πέφυκε σός,*
*ἵν' ἡ δόκησις Ξοῦθον ἡδέως ἔχῃ,*
*σύ τ' αὖ τὰ σαυτῆς ἀγάθ' ἔχουσ' ἤδῃ, γύναι.*
*καὶ χαίρετ'· ἐκ γὰρ τοῦδ' ἀναψυχὴν πόνων*
*εὐδαίμον' ὑμῖν πότμον ἐξαγγέλλομαι.*
ΙΩΝ. *ὦ Διὸς Παλλὰς μεγίστου θύγατερ, οὐκ ἀπιστίᾳ*
*σοὺς λόγους ἐδεξάμεσθα· πείθομαι δ' εἶναι πατρὸς*
*Λοξίου καὶ τῆσδε· καὶ πρὶν τοῦτο δ' οὐκ ἄπιστον ἦν.*
ΚΡ. *τἀμὰ νῦν ἄκουσον· αἰνῶ Φοῖβον οὐκ αἰνοῦσα πρίν,*
*οὕνεχ' οὗ ποτ' ἠμέλησε παιδὸς ἀποδίδωσί μοι.*
*αἵδε δ' εὐωποὶ πύλαι μοι καὶ θεοῦ χρηστήρια,*
*δυσμενῆ πάροιθεν ὄντα. νῦν δὲ καὶ ῥόπτρων χέρας*
*ἡδέως ἐκκριμνάμεσθα καὶ προσεννέπω πύλας.*
ΑΘ. *ᾔνεσ' οὕνεκ' εὐλογεῖς θεὸν μεταβαλοῦσ' ἀεί που*
*χρόνια μὲν τὰ τῶν θεῶν πως, ἐς τέλος δ' οὐκ ἀσθενῆ.*
ΚΡ. *ὦ τέκνον, στείχωμεν οἴκους.* ΑΘ. *στείχεθ', ἕψομαι δ' ἐγώ.*
ΙΩΝ. *ἀξία γ' ἡμῶν ὁδουρός.* ΚΡ. *καὶ φιλοῦσά γε πτόλιν.*

---

109 ἀπώλλυνται *LG*, ἀπώλοντο *g* 111 γὰρ] fort. δὲ 112 καμπίμους] Nauck, καρπίμους *LG* 113 δ' om. *G* 114 ἔτι *G* 115 σπαρτιάτην *LG*, σπαρτιᾶτιν *g* 118 σέ γ' *l*, γε σ' *LG* 121 sq. delevit W. Ribbeck 121 'δοκεῖτε Badham 122 ὡς νῦν σ' ὁρῶ] Dobree, καὶ νοῦς ὁρᾷ *LG* | εἶδον ὡς σὲ νῦν ὁρῶ Cobet, εἶδον οἷς καὶ νῦν σ' ὁρῶ Hartung, εἶδον εἰ καὶ νῦν σ' ὁρῶ Clark 124 γ' om. *LG*, addidit Musgrave 125 fort. αἰαῖ· κακόν γ' οἰωνὸν εἶπας οἷς λέγεις. Cfr. Iph. A. 1347 127 αὐτὸς *LG* 128 ὥρισεν *l* 129 ἐνό τοισι *G*, ἐπὶ νώτοισι Herwerden 130 περῶντας] Reiske, περῶσι *LG* 131 Μενέλεων] Barnes, μενέλαον *LG* | κἀκ τοῦ Μενέλεων Radermacher | εἶδ'] οἶδ' Aldina 133 ἐστὶ *LG*, ἐστὶν *l*

ΤΕΥ. Λήδαν ἔλεξας; οἴχεται θανοῦσα δή.
ΕΛ. οὔ πού νιν Ἑλένης αἰσχρὸν ὤλεσεν κλέος;
ΤΕΥ. φασίν, βρόχῳ γ' ἅψασαν εὐγενῆ δέρην.
ΕΛ. οἱ Τυνδάρειοι δ' εἰσὶν ἢ οὐκ εἰσὶν κόροι;
ΤΕΥ. τεθνᾶσι κοὐ τεθνᾶσι· δύο δ' ἐστὸν λόγω.
ΕΛ. πότερος ὁ κρείσσων; ὢ τάλαιν' ἐγὼ κακῶν.
ΤΕΥ. ἄστροις σφ' ὁμοιωθέντε φάσ' εἶναι θεώ.
ΕΛ. καλῶς ἔλεξας τοῦτο· θάτερον δὲ τί;
ΤΕΥ. σφαγαῖς ἀδελφῆς εἵνεκ' ἐκπνεῦσαι βίον.
ἅλις δὲ μύθων· οὐ διπλᾶ χρῄζω στένειν.
ὧν δ' εἵνεκ' ἦλθον τούσδε βασιλικοὺς δόμους,
τὴν θεσπιῳδὸν Θεονόην χρῄζων ἰδεῖν,
σὺ προξένησον, ὡς τύχω μαντευμάτων
ὅπῃ νεὼς στείλαιμ' ἂν οὔριον πτερὸν
ἐς γῆν ἐναλίαν Κύπρον, οὗ μ' ἐθέσπισεν
οἰκεῖν Ἀπόλλων, ὄνομα νησιωτικὸν
Σαλαμῖνα θέμενον τῆς ἐκεῖ χάριν πάτρας.
ΕΛ. πλοῦς, ὦ ξέν', αὐτὸς σημανεῖ· σὺ δ' ἐκλιπὼν
γῆν τήνδε φεῦγε πρίν σε παῖδα Πρωτέως
ἰδεῖν, ὃς ἄρχει τῆσδε γῆς· ἄπεστι δὲ
κυσὶν πεποιθὼς ἐν φοναῖς θηροκτόνοις·
κτείνει γὰρ Ἕλλην' ὅντιν' ἂν λάβῃ ξένον·
ὅτου δ' ἕκατι, μήτε σὺ ζήτει μαθεῖν
ἐγώ τε σιγῶ· τί γὰρ ἂν ὠφελοῖμί σε;
ΤΕΥ. καλῶς ἔλεξας, ὦ γύναι· θεοὶ δέ σοι
ἐσθλῶν ἀμοιβὰς ἀντιδωρησαίατο.
Ἑλένῃ δ' ὅμοιον σῶμ' ἔχουσ' οὐ τὰς φρένας
ἔχεις ὁμοίας, ἀλλὰ διαφόρους πολύ.
κακῶς δ' ὄλοιτο μηδ' ἐπ' Εὐρώτα ῥοὰς
ἔλθοι· σὺ δ' εἴης εὐτυχὴς ἀεί, γύναι.

---

135 οὔ που] Seidler, οὔπω ex οὔ που ut vid. factum *L*, ποῦ *G*, ἤ που superscr. *l* | ὤλεσε *LG* 136 φασί *LG* 137 εἰσὶ κόροι *LG*, εἰσὶν κόροι *l* 138 καὶ οὐ *LG*, κοὐ *l* | λόγω] Schaefer, λόγοι *LG* 142 σφαγαῖς corr. in φασὶν *G* | οὕνεκ' *LG* 144 οὕνεκ' *LG* | βασιλικοὺς] Wunder, βασιλείους *LG* 146 σὺ προξένησον] Jacobs, συμπροξένησον *LG* | τύχω ex ἴδω ut videtur factum in *L* 148 fort. ἐνάλιον 150 ἐκεῖ] ἐμῆς F. Gu. Schmidt 154 κυσὶ *L*, κυσὶν *lG* 157 ἐγὼ δὲ *G* 158 lineola praefixa in *L* 160 ἔχουσ'] fort. ἔχεις deleto versu proximo

ΕΛ. ὦ μεγάλων ἀχέων καταβαλλομένα μέγαν οἶκτον
ποῖον ἁμιλλαθῶ γόον; ἢ τίνα μοῦσαν ἐπέλθω
δάκρυσιν ἢ θρήνοις ἢ πένθεσιν; ἒ ἔ.

πτεροφόροι νεάνιδες, stroph.
παρθένοι Χθονὸς κόραι
Σειρῆνες, εἴθ' ἐμοῖς γόοις
μόλοιτ' ἔχουσαι Λίβυν
λωτὸν ἢ σύριγγας αἰλίνοις κακοῖς
τοῖς ἐμοῖσι σύνοχα δάκρυα,
πάθεσι πάθεα, μέλεσι μέλεα·
μουσεῖά τε θρηνήμασι ξυνῳδὰ
πέμψειε Φερσέφασσα
φόνια φόνι', ἀχάριτας ἵν' ἐπὶ δάκρυσι
παρ' ἐμέθεν ὑπὸ μέλαθρα νύχια παιᾶνας
νέκυσι μελομένους λάβῃ.

ΧΟΡΟΣ.

κυανοειδὲς ἀμφ' ὕδωρ antistr.
ἔτυχον ἕλικά τ' ἀνὰ χλόαν
φοίνικας ἁλίου πέπλους
αὐγαῖσιν ἐν χρυσέαις
θάλπουσ' ἀμφὶ δόνακος ἔρνεσιν·
ἔνθεν οἰκτρὸν ὅμαδον ἔκλυον,
ἄλυρον ἔλεγον, ὅ τι ποτ' ἔλακεν

---

164 lineolae praescripsit ἑλένη *l* | fort. τῷ μεγάλων ἀχέων παραβαλλομένα. Cfr. Iph. T. 1094 | οἶκον *LG*, οἶκτον *l*, quae manus etiam γρ. οἶκτον superscr., sed ipsa delevit 165 ποῖον] fort. κοινὸν | γόνον mut. in γόον *G* 170 τὸν ante λίβυν inseruit *l* 171 σύριγγας ἢ φόρμιγγας αἴ αἴνοις κακοῖς *LG*, in marg. γρ. αἰλίνοις κακοῖς *L*, ἢ φόρμιγγας et notam margin. delevit et in textu αἰλίνοις scripsit *l*, fort. σύριγγ', ἰαλέμοις (σύριγγ' iam Heath) 174 τε om. *LG*, add. *l* 175 περσέφασσα *g* 176 φόνια φόνι' ἀχάριτας] Lobeck, φονία χάριτας *LG*, φόνια φόνια (deleto χάριτας) *l* 177 ἐμέθεν] Seidler, ἐμέ θ' *LG* | παιᾶνα *LG*, παιᾶνας *l* 178 νέκυσι μελομένους Lobeck, νέκυσιν ὀλομένοις *LG* 181 ἁλίω *LG*, ἁλίου *l* 182 χρυσέαισιν αὐγαῖς *LG*, αὐγαῖσιν ἐν ταῖς χρυσέαις *l*, ταῖς delevit Hermann 183 ἀμφὶ *LG*, ἀμφί τ' ἐν *l*. Fort. ἀμφιθάλπων. Cfr. 1630, Hipp. 1105, 1107 | ἔρνεσιν *LG* 184 οἰκτρὸν] Badham, οἰκτρὸν ἀνεβόασεν *LG* 185 ἔλεγον] θρῆνον *LG*, superscr. γρ. ἔλεγον et θρῆνον delevit *l* | ποτ' *LG*, πόδ' *l*

*Ζεὺς πρέπων δι' αἰθέρος*
*χιονόχρως κύκνου πτερῷ·*
*τί γὰρ ἄπεστί σοι κακῶν;*
*τίνα δὲ βίοτον οὐκ ἔτλας;*
*μάτηρ μὲν οἴχεται,*
*δίδυμά τε Διὸς*
*οὐκ εὐδαιμονεῖ τέκεα φίλα,*
*χθόνα δὲ πάτριον οὐχ ὁρᾷς,*
*διὰ δὲ πόλεας ἔρχεται*
*βάξις, ἅ σε βαρβάροισι*
*λέχεσι, πότνια, παραδίδωσιν,*
*ὁ δὲ σὸς ἐν ἁλὶ κύμασί τε λέλοιπε βίοτον,*
*οὐδέ ποτ' ἔτι πάτρια μέλαθρα*
*καὶ τὰν Χαλκίοικον ὀλβιεῖς.*

*ΕΛ.* *φεῦ φεῦ, τίς ἢ Φρυγῶν*
*ἢ τίς Ἑλλανίας ἀπὸ χθονὸς*
*ἔτεμε τὰν δακρυόεσσαν Ἰλίῳ*
*πεύκαν; ἔνθεν ὀλόμενον*
*σκάφος συναρμόσας*
*ὁ Πριαμίδας ἔπλευσε βαρβάρῳ πλάτᾳ*
*τὰν ἐμὰν ἐφ' ἑστίαν,*
*ἐπὶ τὸ δυστυχὲς*
*κάλλος, ὡς ἕλοι γάμον ἐμόν,*
*ἅ τε δόλιος ἁ πολυκτόνος Κύπρις*
*Δαναΐδαις ἄγουσα θάνατον [Πριαμίδαις].*
*ὦ τάλαινα συμφορᾶς.*

---

215 sq. inverso ordine habent *LG*, sed literis rectum ordinem significavit *l*   216 fort. *χιονόχρῳ*   218 *βίον L*, *βίοτον lG*, fort. *πότμον* | *ἔτλης LG*, *ἔτλας l*   221 *εὐδαιμονεῖ*] *ἐν γᾷ μένει* Herwerden | *τέκνα LG*, *τέκεα l*   223 *πολέας L* (*ε* ex *ι* facto) et *G*   225 *πότνια, παραδίδωσι λέχεσι* Nauck   226 *σὸς ἐν* (*ἐ G*, *ἐν g*)] *πόσις*·Hartung | *λέλοιπεν l*
228 *ὀλβιοῖς LG*, *ὀλβιεῖς g*   229 personae notam om. *L*, in marg. scr. *πρόσωπον χρὴ εἶναι ἐνταῦθα l* | *ἢ*] Dindorf, *ἦν LG*   230 *ἑλλανίας LG*, *ἑλλανίων l*   231 *δακρυόεσαν l*   234 *πλευσε G*   236 sq. delet Dindorf   236 *δυστυχέστατον LG*, *δυστυχὲς l*. Verba *ἐπὶ τὸ δυστυχὲς κάλλος* ex v. 27 illata videntur   237 *γάμων ἐμῶν LG*, *γάμον ἐμὸν l*, fort. *γάμους ἐμούς*   238 *ἅ τε*] Matthiae, *ἁ δὲ LG* | *ἁ πολύκτονος L*, *ἀπολύκτονος G*   239 *δαναΐδες G* | *πριαμίδαις LG*, *πριαμίδαις τε l*, delevit Nauck   240 lineola praefixa in *L*

ἁ δὲ χρυσέοις θρόνοις
Διὸς ὑπαγκάλισμα σεμνὸν Ἥρα
τὸν ὠκύπουν ἔπεμψε Μαιάδος γόνον,
ὅς με χλοερὰ δρεπομέναν ἔσω πέπλων
ῥόδεα πέταλα, χαλκίοικον ὡς Ἀθάναν
μόλοιμ', ἀναρπάσας δι' αἰθέρος
τάνδε γαῖαν εἰς ἄνολβον
ἔριν ἔριν τάλαιναν ἔθετο
Πριαμίδαισιν Ἑλλάδος.
τὸ δ' ἐμὸν ὄνομα παρὰ Σιμουντίοις ῥοαῖσι
μαψίδιον ἔχει φάτιν.

ΧΟ. ἔχεις μὲν ἀλγείν', οἶδα· σύμφορον δέ τοι
ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν.
ΕΛ. φίλαι γυναῖκες, τίνι πότμῳ συνεζύγην;
ἆρ' ἡ τεκοῦσά μ' ἔτεκεν ἀνθρώποις τέρας;
[γυνὴ γὰρ οὔθ' Ἑλληνὶς οὔτε βάρβαρος
τεῦχος νεοσσῶν λευκὸν ἐκλοχεύεται,
ἐν ᾧ με Λήδαν φασὶν ἐκ Διὸς τεκεῖν.]
τέρας γὰρ ὁ βίος καὶ τὰ πράγματ' ἐστί μου,
τὰ μὲν δι' Ἥραν, τὰ δὲ τὸ κάλλος αἴτιον.
εἴθ' ἐξαλειφθεῖσ' ὡς ἄγαλμ' αὖθις πάλιν
αἴσχιον εἶδος ἀντὶ τοῦ καλοῦ 'λαβον,
καὶ τὰς τύχας μὲν τὰς κακὰς ἃς νῦν ἔχω
Ἕλληνες ἐπελάθοντο, τὰς δὲ μὴ κακὰς
ἔσῳζον ὥσπερ τὰς κακὰς σῴζουσί μου.
ὅστις μὲν οὖν ἐς μίαν ἀποβλέπων τύχην
πρὸς θεῶν κακοῦται, βαρὺ μέν, οἰστέον δ' ὅμως·
ἡμεῖς δὲ πολλαῖς συμφοραῖς ἐγκείμεθα.
πρῶτον μὲν οὐκ οὖσ' ἄδικος, εἰμὶ δυσκλεής·
καὶ τοῦτο μεῖζον τῆς ἀληθείας κακόν,
ὅστις τὰ μὴ προσόντα κέκτηται κακά.

---

241 ἁ] Dindorf, εἰ *L*, ἡ *l*, εἰ *G* 243 μεάδος *G* 245 sq. πέτλα *LG*, πέταλα *lg*. Verba χαλκίοικον . . μόλοιμ' delet Dindorf 252 σύμφορον *LG*, συμφέρον *l* | τοι] L. Dindorf, σοι *LG* 257—59 delevit Badham 260 κάρτα *LG*, καὶ τὰ *lg* | μου *LG*, μοι *l* 261—66 delet Goguel 261 κάλος *G*, κάλλος *g* 263 'λαβον] Porson, λαβεῖν *LG*, λάβω et in marg. γρ. λάβω *l* 264 τὰς τύχας] κληδόνας F. Gu. Schmidt 264 et 265 κακὰς in apogr. Paris., καλὰς *LG*

ἔπειτα πατρίδος θεοί μ' ἀφιδρύσαντο γῆς
ἐς βάρβαρ' ἤθη, καὶ φίλων τητωμένη
δούλη καθέστηκ' οὖσ' ἐλευθέρων ἄπο·
τὰ βαρβάρων γὰρ δοῦλα πάντα πλὴν ἑνός.
ἄγκυρα δ' ἥ μου τὰς τύχας ὤχει μόνη,
πόσιν ποθ' ἥξειν καί μ' ἀπαλλάξειν κακῶν,
εἴ τοι τέθνηκεν οὗτος, οὐκέτ' ἔστι δή.
μήτηρ δ' ὄλωλε, καὶ φονεὺς αὐτῆς ἐγώ,
ἀδίκως μέν, ἀλλὰ τἄδικον τοῦτ' ἔστ' ἐμόν·
ὃ δ' ἀγλάισμα δωμάτων ἐμοῦ τ' ἔφυ,
θυγάτηρ ἄνανδρος πολιὰ παρθενεύεται·
τὼ τοῦ πατρὸς δὲ λεγομένω Διοσκόρω
οὐκ ἐστόν. ἀλλὰ πάντ' ἔχουσα δυστυχῆ
τοῖς πράγμασιν τέθνηκα, τοῖς δ' ἔργοισιν οὔ.
τὸ δ' ἔσχατον τοῦτ', εἰ μόλοιμεν ἐς πάτραν,
κλῄθροις ἂν εἰργοίμεσθα τὴν ὑπ' Ἰλίῳ
δοκοῦσιν Ἑλένην Μενέλεῳ θανεῖν μέτα.
εἰ μὲν γὰρ ἔζη πόσις, ἀνεγνώσθημεν ἂν
ἐς ξύμβολ' ἐλθόνθ' ἃ φανέρ' ἂν μόνοις ἂν ἦν.
νῦν δ' οὔτε τοῦτ' ἔστ' οὔτε μὴ σωθῇ ποτε.
τί δῆτ' ἔτι ζῶ; τίν' ὑπολείπομαι τύχην;
γάμους ἑλομένη τῶν κακῶν ὑπαλλαγάς,
μετ' ἀνδρὸς οἰκεῖν βαρβάρου πρὸς πλουσίαν
τράπεζαν ἵζουσ'; ἀλλ' ὅταν πόσις πικρὸς
ξυνῇ γυναικί, καὶ τὸ πλούσιον πικρόν.
[θανεῖν κράτιστον· πῶς θάνοιμ' ἂν οὖν καλῶς;
ἀσχήμονες μὲν ἀγχόναι μετάρσιοι,

---

276 πλὴν *L*, πρὶν *G* 277 δ' ἥ] Scaliger, δὴ *LG* | ὤχει] Musgrave, ὀχεῖ *LG* 279 εἴ τοι τέθνηκεν οὗτος] F. Gu. Schmidt, οὗτος τέθνηκεν, οὗτος *LG* 281 ἔστ' om. *G*. Verba τοῦτ' ἔστ' ἐμόν suspecta 282 ἐμόν Cobet 283 πολιὰ *LG* 284 πατρὸς] W. Ribbeck, Διὸς *LG* | τὼ τοῦ Διὸς . . δισσὼ κόρω F. Gu. Schmidt 285 ἀλλὰ] ἅμα δὲ F. Gu. Schmidt, fort. ἄρα 286 πράγμασι *LG* 287—92 delet Goguel 287 τοῦτο εἰ *L*, τοῦτ' εἰ *l* | ἐς hic *G* 288 κλῄθροις] Elmsley, κλείθροις *LG* 289 δοκοῦσιν] scripsi, δοκοῦντες *LG* | θανεῖν] F. Gu. Schmidt, μ' ἐλθεῖν *LG* 291 ἐλθόνθ' ἃ φανέρ' ἂν] Porson, ἐλθόντες ἃ φανερὰ *LG*. ἐλθόνθ' ἀμφανῆ Camper | μόνοις] μόνοιν Herwerden 292 σωθῶ Orelli 294 ὑπαλλαγάς *LG*, ἀπαλλαγάς *g* 297 πλούσιον] scripsi, σῶμ' ἐστὶ *LG* 298 πῶς θάνοιμ' ἂν οὖν] H. Stephanus, προθάνοιμ' ἂν οὐ *LG* 299 — 302 delevit Hartung, 298 — 302 W. *G*. Clark

ΕΛ. φίλαι, λόγους ἐδεξάμαν·
βᾶτε βᾶτε δ' ἐς δόμους,
ἀγῶνας ἐντὸς οἴκων
ὡς πύθησθε τοὺς ἐμούς.
ΧΟ. θέλουσαν οὐ μόλις καλεῖς.
ΕΛ. ἰὼ μέλεος ἁμέρα.
τίν' ἄρα τάλαινα τίνα δακρυό-
εντα λόγον ἀκούσομαι;
ΧΟ. μὴ πρόμαντις ἀλγέων
προλάμβαν', ὦ φίλα, γόους.
ΕΛ. τί μοι πόσις μέλεος ἔτλα;
πότερα δέρκεται φάος
τέθριππά θ' ἁλίου
κέλευθά τ' ἀστέρων,
ἢ 'ν νέκυσι κατὰ χθονὸς
τὰν νύχιον ἔχει τύχαν;
ΧΟ. ἐς τὸ φέρτερον τίθει
τὸ μέλλον, ὅ τι γενήσεται.
ΕΛ. σὲ γὰρ ἐκάλεσα, σὲ δὲ κατόμοσα,
τὸν ὑδρόεντι δόνακι χλωρὸν
Εὐρώταν, θανόντος εἰ βάξις
ἔτυμος ἀνδρὸς ἅδε μοι
ΧΟ. τί τάδ' ἀσύνετα;
ΕΛ. φόνιον αἰώρημα
διὰ δέρης ὀρέξομαι,
ἢ ξιφοκτόνον δαϊγμὸν
αἱμορύτου σφαγᾶς

---

330 ἐδεξάμαν G et literis αν a corr. scriptis L 332 οἴκων LG, δόμων superscr. l, delet Badham 332 sq. ἀγῶνας ὡς πύθησθ' ἐμούς (ceteris deletis) Dindorf 335, 340, 346, 348 lineolae praefixae in L personas praescripsit 346, 348 l 342 θ' ἁλίου] Badham, τ' ἀελίου LG | τέθριππά θ' ἅρμαθ' ἁλίου Dindorf 343 ἐς ante κέλευθα addidit l, om. LG 344 ἢ 'ν] Jacobs, ἢ LG | νέκυσιν G et ut vid. L νέκυσι l 345 νύχιον] scripsi, χθόνιον LG 348 σέ γ' ἀνεκάλεσα Badham | κατόμοσα] Elmsley, κατώμοσα LG 349 ὑδρόεντι] Reiske, ὑδρόεντα LG | χλωρὸν] H. Stephanus, χῶρον LG 352 sq. personarum notas om. LG, praescripsit 352 chori notam in apogr. Parisino corrector | φόνιον] fort. ἀγχόνιον 353 ἐρέξομαι G 354 δαϊγμὸν] scripsi (διωγμὸν Nauck, δάϊγμα F. Gu. Schmidt), δίωγμα LG 355 αἱμορύτου] Hartung (δι' αἱμορρύτου Reiske), λαιμορύτου LG | σφαγὰς G

αὐτοσίδαρον ἔσω πελάσω διὰ σαρκὸς ἅμιλλαν,
θῦμα τριζύγοις θεαῖσι
τῷ τε σήραγγας Ἰδαίας ἐνί-
ζοντι Πριαμίδᾳ ποτ' ἀμφὶ βουστάθμους.

ΧΟ. ἄλλοσ' ἀποτροπὰ κακῶν
γένοιτο, τὸ δὲ σὸν εὔστομον.

ΕΛ. ἰὼ Τροία τάλαινα,
δι' ἔργ' ἄνεργ' ὄλλυσαι μέλεά τ' ἔτλας·
τὰ δ' ἐμὰ δῶρα Κύπριδος ἔτεκε
πολὺ μὲν αἷμα, πολὺ δὲ δάκρυον, ἄχεά τ' ἄχεσι,
δάκρυα δάκρυσι, πάθεσι πάθεα,
ματέρες τε παῖδας ὤλεσαν,
ἀπὸ δὲ παρθένοι κόμας
ἔθεντο σύγγονοι νεκρῶν Σκαμάνδριον
ἀμφὶ Φρύγιον οἶδμα.
βοὰν βοὰν δ' Ἑλλὰς
κελάδησε κἀνοτότυξεν,
ἐπὶ δὲ κρατὶ χέρας ἔθηκεν,
ὄνυχι δ' ἁπαλόχροα γένυν
ἔδευσε φοινίαισι πλαγαῖς.
ὦ μάκαρ Ἀρκαδίᾳ ποτὲ παρθένε Καλλιστοῖ, Διὸς
ἃ λεχέων ἐπέβας τετραβάμοσι γυίοις,
ὡς πολὺ μοίρας τᾶσδ' ἔλαχες πλέον,
ἃ μορφᾷ θηρῶν λαχνογυίων
[ὄμματι λάβρῳ σχῆμα λεαίνης]
ἐξαλλάξασ' ἄχεα λύπης·
ἄν τέ ποτ' Ἄρτεμις ἐξεκορεύσατο

356 ἅμιλλαν] Musgrave, ἅμιλλα *LG* 358 sq. σήραγγας Ἰδαίας ἐνίζοντι] Badham, σέραγγ' ἀοιδαὶ σεβίζον *LG* 359 Πριαμίδᾳ] Matthiae, πριαμίδά *LG*, πριαμίδας *l* 361 εὔστομον] scripsi, εὐτυχές *LG* 362 ἰὼ ἰώ Dindorf 364 Κύπριδος] L. Dindorf, κύπρις *LG* 365 sq. δάκρυον] πένθος Herwerden, sed fort. δάκρυα δάκρυσιν recte delet Bothe 366 δάκρυσι, πάθεσι] scripsi, δάκρυσιν ἔλαβε *LG* 368 σκάμανδρον *l*. Σκαμάνδριον delet Bothe 371 κἀνωτότυξεν *g* | ἐκελάδησ' ἀνωτότυξεν Paley 374 φοινίαισι] Hermann, φονίαισι *LG* | φοινίοις ἀμυγμοῖς Herwerden 376 γόοις *LG*, γυίοις *l* 377 μοίρας τᾶσδ'] Dingelstad, μ͞ρος ἐμᾶς *LG* 378 λαχνογυίων] Reiske, λάχνα γυίων *LG* 379 delevit Dingelstad 380 ἄχθεα Hermann 381 ἐξεκορεύσατο] Verrall, ἐξεχορεύσατο *LG*

*χρυσοκέρατ' ἔλαφον Μέροπος Τιτανίδα κούραν*
*καλλοσύνας ἕνεκεν· τὸ δ' ἐμὸν δέμας*
*ὤλεσεν ὤλεσε Πέργαμα Δαρδανίας*
*ὀλομένους τ' Ἀχαιούς.*

ΜΕΝΕΛΕΩΣ.

*ὦ τὰς τεθρίππους Οἰνομάῳ Πῖσαν κάτα*
*Πέλοψ ἁμίλλας ἐξαμιλληθείς ποτε,*
*εἴθ' ὤφελες τόθ', ἡνίκ' ἔρανον εἰς θεοὺς*
*πεισθεὶς ἐποίεις, ἐν θεοῖς λιπεῖν βίον,*
*πρὶν τὸν ἐμὸν Ἀτρέα πατέρα γεννῆσαί ποτε,*
*ὃς ἐξέφυσεν Ἀερόπης λέκτρων ἄπο*
*Ἀγαμέμνον' ἐμέ τε Μενέλεων, κλεινὸν ζυγόν·*
*πλεῖστον γὰρ οἶμαι· καὶ τόδ' οὐ κόμπῳ λέγω·*
*στράτευμα κώπῃ διορίσαι Τροίαν ἔπι,*
*τύραννος οὐδὲν πρὸς βίαν στρατηλατῶν,*
*ἑκοῦσι δ' ἄρξας Ἑλλάδος νεανίαις.*
*καὶ τοὺς μὲν οὐκέτ' ὄντας ἀριθμῆσαι πάρα,*
*τοὺς δ' ἐκ θαλάσσης ἀσμένους πεφευγότας,*
*νεκρῶν φέροντας ὀνόματ' εἰς οἴκους πάλιν.*
*ἐγὼ δ' ἐπ' οἶδμα πόντιον γλαυκῆς ἁλὸς*
*τλήμων ἀλῶμαι χρόνον ὅσονπερ Ἰλίου*
*πύργους ἔπερσα, κἀς πάτραν χρῄζων μολεῖν*
*οὐκ ἀξιοῦμαι τοῦδε πρὸς θεῶν τυχεῖν.*
*Λιβύης τ' ἐρήμους ἀξένους τ' ἐπιδρομὰς*
*πέπλευκα πάσας· χὤταν ἐγγὺς ὦ πάτρας,*
*πάλιν μ' ἀπωθεῖ πνεῦμα, κοὔποτ' οὔριον*
*εἰσῆλθε λαῖφος ὥστε μ' ἐς πάτραν μολεῖν.*
*καὶ νῦν τάλας ναυαγὸς ἀπολέσας φίλους*

---

382 *χρυσοκέρατ'* *LG*, *χρυσόκερω* *l* i. e. *χρυσόκερων*, quod coniecit Dobree 384 *ὤλεσεν ὤλεσεν* *LG* 388 sq. *ἡνίκ' ἔρανον εἰς θεῶν* ⟨*σφαγέντα καινὸν Ζεὺς πάλιν Δηοῦς λιταῖς*⟩ *πεισθεὶς ἐποίει σ', εὐθέως* Hermann, *ἡνίκ' ἔρανον ἐν θεοῖς, προθεὶς σ', ἐποίει Τάνταλος* Hartung. Verba *ἡνίκ'* . . *ἐποίεις* delet Nauck 392 *μενέλεω* *LG*, *μενέλεων* *l*

397 fort. *καὶ τὸν μὲν οὐκέτ' ὄντα μακαρίσαι πάρα*, ita ut post 399 lacuna statuenda sit 399 *ὀνόματ'*] *σώματ'* Paley, *σχήματ'* Prinz 402 *καὶ εἰς* *LG*, *κεἰς* *lg* 402—5 *κἀς* . . *πάσας* delet Goguel 404 *Λιβύης δ'* Hermann | *ἐπιστροφὰς* Herwerden 406 *καὶ οὔποτ'* *L*, *κοὔποτ'* *lG* 408 *ἀπωλέσας* *G*

ΓΡΑΥΣ.

*τίς πρὸς πύλαισιν; οὐκ ἀπαλλάξῃ δόμων*
*καὶ μὴ πρὸς αὐλείοισιν ἑστηκὼς πύλαις*
*ὄχλον παρέξεις δεσπόταις; ἢ κατθανῇ*
*[Ἕλλην πεφυκώς, οἷσιν οὐκ ἐπιστροφαί.]*

ΜΕ. *ὦ γραῖα, ταῦτα ταῦτ᾽ ἔπη καλῶς λέγεις.*
*ἔξεστι· πείσομαι γάρ· ἀλλ᾽ ἄνες λόγον.*
ΓΡ. *ἄπελθ᾽· ἐμοὶ γὰρ τοῦτο πρόσκειται, ξένε,*
*μηδένα πελάζειν τοισίδ᾽ Ἑλλήνων δόμοις.*
ΜΕ. *ἆ· μὴ προσείλει χεῖρα μηδ᾽ ὤθει βίᾳ.*
ΓΡ. *πείθῃ γὰρ οὐδὲν ὧν λέγω, σὺ δ᾽ αἴτιος.*
ΜΕ. *ἄγγειλον εἴσω δεσπόταισι τοῖσι σοῖς.*
ΓΡ. *πικροὺς ἂν ᾤμην ἀγγελεῖν τοὺς σοὺς λόγους.*
ΜΕ. *ναυαγὸς ἥκω ξένος, ἀσύλητον γένος.*
ΓΡ. *οἶκον πρὸς ἄλλον νύν τιν᾽ ἀντὶ τοῦδ᾽ ἴθι.*
ΜΕ. *οὔκ, ἀλλ᾽ ἔσω πάρειμι· καὶ σύ μοι πιθοῦ.*
ΓΡ. *ὀχληρὸς ἴσθ᾽ ὤν· καὶ τάχ᾽ ὠσθήσῃ βίᾳ.*
ΜΕ. *αἰαῖ· τὰ κλεινὰ ποῦ ᾽στί μοι στρατεύματα;*
ΓΡ. *οὐκοῦν ἐκεῖ που σεμνὸς ἦσθ᾽, οὐκ ἐνθάδε.*
ΜΕ. *ὦ δαῖμον, ὡς ἀνάξι᾽ ἠτιμώμεθα.*
ΓΡ. *τί βλέφαρα τέγγεις δάκρυσι; πρὸς τί δ᾽ οἰκτρὸς εἶ;*
ΜΕ. *πρὸς τὰς πάροιθεν συμφορὰς εὐδαίμονας.*
ΓΡ. *οὔκουν ἀπελθὼν δάκρυα σοῖς δώσεις φίλοις;*
ΜΕ. *τίς δ᾽ ἥδε χώρα; τοῦ δὲ βασιλικοὶ δόμοι;*
ΓΡ. *Πρωτεὺς τάδ᾽ οἰκεῖ δώματ᾽, Αἴγυπτος δὲ γῆ.*
ΜΕ. *Αἴγυπτος; ὢ δύστηνος, οἷ πέπλευκ᾽ ἄρα.*
ΓΡ. *τί δὴ τὸ Νείλου μεμπτόν ἐστί σοι γάνος;*

---

438 *πύλαις*] *θύραις* Blaydes 440 delevi. Cfr. 444 441 sq. fort. *ταὐτὰ ταῦτ᾽ ἔπη μὴ δὶς λέγειν ἔξεστι* | *λόγον*] *χόλου* W. G. Clark, *χόλον* Heimsoeth 444 *τοῖσιν G* (*ν* in ras. scr. *g*) 445 *προσείλει* (utrumque *ει* rescr. *l*) *L*, *προσείλει G*, in marg. *γρ. πρόσαγε g*, *πρόσιλλε* Badham 445 sq. post 452 transponit Schenkl. Fort. 441—446 spurii 447—483 lineolae praefixae in *L*, 447—476 in *G* 448 *πικροὺς*] Hirschig, *πικρῶς LG* | *ᾤμην* scripsi, *οἶμαί γ᾽ LG* 450 *νῦν LG* 452 *οἶσθ᾽* in ras. *g* 455 fort. *ἠτιμάσμεθα*. Cfr. Iph. A. 943, Aesch. Ag. 1052 456 *τί δ᾽*] Matthiae, *τίν᾽ LG* 458 *σοῖς . . φίλοις*] fort. *σαῖς . . τύχαις* 459 *βασιλικοὶ* Wunder, *βασίλειοι LG* 460 *δώματα LG* | *Πρωτέως τάδ᾽ ἐστὶ μέλαθρα* Aristoph. Thesm. 874, *Πρωτέως τάδ᾽ ἐστι δώματ᾽* aut *Πρωτεὺς τάδ᾽ ᾤκει δώματ᾽* Kirchhoff 462 *μεμπτόν G*, *μεπτόν L*

ΜΕ. οὐ τοῦτ' ἐμέμφθην· τὰς ἐμὰς στένω τύχας.
ΓΡ. πολλοὶ κακῶς πράσσουσιν, οὐ σὺ δὴ μόνος.
ΜΕ. ἔστ' οὖν ἐν οἴκοις ὅντιν' ὀνομάζεις ἄναξ;
ΓΡ. τόδ' ἐστὶν αὐτοῦ μνῆμα, παῖς δ' ἄρχει χθονός.
ΜΕ. ποῦ δῆτ' ἂν εἴη; πότερον ἐκτὸς ἢ 'ν δόμοις;
ΓΡ. οὐκ ἔνδον· Ἕλλησιν δὲ πολεμιώτατος.
ΜΕ. τίν' αἰτίαν σχὼν ἧς ἐπηυρόμην ἐγώ;
ΓΡ. Ἑλένη κατ' οἴκους ἐστὶ τούσδ' ἡ τοῦ Διός.
ΜΕ. πῶς φής; τίν' εἶπας μῦθον; αὖθίς μοι φράσον.
ΓΡ. ἡ Τυνδαρὶς παῖς, ἣ κατὰ Σπάρτην ποτ' ἦν.
ΜΕ. πόθεν μολοῦσα; τίνα τὸ πρᾶγμ' ἔχει λόγον;
ΓΡ. Λακεδαίμονος γῆς δεῦρο νοστήσασ' ἄπο.
ΜΕ. πότ'; οὔ τί που λελῄσμεθ' ἐξ ἄντρων λέχος;
ΓΡ. πρὶν τοὺς Ἀχαιούς, ὦ ξέν', ἐς Τροίαν μολεῖν.
ἀλλ' ἕρπ' ἀπ' οἴκων· ἔστι γάρ τις ἐμποδὼν
τύχη, τύραννος ᾗ ταράσσεται δόμος.
καιρὸν γὰρ οὐδέν' ἦλθες· ἢν δὲ δεσπότης
λάβῃ σε, θάνατος ξένιά σοι γενήσεται.
εὔνους γάρ εἰμ' Ἕλλησιν, οὐχ ὅσον πικροὺς
λόγους ἔδωκα δεσπότην φοβουμένη.
ΜΕ. τί φῶ; τί λέξω; συμφορὰς γὰρ ἀθλίας
ἐκ τῶν πάροιθεν τὰς παρεστώσας κλύω,
εἰ τὴν μὲν αἱρεθεῖσαν ἐκ Τροίας ἄγων
ἥκω δάμαρτα καὶ κατ' ἄντρα σῴζεται,
ὄνομα δὲ ταὐτὸν τῆς ἐμῆς ἔχουσά τις
δάμαρτος ἄλλη τοισίδ' ἐνναίει δόμοις.
Διὸς δ' ἔλεξε παῖδά νιν πεφυκέναι.
ἀλλ' ἦ τις ἔστι Ζηνὸς ὄνομ' ἔχων ἀνὴρ
Νείλου παρ' ὄχθας; εἷς γὰρ ὅ γε κατ' οὐρανόν.
Σπάρτη δὲ ποῦ γῆς ἐστι πλὴν ἵνα ῥοαὶ
τοῦ καλλιδόνακός εἰσιν Εὐρώτα μόνον;

---

466 μνῆμα] σῆμα Aristoph. Thesm. 886    468 ἕλλησι *LG*, ἕλλησιν *l*    471 αὖθίς μοι] αὖθις αὖ Kirchhoff    474 τοῖς *LG*, τῆς *l*, γῆς *g*    475 πότε *LG*, πότ' *l* | ἄντρω *G* | λέχος] Heath, λέχους *LG*    477 ἐμποδὼν] scripsi, ἐν δόμοις *LG*    479 οὐδέν'] Musgrave, οὐδὲν *LG*    483 φῶ] δρῶ Mekler | fort. ἀθλίους    484 τὰς *lG*, τὼ *L*, νῦν Vollgraff    488 δάμαρ δ' ἔτ' ἄλλη, versu 487 deleto, Vitelli | τοῖσιν *G* (ν in lit. scr. *g*)    491 ὅτε mut. in ὅ γε *LG*    492 σπάρτης *G* | ἵνα] Matthiae, ἵν' αἱ *LG*    493 μόνον] fort. πόρον

διπλοῦν δὲ Τυνδάρειον ὄνομα κλῄζεται;
Λακεδαίμονος δὲ γαῖα τίς ξυνώνυμος
Τροίας τ'; ἐγὼ μὲν οὐκ ἔχω τί χρὴ λέγειν.
πολλοὶ γάρ, ὡς εἴξασιν, ἐν πολλῇ χθονὶ
ὀνόματα ταὔτ' ἔχουσι καὶ πόλις πόλει
γυνή γυναικί τ'· οὐδὲν οὖν θαυμαστέον.
οὐδ' αὖ τὸ δεινὸν προσπόλου φευξούμεθα·
ἀνὴρ γὰρ οὐδεὶς ὧδε βάρβαρος φρένας,
ὃς ὄνομ' ἀκούσας τοὐμὸν οὐ δώσει βοράν.
κλεινὸν τὸ Τροίας πῦρ ἐγώ θ' ὃς ἧψά νιν,
[Μενέλαος, οὐκ ἄγνωστος ἐν πάσῃ χθονί.]
δόμων ἄνακτα προσμενῶ· δισσὰς δέ μοι
ἔχει φυλάξεις· ἣν μὲν ὠμόφρων τις ᾖ,
κρύψων ἐμαυτὸν εἶμι πρὸς ναυάγια·
ἢν δ' ἐνδιδῷ τι μαλθακόν, τὰ πρόσφορα
τῆς νῦν παρούσης συμφορᾶς αἰτήσομαι.
κακῶν δέ θ' ἡμῖν ἔσχατον τοῖς ἀθλίοις,
ἄλλους τυράννους αὐτὸν ὄντα βασιλέα
βίον προσαιτεῖν· ἀλλ' ἀναγκαίως ἔχει.
λόγος γάρ ἐστιν οὐκ ἐμός, σοφῶν δ' ἔπος,
δεινῆς ἀνάγκης οὐδὲν ἰσχύειν πλέον.

ΧΟΡΟΣ.

ἤκουσα τᾶς θεσπιῳδοῦ κόρας,
ἃ χρῄζουσ' ἐφάνη 'ν τυράννοις
δόμοις, ὡς Μενέλαος οὔπω
μελαμφαὲς οἴχεται
δι' ἔρεβος χθονὶ κρυφθείς,
ἀλλ' ἔτι κατ' οἶδμ' ἅλιον
τρυχόμενος οὔπω λιμένων

---

494 διπλοῦν] Nauck, ἁπλοῦν *LG* 496 τε *LG* 498 ταὔτ'] Matthiae, ταῦτ' *LG* 504 delevit Cobet 505 sq. δισσὰς . . ἔχει] Musgrave, ἔχει . . δισσὰς *LG* 507 κρύψων] Badham, κρύψας *LG* 509 τῇ νῦν παρούσῃ συμφορᾷ σφ' αἰτήσομαι Hermann 510 κακῶν *LG*, κακὸν *g* | δέ γ' Lenting, τόδ' Lobeck, δ' ἓν Nauck, μὲν Paley 513 σοφὸν *LG*, σοφῶν *l* | δ' ἔπος] δέ του Dobree 514 ἰσχύει *G* et mut. in ἰσχύειν *L* 516 χρήσασ' post Barnesium Dindorf | ἐφάνη 'ν] Badham, ἐφάνη *LG*, ἐφάνην *l* 521 οὔπω] οὐ Badham

*ΕΛ.* ἀδικούμεθ', ὦ γυναῖκες· εἰργόμεσθα γὰρ
τάφου πρὸς ἀνδρὸς τοῦδε, καί μ' ἑλὼν θέλει
δοῦναι τυράννοις ὧν ἐφεύγομεν γάμους.
*ΜΕ.* οὐ κλῶπές ἐσμεν οὐδ' ὑπηρέται κακῶν.
*ΕΛ.* καὶ μὴν στολήν γ' ἄμορφον ἀμφὶ σῶμ' ἔχεις.
*ΜΕ.* στῆσον, φόβον μεθεῖσα, λαιψηρὸν πόδα.
*ΕΛ.* ἵστημ', ἐπεί γε τοῦδ' ἐφάπτομαι τάφου.
*ΜΕ.* τίς εἶ; τίν' ὄψιν σήν, γύναι, προσδέρκομαι;
*ΕΛ.* σὺ δ' εἶ τίς; αὐτὸς γάρ σὲ κἄμ' ἔχει λόγος.
*ΜΕ.* οὐπώποτ' εἶδον προσφερέστερον δέμας.
*ΕΛ.* ὦ θεοί· θεὸς γὰρ καὶ τὸ γιγνώσκειν φίλους.
*ΜΕ.* Ἑλληνὶς εἶ τις ἢ 'πιχωρία γυνή;
*ΕΛ.* Ἑλληνίς· ἀλλὰ καὶ τὸ σὸν θέλω μαθεῖν.
*ΜΕ.* Ἑλένῃ σ' ὁμοίαν δὴ μάλιστ' εἶδον, γύναι.
*ΕΛ.* ἐγὼ δὲ Μενέλεῴ γε σ'· οὐδ' ἔχω τί φῶ.
*ΜΕ.* ἔγνως γὰρ ὀρθῶς ἄνδρα δυστυχέστατον.
*ΕΛ.* ὦ χρόνιος ἐλθὼν σῆς δάμαρτος ἐς χέρας.
*ΜΕ.* ποίας δάμαρτος; μὴ θίγῃς ἐμῶν πέπλων.
*ΕΛ.* ἥν σοι δίδωσι Τυνδάρεως, ἐμὸς πατήρ.
*ΜΕ.* ὦ φωσφόρ' Ἑκάτη, πέμπε φάσματ' εὐμενῆ.
*ΕΛ.* οὐ νυκτίφαντον πρόπολον Ἐνοδίας μ' ὁρᾷς.
*ΜΕ.* οὐ μὴν γυναικῶν γ' εἷς δυοῖν ἔφυν πόσις.
*ΕΛ.* ποίων δὲ λέκτρων δεσπότης ἄλλων ἔφυς;
*ΜΕ.* ἣν ἄντρα κεύθει κἀκ Φρυγῶν κομίζομαι.
*ΕΛ.* οὐκ ἔστιν ἄλλη σή τις ἀντ' ἐμοῦ γυνή.
*ΜΕ.* οὔ που φρονῶ μὲν εὖ, τὸ δ' ὄμμα μου νοσεῖ;
*ΕΛ.* οὐ γάρ με λεύσσων σὴν δάμαρθ' ὁρᾶν δοκεῖς;

---

553—94 lineolae praefixae in *LG* 553 *οὐδ'*] Dindorf, *οὐχ LG* 555 *φόβον*] Valckenaer, *φόβου LG* 556 *τάφου*] Elmsley, *τόπου LG* 557 Aristoph. Thesm. 905 *ὦ θεοί, τίν' ὄψιν εἰσορῶ; τίς εἶ, γύναι;* 558 *αὐτὸς* Valckenaer, *αὑτὸς LG* | *λόγος Lg*, *λόγου G*, fort. *πόθος* 560 *γινώσκειν LG* 561 om. *LG*, ex Aristoph. Thesm. 907 restituit Markland | *γυνή*] *γένος* W. Ribbeck 564 *Μενέλεῳ*] Dindorf, *μενελάω LG* et libri Arist. Thesm. 910 | *σέ LG*, *σ' g* | *οὐδ' L*, *οὐκ G* 565 *γὰρ*] *ἄρ'* Aristoph. Thesm. 911 566 *ἐς* hic *LG* 570 *πρόπολον*] Canter, *πρόσπολον LG* 571 *γυναικοῖν* H. J. Mueller | *δυεῖν lG*, *δυοῖν L*. Deletis versibus 571. 588 hunc ordinem: 570. 575—81. 572—4. 587. 582—6. 589 commendat Vitelli, mihi v. 571. 574. 577 sq. 587 sq. spurii et 572 sq. post 581 collocandi videntur 575 *οὔπου LG*, *ἦ που lg*

*ΜΕ.* τὸ σῶμ' ὅμοιον, τὸ δὲ σαφές μ' ἀποστερεῖ.
*ΕΛ.* σκέψαι· τί σοι δεῖ πίστεως σαφεστέρας;
*ΜΕ.* ἔοικας· οὔτοι τοῦτό γ' ἐξαρνήσομαι.
*ΕΛ.* τίς οὖν διδάξει σ' ἄλλος ἢ τὰ σ' ὄμματα;
*ΜΕ.* ἐκεῖ νοσοῦμεν, ὅτι δάμαρτ' ἄλλην ἔχω.
*ΕΛ.* οὐκ ἦλθον ἐς γῆν Τρῳάδ', ἀλλ' εἴδωλον ἦν.
*ΜΕ.* καὶ τίς βλέποντα σώματ' ἐξεργάζεται;
*ΕΛ.* αἰθήρ, ὅθεν σὺ θεοπόνητ' ἔχεις λέχη.
*ΜΕ.* τίνος πλάσαντος θεῶν; ἄελπτα γὰρ λέγεις.
*ΕΛ.* Ἥρας, διάλλαγμ', ὡς Πάρις με μὴ λάβοι.
*ΜΕ.* πῶς οὖν ἅμ' ἐνθάδ' ἦσθά τ' ἐν Τροίᾳ θ' ἅμα;
*ΕΛ.* τοὔνομα γένοιτ' ἂν πολλαχοῦ, τὸ σῶμα δ' οὔ.
*ΜΕ.* μέθες με, λύπης ἅλις ἔχων ἐλήλυθα.
*ΕΛ.* λείψεις γὰρ ἡμᾶς, τὰ δὲ κέν' ἐξάξεις λέχη;
*ΜΕ.* καὶ χαῖρέ γ', Ἑλένῃ προσφερὴς ὁθούνεκ' εἶ.
*ΕΛ.* ἀπωλόμην· λαβοῦσά σ' οὐχ ἕξω πόσιν.
*ΜΕ.* τοὐκεῖ με μέγεθος τῶν πόνων πείθει, σὺ δ' οὔ.
*ΕΛ.* οἲ ἐγώ· τίς ἡμῶν ἐγένετ' ἀθλιωτέρα;
οἱ φίλτατοι λείπουσί μ' οὐδ' ἀφίξομαι
Ἕλληνας οὐδὲ πατρίδα τὴν ἐμήν ποτε.

ΑΓΓΕΛΟΣ.

Μενέλαε, μαστεύων σε κιγχάνω μόλις
πᾶσαν πλανηθεὶς τήνδε βάρβαρον χθόνα,
πεμφθεὶς ἑταίρων τῶν λελειμμένων ὕπο.
*ΜΕ.* τί δ' ἔστιν; οὔ που βαρβάρων συλᾶσθ' ὕπο;
*ΑΓΓ.* θαῦμ' ἔστ', ἔλασσον τοὔνομ' ἢ τὸ πρᾶγμ' ἔχον.
*ΜΕ.* λέγ'· ὡς φέρεις τι τῇδε τῇ σπουδῇ νέον.

---

578 *σοι δεῖ πίστεως σαφεστέρας*] Badham, *σου δεῖ τίς ἐστι σοῦ σοφώτερος*; *LG* | *τί σοὐνδεῖ*; Seidler 580 *τὰ σά γ' LG*, *τὰ σ' g* 581 *ἐκεῖ νοσοῦμεν*] Scaliger, *ἐκεῖνο σοῦ μὲν LG* 583 *σώματ'*] *φάσματ'* F. Gu. Schmidt, *σχήματ'* Vitelli 584 fort. *εἶχες* 585 *ἄελπτα L*, *εὔελπτα G*, *ἄπιστα* Schenkl 586 *Ἥρας*] Scaliger, *ἦρα LG* | *λάβῃ* mut. in *λάβοι G* 587 *ἅμ'*] anonymus, *ἂν LG* | *ἦσθά τ'*] Barnes, *ἦσθ' LG*. *ἦσθ' ἐν Ἰλίῳ θ' ἅμα* Mekler 589 *λύπης*] Elmsley, *λύπας LG* 592 *ἀπολόμην G* | *σε L*, *σ' lG* | *λαβοῦσ' ἄρ'* Herwerden 595 *λείπουσί μ'*] Musgrave, *λείπουσιν LG* 597 *κιγχάνω*] Matthiae, *κιχάνω LG* 600 *οὔπου LG*, *ἤ που l* 601 *θαῦμ' ἔστ'*] Scaliger, *θαυμά 'στ L*, *θαυμάστ' G* | *ἔχων LG*, *ἔχον g* 602—5 lineolae praefixae in *LG* 602 *φέρῃς G*

*ΑΓΓ.* λέγω πόνους σε μυρίους τλῆναι μάτην.
*ΜΕ.* παλαιὰ θρηνεῖς πήματ'· ἀγγέλλεις δὲ τί;
*ΑΓΓ.* βέβηκεν ἄλοχος σὴ πρὸς αἰθέρος πτυχὰς
ἀρθεῖσ' ἄφαντος· οὐρανῷ δὲ κρύπτεται
λιποῦσ' ἔρημον ἄντρον οὗ σφ' ἐσῴζομεν,
τοσόνδε λέξασ'· ὦ ταλαίπωροι Φρύγες
τάλανές τ' Ἀχαιοί, δι' ἔμ' ἐπὶ Σκαμανδρίοις
ἀκταῖσιν Ἥρας μηχαναῖς ἐθνῄσκετε,
δοκοῦντες Ἑλένην οὐκ ἔχοντ' ἔχειν Πάριν.
ἐγὼ δ', ἐπειδὴ χρόνον ἔμειν' ὅσον με χρῆν,
τὸ μόρσιμον σώσασα, πατέρ' ἐς οὐρανὸν
ἄπειμι· φήμας δ' ἡ τάλαινα Τυνδαρὶς
ἄλλως κακὰς ἤκουσεν οὐδὲν αἰτία.
ὦ χαῖρε, Λήδας θύγατερ, ἐνθάδ' ἦσθ' ἄρα;
ἐγὼ δέ σ' ἄστρων ὡς βεβηκυῖαν μυχοὺς
ἤγγελλον εἰδὼς οὐδὲν ὡς ὑπόπτερον
δέμας φοροίης. οὐκ ἐῶ σε κερτομεῖν
ἡμᾶς τόδ' αὖθις, ὡς ἄδην ἐν Ἰλίῳ
πόνους παρεῖχες σῷ πόσει καὶ συμμάχοις.
*ΜΕ.* τοῦτ' ἔστ' ἐκεῖνο· ξυμβεβᾶσιν οἱ λόγοι
οἱ τῆσδ' ἀληθεῖς. ὦ ποθεινὸς ἡμέρα,
ἥ σ' εἰς ἐμὰς ἔδωκεν ὠλένας λαβεῖν.

*ΕΛ.* ὦ φίλτατ' ἀνδρῶν Μενέλεως, ὁ μὲν χρόνος
παλαιός, ἡ δὲ τέρψις ἀρτίως πάρα.
ἔλαβον ἀσμένα πόσιν ἐμόν, φίλαι,
περί τ' ἐπέτασα χέρα
φίλιον ἐν μακρᾷ φλογὶ φαεσφόρῳ.

---

605 *πτύχας* *LG* 607 *λιποῦσ' ἔρημον*] Cobet, *λιποῦσα σεμνὸν* *LG*, *λιποῦσ' ἐρεμνὸν* Schneidewin 608 *ταλαίποροι* *G*, *ταλαίπωροι* *g* 609 *τάλανες*] Hermann, *πάντες* *LG* 610 *ἀκταῖσιν*] fort. *ὄχθαισιν* (vel *ῥοαῖσιν*) 612 *μ' ἐχρῆν* *LG* 613 *οὐρανὸν*] fort. *αἰθέρα*. Cfr. 584 et Phil. quis rer. div. sit haer. c. 37 (I 513 Mang.) *τὸ δὲ νοερὸν καὶ οὐράνιον τῆς ψυχῆς γένος πρὸς αἰθέρα . . ὡς πρὸς πατέρα ἀφίξεται* 615 fort. *ἤκουεν* 617 *βεβηκυῖαν* *G* et mut. in *βεβηκυίης* *L* 620 *ἄδην* *LG*, *δαψιλῶς* superscr. *l*, *μάτην* Milton 621 *σῷ*] Milton, *ᾧ* *LG* 623 *τοῖς τῆσδ' ἀληθῶς* Herwerden, fort. *οἱ τοῦδε καὶ τῆσδ'* 624 *ἥ σ'*] Canter, *ὥς* *LG* 625 *χρόνος*] *πόνος* Musgrave, *πόθος* Holzner 628 *περί τ' ἐπέτασα*] Hermann, *περιπετάσασα* *LG* | *χέρα*] *α* super ras. scriptum in *L* (fort. *ας* erasum)

[χάριτος ἢ λύπας].
ΕΛ. τί φῶ; τίς ἂν τάδ' ἤλπισεν βροτῶν ποτε;
ἀδόκητον ἔχω σε πρὸς στέρνοις.
ΜΕ. κἀγὼ σὲ τὴν δοκοῦσαν Ἰδαίαν πόλιν
μολεῖν Ἰλίου τε μελέους πύργους.
πρὸς θεῶν, δόμων πῶς τῶν ἐμῶν ἀπεστάλης;
ΕΛ. ἒ ἔ· πικρὰς ἐς ἀρχὰς βαίνεις,
ἒ ἔ· πικρὰν δ' ἐρευνᾷς φάτιν.
ΜΕ. λέγ'· ὡς ἀκουστὰ πάντα δῶρα δαιμόνων.
ΕΛ. ἀπέπτυσα μὲν λόγον, οἷον οἷον ἐσοίσομαι.
ΜΕ. ὅμως δὲ λέξον· ἡδύ τοι μόχθων κλύειν.
ΕΛ. οὐκ ἐπὶ λέκτρα βαρβάρου νεανία
πετομένας κώπας,
πετομένου δ' ἔρωτος ἀδίκων γάμων.
ΜΕ. τίς . . σε δαίμων ἢ πότμος συλᾷ πάτρας;
ΕΛ. ὁ Διὸς ὁ Διός, ὦ πόσι, παῖς μ' . . .
ἐπέλασεν Νείλῳ.
ΜΕ. θαυμαστά· τοῦ πέμψαντος; ὢ δεινοὶ λόγοι.
ΕΛ. κατεδάκρυσα καὶ βλέφαρον ὑγραίνω
δάκρυσιν· ἁ Διός μ' ἄλοχος ὤλεσεν.
ΜΕ. Ἥρα; τί νῷν χρῄζουσα προσθεῖναι κακόν;
ΕΛ. ὤμοι ἐμῶν δεινῶν, λουτρῶν καὶ κρηνῶν,
ἵνα θεαὶ μορφὰν
ἐφαίδρυναν, ἔνθεν ἔμολεν κρίσις.
ΜΕ. τάδ' ἐς κρίσιν σοι τῶνδ' ἔθηχ' Ἥρα κακῶν;
ΕΛ. Πάριν ὡς ἀφέλοιτο ΜΕ. πῶς; αὔδα.

---

655 delevit cum Bothio Herwerden 656 τί φῶ om. *G* | ἤλπισεν mut. in ἤλπισε *L*, ἤλπισε *G* 658 πόλιν] fort. χθόνα 661 πικρὰν ἐς ἀρχὰν et in marg. γρ. πικρὰς ἐς ἀρχὰς *L*, πικρὰν ἐς ἀρχὰν *G* 664 ἐσοίσομεν Lenting 665 τι *LG*, τοι *l* 666 λέκτρα] L. Dindorf, λέκτρου *LG* 667 πετωμένας *LG*, πετομένας *lg* 669 τίς γάρ Barnes, fort. τίς καί | συλλᾶ *G*, συλᾶ *g* 670 ὦ πόσι, με παῖς Ἑρμᾶς sive ὦ πόσι, με παῖς Μαίας τ' Hermann 671 ἐπέλασε *L*, ἐπέλασεν *G*

673 φλέφαρον *L*, βλέφαρον *lG* 675 Menelai nota in *G*, lineolam ante versum erasit et post ἥρα posuit, Menelai notam superscribens, *l* | τί νῷν] Hermann, τίνων *LG* 676 ὤμοι ἐγὼ δίνων Badham, fort. ὤμοι ἐγὼ δρόσων. Verba λουτρῶν καὶ κρηνῶν delet Herwerden 678 ἔμολε *LG* 679 τί δ' εἰς κρίσιν σοι τήνδ' ἔθηχ' Ἥρα κακόν; Musgrave, fort. τί δ' ἐς κρίσιν σοι θεῶν ἔτειν' Ἥρας κακά; (κακά Matthiae) 680 sq. Πάριν . . Κύπρις] Reiske, κύπριν . . πάριν *LG*, κύπρις in apogr. Paris.

ΕΛ. Κύπρις ᾧ μ' ἐπένευσεν, ΜΕ. ὦ τλᾶμον.
ΕΛ. τλάμονα τλαμόνως ἐπέλασ' Αἰγύπτῳ.
ΜΕ. εἶτ' ἀντέδωκ' εἴδωλον, ὡς σέθεν κλύω.
ΕΛ. τὰ δὲ σὰ κατὰ μέλαθρα πάθεα πάθεα, μᾶ-
τερ, οἲ ἐγώ. ΜΕ. τί φής;
ΕΛ. οὐκ ἔστιν μάτηρ· ἀγχόνιον βρόχον
δι' ἐμὲ κατεδήσατο δύσγαμον αἰσχύνᾳ.
ΜΕ. ὤμοι· θυγατρὸς δ' Ἑρμιόνης ἔστιν βίος;
ΕΛ. ἄγαμος ἄτεκνος, ὦ πόσι, καταστένει
γάμον ἄγαμον [αἰσχύνᾳ].
ΜΕ. ὦ πᾶν κατ' ἄκρας δῶμ' ἐμὸν πέρσας Πάρις,
τάδε καὶ σὲ διώλεσε μυριάδας τε
χαλκεόπλων Δαναῶν.
ΕΛ. ἐμὲ δὲ πατρίδος ἄπο κακόποτμον ἀραίαν
ἔβαλε θεὸς ἀπό τε πόλεος ἀπό τε σέθεν,
ὅτε μέλαθρα λέχεά τ' ἔλιπον οὐ λιποῦσ'
ἐπ' αἰσχροῖς γάμοις.

ΧΟ. εἰ καὶ τὰ λοιπὰ τῆς τύχης εὐδαίμονος
τύχοιτε, πρὸς τὰ πρόσθεν ἀρκέσειεν ἄν.
ΑΓΓ. Μενέλαε, κἀμοὶ προσδότω τις ἡδονῆς,
ἣν μανθάνω μὲν καὐτός, οὐ σαφῶς δ' ἔχω.
ΜΕ. ἀλλ', ὦ γεραιέ, καὶ σὺ κοινώνει λόγων.
ΑΓΓ. οὐχ ἥδε μόχθων τῶν ἐν Ἰλίῳ βραβεύς;
ΜΕ. οὐχ ἥδε, πρὸς θεῶν δ' ἦμεν ἠπατημένοι,

681 *ἐπένευσεν* *LG*, *ἐπένευσ'* *l* | *τλᾶμον*] Aldina, *τλῆμον* *LG* 682 *τλάμονα τλαμόνως*] Kirchhoff (*τλάμονα τλάμον' ὧδ'* Hermann), *τλάμων τλάμων ὧδ'* *LG* 684 *σὰ κατὰ*] Hermann, *κατὰ* *LG* 685 *ΜΕ.* in *G*, lineola in *L* 686 *ἔστι* *LG* | *ἀγχόνιον* *LG*, *ἀγχόνειον* *l* | *βρόχον*] Reisig, *δὲ βρόχον* *LG* 687 *δύσγαμον*] Brodeau, *δύσγαμος* *LG*, *δύσμορος* Nauck | *αἰσχύνᾳ*] Hermann, *αἰσχύναν* *LG* 688 *τίς μοι θυγατρὸς Ἑρμιόνης* Badham | *ἔστι* *LG*, *ἔστιν* *l* 689 *ἄτεκνος ἄτεκνος* *LG*, alterum delevit *l* | *πόσι*] Aldina, *πόσις* *LG* 690 *αἰσχύνα* *LG*, *αἰσχύναν* *l* | *γάμον ἐμὸν ἄγαμον*, eiecto *αἰσχύνᾳ*, L. Dindorf, *γάμον ἄγαμον ἐμόν* Hermann 692 Helenae notam praefixit *G* 694 Helenae notam om. *LG*, praefixit *l* | *πατρίδος κακόποτμον δύαν* Nauck, fort. *πατρίδος κακόποτμον Ἐρινύν* 695 *ἔβαλλε* *LG*, *ἔβαλε* cod. Laur. 31, 1 | *τε πόλεος*] Matthiae, *πόλεος* *LG* 696 *ὅτε*] Dobree, *ὅτι* *LG* 698 *τύχης*] *ζόης* Cobet 700 *προσδότω τις*] scripsi, *πρόσδοτε* (*πρόσδοτέ τι* *l*) *τῆς* *LG* 701 *μὲν καὶ αὐτὸς* *L* (*καὐτὸς* *l*), *δὲ καὶ αὐτὸς* *G* 704—11 lineolae omnibus versibus praefixae in *L*, 704 nuntio, 705 Menelao tribuit *G*

[νεφέλης ἄγαλμ' ἔχοντες ἐν χεροῖν λυγρόν.]
*ΑΓΓ.* [τί φής;]
νεφέλης ἄρ' ἄλλως εἴχομεν πόνους πέρι;
*ΜΕ.* Ἥρας τάδ' ἔργα καὶ θεῶν τρισσῶν ἔρις.
*ΑΓΓ.* ἡ δ' οὖσ' ἀληθῶς ἐστιν ἥδε σὴ δάμαρ;
*ΜΕ.* αὕτη· λόγοις δ' ἐμοῖσι πίστευσον τάδε.
*ΑΓΓ.* ὦ θύγατερ, ὁ θεὸς ὡς ἔφυ τι ποικίλον
καὶ δυστέκμαρτον. εὖ δέ πως ἀναστρέφει
ἐκεῖσε κἀκεῖσ' ἀναφέρων· ὁ μὲν πονεῖ,
ὁ δ' οὐ πονήσας αὖθις ὄλλυται κακῶς,
βέβαιον οὐδὲν τῆς ἀεὶ τύχης ἔχων.
σὺ γὰρ πόσις τε σὸς πόνων μετέσχετε,
σὺ μὲν λόγοισιν, ὃ δὲ δορὸς προθυμίᾳ.
σπεύδων δ' ὅτ' ἔσπευδ' οὐδὲν εἶχε· νῦν δ' ἔχει
αὐτόματα πράξας τἀγάθ' εὐτυχέστατα.
οὐκ ἄρα γέροντα πατέρα καὶ Διοσκόρω
ᾔσχυνας οὐδ' ἔδρασας οἷα κλῄζεται.
νῦν ἀνανεοῦμαι τὸν σὸν ὑμέναιον πάλιν
καὶ λαμπάδων μεμνήμεθ' ἃς τετραόροις
ἵπποις τροχάζων παρέφερον· σὺ δ' ἐν δίφροις
ξὺν τῷδε νύμφη δῶμ' ἔλειπες ὄλβιον.
κακὸς γὰρ ὅστις μὴ σέβει τὰ δεσποτῶν
καὶ ξυγγέγηθε καὶ συνωδίνει κακοῖς.
ἐγὼ μὲν εἴην, κεἰ πέφυχ' ὅμως λάτρις,
ἐν τοῖσι γενναίοισιν ἠριθμημένος
δούλοισι, τοὔνομ' οὐκ ἔχων ἐλεύθερον,
τὸν νοῦν δέ· κρεῖσσον γὰρ τόδ' ἢ δυοῖν κακοῖν
ἕν' ὄντα χρῆσθαι, τὰς φρένας τ' ἔχειν κακὰς
ἄλλων τ' ἀκούειν δοῦλον ὄντα τῶν πέλας.
*ΜΕ.* ἄγ', ὦ γεραιέ, πολλὰ μὲν παρ' ἀσπίδα

---

705 delevit Kirchhoff 706 personae nota deest in *L* | τί φής; delevit Matthiae 708 καὶ . . ἔρις] διὰ . . ἔριν Herwerden 710 δ' delet Herwerden | τάδε] fort. τόδε 711 σκέψαι γὰρ ὁ θεὸς ὃς ἔχει τι ποικίλον Stob. ecl. I 7, 6 712 ἀναστρέφει] πάντα στρέφει Herwerden 715 suspectus 717 δορὸς τρικυμίᾳ E. Bruhn 718 ὅτ'] ὅσ' Burges | εἶχε] fort. ἦνε 720sq. delet A. Mancini 725 σὺν *LG* | ἔλειπες] Aldina, ἔλιπες *LG* | fort. ὀλβία 727 κακοῖς] fort. τύχαις 728 κεἰ] Musgrave, καὶ *LG*, εἰ Stob. fl. 62, 2 731 δυεῖν *LG*, δυοῖν *l* 732 ἓν *LG*, ἕν' *l* 734 ἄγ' *LG*, ἀλλ' *g*

τὰ τῶν φίλων φίλοισιν αἰσθέσθαι κακά.
*ΜΕ.* ἦ πόλλ' ἀνήρου μ' ἑνὶ λόγῳ μιᾷ θ' ὁδῷ.
τί σοι λέγοιμ' ἂν τὰς ἐν Αἰγαίῳ φθορὰς
τὰ Ναυπλίου τ' Εὐβοϊκὰ πυρπολήματα
Κρήτης τε Λιβύης θ' ἃς ἐπεστράφην πόλεις,
σκοπιάς τε Περσέως; οὐ γὰρ ἂν παυσαίμεθα
μύθων λέγων τ' ἄν σοι κάκ' ἀλγοίην ἔτι,
πάσχων τ' ἔκαμνον· δὶς δὲ λυπηθεῖμεν ἄν.
*ΕΛ.* κάλλιον εἶπας ἤ σ' ἀνηρόμην ἐγώ.
ἓν δ' εἰπὲ πάντα παραλιπών, πόσον χρόνον
πόντου 'πὶ νώτοις ἅλιον ἐφθείρου πλάνον;
*ΜΕ.* ἐνιαύσιον πρὸς τοῖσιν ἐν Τροίᾳ δέκα
ἔτεσι διῆλθον ἑπτὰ περιδρομὰς ἐτῶν.
*ΕΛ.* φεῦ φεῦ· μακρόν γ' ἔλεξας, ὦ τάλας, χρόνον.
σωθεὶς δ' ἐκεῖθεν ἐνθάδ' ἦλθες ἐς σφαγάς.
*ΜΕ.* πῶς φῄς; τί λέξεις; ὥς μ' ἀπώλεσας, γύναι.
*ΕΛ.* [φεῦγ' ὡς τάχιστα τῆσδ' ἀπαλλαχθεὶς χθονός.]
θανῇ πρὸς ἀνδρὸς οὗ τάδ' ἐστὶ δώματα.
*ΜΕ.* τί χρῆμα δράσας ἄξιον τῆς συμφορᾶς;
*ΕΛ.* ἥκεις ἄελπτος ἐμποδὼν ἐμοῖς γάμοις.
*ΜΕ.* ἦ γὰρ γαμεῖν τις τἄμ' ἐβουλήθη λέχη;
*ΕΛ.* ὕβριν θ' ὑβρίζειν εἰς ἐμὴν εὐνὴν ἔτλη.
*ΜΕ.* ἰδίᾳ σθένων τις ἢ τυραννεύων χθονός;
*ΕΛ.* ὃς γῆς ἀνάσσει τῆσδε Πρωτέως γόνος.
*ΜΕ.* τόδ' ἔστ' ἐκεῖν' αἴνιγμ' ὃ προσπόλου κλύω.
*ΕΛ.* ποίοις ἐπιστὰς βαρβάροις πυλώμασιν;
*ΜΕ.* τοῖσδ', ἔνθεν ὥσπερ πτωχὸς ἐξηλαυνόμην.

---

764 *φίλοισιν ἀνερέσθαι* Holzner, *φίλοισι πεύθεσθαι* Herwerden. Versum delet Schenkl 765 *ἑνὶ λόγῳ*] Pierson, *ἐν ὀλίγῳ* *LG* 767 *Εὐβοικὰ* L. Dindorf 768 *Κρήτης*] Kirchhoff, *κρήτην* *LG* | *Λιβύης*] Reiske, *λιβύην* *LG* 769 *ἂν παυσαίμεθα*] Herwerden, *ἐμπλήσαιμι σὲ* *LG* 770 *λέγοντα* *G*, *λέγων τ' ἂν* *g* 771 *πάσχον* *G*, *πάσχων* *g* | *ἔκαμον* *LG*, *ἔκαμνον* *l* 772 *καὶ* (*σὺ* Prinz) *πλείον' εἶπας* Nauck 773 *πάντα*] *ταῦτα* Herwerden 775 sq. *ἐνιαυσίους* Faehse, *ἐνιαυσίων* et *περιδρομὰς κύκλων* Mekler | *δ'* post *διῆλθον* addit *L*, non *G* 780 delevit ut e Phoen. 972 illatum Valckenaer 782—842 singulis versibus lineola praefixa in *LG* 783 *ἐμποδὼν*] Badham, *ἐμποδών τ'* *LG* 785 *εἰς ἐμὴν εὐνὴν ἔτλη*] F. Gu. Schmidt, *εἰς ἔμ' ἣν ἔτλην ἐγώ* *LG* 786 *σθένων*] Aldina, *θένων* *LG* 787 *προτέως* *G*, *πρωτέως* *g* 788 *αἴνιγμ'*] Canter, *αἶαγμ'* *LG* 790 *τοῖσδ'*] Scaliger, *τοῖς* *LG*

*ΕΛ.* οὔ που προσήκεις βίοτον; ὦ τάλαιν' ἐγώ.
*ΜΕ.* τοὔργον μὲν ἦν τοῦτ', ὄνομα δ' οὐκ εἶχεν τόδε.
*ΕΛ.* πάντ' οἶσθ' ἄρ', ὡς ἔοικας, ἀμφ' ἐμῶν γάμων.
*ΜΕ.* οἶδ'· εἰ δὲ λέκτρα διέφυγες τάδ' οὐκ ἔχω.
*ΕΛ.* ἄθικτον εὐνήν ἴσθι σοι σεσωμένην.
*ΜΕ.* τίς τοῦδε πειθώ; φίλα γάρ, εἰ σαφῆ λέγεις.
*ΕΛ.* ὁρᾷς τάφου τοῦδ' ἀθλίους ἕδρας ἐμάς;
*ΜΕ.* ὁρῶ, τάλαινα, στιβάδας, ὧν τί σοὶ μέτα;
*ΕΛ.* ἐνταῦθα λέκτρων ἱκετεύομεν φυγάς.
*ΜΕ.* βωμοῦ σπανίζουσ' ἢ νόμοισι βαρβάροις;
*ΕΛ.* ἐρρύεθ' ἡμᾶς τοῦτ' ἴσον ναοῖς θεῶν.
*ΜΕ.* οὐδ' ἄρα πρὸς οἴκους ναυστολεῖν σ' ἔξεστί μοι;
*ΕΛ.* ξίφος μένει σε μᾶλλον ἢ τοὐμὸν λέχος.
*ΜΕ.* οὕτως ἂν εἴην ἀθλιώτατος βροτῶν.
*ΕΛ.* μή νυν καταιδοῦ, φεῦγε δ' ἐκ τῆσδε χθονός.
*ΜΕ.* λιπών σε; Τροίαν ἐξέπερσα σὴν χάριν.
*ΕΛ.* κρεῖσσον γὰρ ἤ σε τἄμ' ἀποκτεῖναι λέχη.
*ΜΕ.* ἄνανδρά γ' εἶπας Ἰλίου τ' οὐκ ἄξια.
*ΕΛ.* οὐκ ἂν κτάνοις τύραννον, ὃ σπεύδεις ἴσως.
*ΜΕ.* οὕτω σιδήρῳ τρωτὸν οὐκ ἔχει δέμας;
*ΕΛ.* εἴσῃ. τὸ τολμᾶν δ' ἀδύνατ' ἀνδρὸς οὐ σοφοῦ.
*ΜΕ.* σιγῇ παράσχω δῆτ' ἐμὰς δῆσαι χέρας;
*ΕΛ.* ἐς ἄπορον ἥκω· δεῖ δὲ μηχανῆς τινος.
*ΜΕ.* δρῶντας γὰρ ἢ μὴ δρῶντας ἥδιον θανεῖν.
*ΕΛ.* μί' ἔστιν ἐλπίς, ᾗ μόνῃ σωθεῖμεν ἄν.
*ΜΕ.* ὠνητὸς ἢ τολμητὸς ἢ λόγων ὕπο;
*ΕΛ.* εἰ μὴ τύραννός σ' ἐκπύθοιτ' ἀφιγμένον.
*ΜΕ.* ἐρεῖ δὲ τίς μ'; οὐ γνώσεταί γ' ὃς εἰμ' ἐγώ.

---

791 *οὔπου LG, ἤπου lg* 792 *ὄνομ' οὐκ G, ὄνομα δ' οὐκ g* | *εἶχεν*] scripsi, *εἶχον LG* 795 *σεσωσμένην LG* 798 *τάλαινα G, ταλαίνας g* 800 *βωμὸν G, βωμοῦ g* 801 *ναοῖς*] *βωμοῖς* Herwerden 802 *ναυστολεῖν σ'*] Musgrave, *ναυστολεῖν LG* 803 *μένει σε*] Musgrave (*μενεῖ σε* Canter), *μὲν εἰσι LG* 805 *νῦν LG* 808 *ἄνανδρά γ'*] Cobet, *ἄνανδρ' ἄρ' LG* 809 *κτάνοις*] Musgrave, *κτάνῃς LG* | ὃ] Seidler, ὃν *LG* 811 *ἀδύνατ'* Stob. fl. 54, 50, *ἀδύνατον LG, ἀδύνατ' g* 813 *ἥκω*] scripsi, *ἥκεις LG* 816 *λόγων*] *δόλων* Herwerden | *ὕπο*] *ἄπο* Wilamowitz 817 *τύραννός σ'*] Schaefer, *τύραννος LG* 818 *μ' οὐ γνώσετ' ὃς L, μ' οὐ γνώσεταί γ' ὃς l, μ' οὐ γνώσεται ὃς G, μ' ἢ γνώσεται γ' ὃς g* | *ἐρεῖ δὲ τίς; τίς* (*πῶς* Herwerden) *γνώσεται δ' ὃς* Vitelli | *οὐ γνώσεται τίς* C. Busche, fort. *οὐ γνώσεται δ' ὃς*

ΕΛ. ἔστ' ἔνδον αὐτῷ ξύμμαχος θεοῖς ἴση.
ΜΕ. φήμη τις οἴκων ἐν μυχοῖς ἱδρυμένη;
ΕΛ. οὔκ, ἀλλ' ἀδελφή· Θεονόην καλοῦσί νιν.
ΜΕ. χρηστήριον μὲν τοὔνομ'· ὅ τι δὲ δρᾷ φράσον.
ΕΛ. πάντ' οἶδ', ἐρεῖ τε συγγόνῳ παρόντα σε.
ΜΕ. θνῄσκοιμεν ἄν· λαθεῖν γὰρ οὐχ οἷόν τέ μοι.
ΕΛ. ἴσως ἂν ἀναπείσαιμεν ἱκετεύοντέ νιν
ΜΕ. τί χρῆμα δρᾶσαι; τίν' ὑπάγεις μ' ἐς ἐλπίδα;
ΕΛ. παρόντα γαίᾳ μὴ φράσαι σε συγγόνῳ.
ΜΕ. πείσαντε δ' ἐκ γῆς διορίσαιμεν ἂν πόδα;
ΕΛ. κοινῇ γ' ἐκείνῃ ῥᾳδίως, λάθρᾳ δ' ἂν οὔ.
ΜΕ. σὸν ἔργον, ὡς γυναικὶ πρόσφορον γυνή.
ΕΛ. ὡς οὐκ ἄχρωστα γόνατ' ἐμῶν ἕξει χερῶν.
ΜΕ. φέρ', ἢν δὲ δὴ νῷν μὴ ἀποδέξηται λόγους;
ΕΛ. θανῇ· γαμοῦμαι δ' ἡ τάλαιν' ἐγὼ βίᾳ.
ΜΕ. προδότις ἂν εἴης· τὴν βίαν σκήψασ' ἔχεις.
ΕΛ. ἀλλ' ἁγνὸν ὅρκον σὸν κάρα κατώμοσα
ΜΕ. τί φής; θανεῖσθαι; κοὔποτ' ἀλλάξεις λέχη;
ΕΛ. ταὐτῷ ξίφει γε· κείσομαι δὲ σοῦ πέλας.
ΜΕ. ἐπὶ τοῖσδε τοίνυν δεξιᾶς ἐμῆς θίγε.
ΕΛ. ψαύω, θανόντος σοῦ τόδ' ἐκλείψειν φάος.
ΜΕ. κἀγὼ στερηθεὶς σοῦ τελευτήσειν βίον.
ΕΛ. πῶς οὖν θανούμεθ' ὥστε καὶ δόξαν λαβεῖν;
ΜΕ. τύμβου 'πὶ νώτῳ σὲ κτανὼν ἐμὲ κτενῶ.
πρῶτον δ' ἀγῶνα μέγαν ἀγωνιούμεθα
λέκτρων ὑπὲρ σῶν· ὁ δὲ θέλων ἴτω πέλας·
τὸ Τρωικὸν γὰρ οὐ καταισχυνῶ κλέος
οὐδ' Ἑλλάδ' ἐλθὼν λήψομαι πολὺν ψόγον,
ὅστις Θέτιν μὲν ἐστέρησ' Ἀχιλλέως,
Τελαμωνίου δ' Αἴαντος εἰσεῖδον σφαγάς,

---

825 ἴσως] Kirchhoff, εἴ πως *LG* 827 τὸ παρόντα *G*, τὸ erasum in *L* 829 γ'] Reiske, τ' *LG* | λάθρᾳ δ' ἂν οὔ] L. Dindorf, λάθρα δ' ὁμοῦ *LG*, γρ. οὐδαμοῦ superscr. *l* 830 γυνή] ex Plut. Mor. p. 51 E Brodeau, γύναι *LG* 834 προδότης *LG*, προδότις *l* | τὴν] Scaliger, τὴν δὲ *LG* 836 ἀλλάξεις *G*, ἀλλάξεις mut. in ἀλλάξειν *L* 838 τοῖσδε τοίνυν] Canter, τοῖσδε τοῖς νῦν *L*, τῆσδε τῆς νῦν *G* 840 τελευτήσειν] Musgrave, τελευτήσω *LG* 841 λάβη *G*, λαβεῖν *g* 842 νώτοις Herwerden | κτανὼν] Heath (κτενῶ ex Porsoni sententia Matthiae), κτανεῖ *LG* 845 κλέος] Scaliger, λέχος *LG* 845—54 delet Schenkl

*ἥκει πόσις σοι Μενέλεως ὅδ' ἐμφανής,*
*νεῶν στερηθεὶς τοῦ τε σοῦ μιμήματος.*
*ὦ τλῆμον, οἵους διαφυγὼν ἦλθες πόνους,*
*οὐδ' οἶσθα νόστον οἴκαδ' εἴτ' αὐτοῦ μενεῖς·*
*ἔρις γὰρ ἐν θεοῖς σύλλογός τε σοῦ πέρι*
*ἔσται πάρεδρος Ζηνὶ τῷδ' ἐν ἤματι.*
*Ἥρα μέν, ἥ σοι δυσμενὴς πάροιθεν ἦν,*
*νῦν ἐστιν εὔνους κἀς πάτραν σῶσαι θέλει*
*ξὺν τῇδ', ἵν' Ἑλλὰς τοὺς Ἀλεξάνδρου γάμους*
*δώρημα Κύπριδος ψευδονύμφευτον μάθῃ·*
*Κύπρις δὲ νόστον σὸν διαφθεῖραι θέλει,*
*ὡς μὴ 'ξελεγχθῇ μηδὲ πριαμένη φανῇ*
*τὸ κάλλος Ἑλένης ἠνεμωμένοις γάμοις.*
*τέλος δ' ἐφ' ἡμῖν, εἴθ', ἃ βούλεται Κύπρις,*
*λέξασ' ἀδελφῷ σ' ἐνθάδ' ὄντα διολέσω,*
*εἴτ' αὖ μεθ' Ἥρας στᾶσα σὸν σώσω βίον,*
*κρύψασ' ὁμαίμον', ὅς με προστάσσει τάδε*
*εἰπεῖν, ὅταν γῆν τήνδε νοστήσας τύχῃς.*
*τίς εἶσ' ἀδελφῷ τόνδε σημανῶν ἐμῷ*
*παρόνθ', ὅπως ἂν τοὐμὸν ἀσφαλῶς ἔχῃ;*
*ΕΛ.* *ὦ παρθέν', ἱκέτις ἀμφὶ σὸν πίτνω γόνυ*
*καὶ προσκαθίζω θᾶκον οὐκ εὐδαίμονα*
*ὑπέρ τ' ἐμαυτῆς τοῦδέ θ', ὃν μόλις ποτὲ*
*λαβοῦσ' ἐπ' ἀκμῆς εἰμι κατθανόντ' ἰδεῖν·*
*μή μοι κατείπῃς σῷ κασιγνήτῳ πόσιν*
*τόνδ' εἰς ἐμὰς ἥκοντα φίλτατον χέρας,*
*σῶσον δέ, λίσσομαί σε· συγγόνῳ δὲ σῷ*
*τὴν εὐσέβειαν μὴ προδῷς τὴν σήν ποτε,*
*χάριτας πονηρὰς κἀδίκους ὠνουμένη.*

---

875 *μιμήματος*] H. Stephanus, *τιμήματος LG* 878 *θεοῖς*] Barnes, *θεοῖσ τε* ut vid. *L*, *θεοῖσι lG* 879 fort. *τῇδ' ἐν ἡμέρᾳ*. Cfr. Hec. 44 881 *κεἰς LG* 883 *ψευδονύμφευτον*] Hermann, *ψευδονυμφεύτου LG*, *ψευδονυμφεύτους l* 885 *μὴ 'ξελεγχθῇ*] L. Dindorf, *μήτ' ἐλεγχθῇ LG* 886 *ἠνεμωμένοις*] scripsi (cfr. 32), *οὕνεκ' ὠνητοῖς LG* 887 ἃ] fort. ὃ 888 *σ'*] Reiske, *γ' G*, *γ'* in *L* add. vel rescr. *l* 890 *ὁμαίμον* *L*, *ὁμαίμον'*, scripto ι super *ν'*, *l* 892 *εἶσ' . . σημανῶν*] Scaliger, *εἶσ . . σημανῶ γ' LG* 893 *παρόιτ' L* (eraso *α* super *τ*) et *G* 896 *τοῦδέ τ' LG* 898 *μοι*] Seidler, *μου LG* 899 *φίλτατον*] Cobet, *φιλτάτας LG* 902 *καὶ ἀδίκους L*, *κἀδίκους lG*

[μισεῖ γὰρ ὁ θεὸς τὴν βίαν, τὰ κτητὰ δὲ
κτᾶσθαι κελεύει πάντας οὐκ ἐς ἁρπαγάς.
ἐατέος δ' ὁ πλοῦτος ἄδικός τις ὤν.
κοινὸς γάρ ἐστιν οὐρανὸς πᾶσιν βροτοῖς
καὶ γαῖ', ἐν ᾗ χρὴ δώματ' ἀναπληρουμένους
τἀλλότρια μὴ 'χειν μηδ' ἀφαιρεῖσθαι βίᾳ.]
ἡμᾶς δὲ καιρίως μέν, ἀθλίως δ' ἐμοί,
Ἑρμῆς ἔδωκε πατρὶ σῷ σῴζειν πόσει
τῷδ' ὃς πάρεστι κἀπολάζυσθαι θέλει.
πῶς οὖν θανὼν ἂν ἀπολάβοι; κεῖνος δὲ πῶς
τὰ ζῶντα τοῖς θανοῦσιν ἀποδοίη ποτ' ἄν;
ἤδη τὰ τοῦ θεοῦ καὶ τὰ τοῦ πατρὸς σκόπει·
πότερον ὁ δαίμων χὼ θανὼν τὰ τῶν πέλας
βούλοιντ' ἂν ἢ οὐ βούλοιντ' ἂν ἀποδοῦναι πάλιν;
δοκῶ μέν. οὔκουν χρή σε συγγόνῳ πλέον
νέμειν ματαίῳ μᾶλλον ἢ χρηστῷ πατρί.
εἰ δ' οὖσα μάντις καὶ τὰ θεῖ' ἡγουμένη
τὸ μὲν δίκαιον τοῦ πατρὸς διαφθερεῖς,
τῷ δ' οὐ δικαίῳ συγγόνῳ δώσεις δίκην,
αἰσχρὸν τὰ μέν σε θεῖα πάντ' ἐξειδέναι,
τά τ' ὄντα καὶ μέλλοντα, τὰ δὲ δίκαια μή.
. . . . . . . . . . . . . .
τήν τ' ἀθλίαν ἔμ', οἷσιν ἔγκειμαι κακοῖς,
ῥῦσαι, πάρεργον δοῦσα τοῦτο τῆς τύχης·
Ἑλένην γὰρ οὐδεὶς ὅστις οὐ στυγεῖ βροτῶν·
ἣ κλῄζομαι καθ' Ἑλλάδ' ὡς προδοῦσ' ἐμὸν
πόσιν Φρυγῶν ᾤκησα πολυχρύσους δόμους.
ἢν δ' Ἑλλάδ' ἔλθω κἀπιβῶ Σπάρτης . . ,
κλύοντες εἰσιδόντες ὡς τέχναις θεῶν
ὤλοντ', ἐγὼ δὲ προδότις οὐκ ἄρ' ἢ φίλων,

---

903 βίας G, βίαν g 903—8 delevit Dindorf (905 suspectum habuit Hermann) 906 πᾶσι LG 909 καιρίως] Badham, μακαρίως LG 912 sq. delet Nauck 913 ἀποδοίη ποτ' ἄν] Porson, ἂν ἀποδοίη ποτέ LG 914 ἤδη] Barnes, ἢ (ᾗ) δὴ LG, σὺ δὴ Nauck 915 καὶ ὁ L, χὠ lG 916 ἢ οὐ] Canter, ἢ LG 917 χρή] fort. δεῖ 921 δώσεις χάριν Reiske, σώσεις δίκην Bruhn 923 μέλλοντα, τὰ δὲ δίκαια μή] W. G. Clark, μή, τὰ δὲ δίκαια μὴ εἰδέναι LG Post 923 lacunam indicavit Hermann 924 ἐμέ L, ἔμ' l 929 Σπάρτης πάλιν apogr. Paris., Σπάρτης ποτέ Nauck, fort. Σπάρτης πέδον 931 προδότης G | ἦν LG | οὐκ ἤμην τέκνον (i. e. τέκνων) Choerob. can. II p. 882, 9

πάλιν μ' ἀνάξουσ' ἐς τὸ σῶφρον αὖθις αὖ
ἐδνώσομαί τε θυγατέρ', ἣν οὐδεὶς γαμεῖ,
τὴν δ' ἐνθάδ' ἐκλιποῦσ' ἀλητείαν πικρὰν
ὄντων ἐν οἴκοις χρημάτων ὀνήσομαι.
κεῖ μὲν θανὼν ὅδ' ἐν πυρᾷ κατεσφάγη,
πρόσω σφ' ἀπόντα δακρύοις ἂν ἠγάπων·
νῦν δ' ὄντα καὶ σωθέντ' ἀφαιρεθήσομαι;
μὴ δῆτα, παρθέν', ἀλλά σ' ἱκετεύω τόδε·
δὸς τὴν χάριν μοι τήνδε καὶ μιμοῦ τρόπους
πατρὸς δικαίου· παισὶ γὰρ κλέος τόδε
κάλλιστον, ὅστις ἐκ πατρὸς χρηστοῦ γεγὼς
ἐς ταὐτὸν ἦλθε τοῖς τεκοῦσι τοὺς τρόπους.

ΧΟ. οἰκτροὶ μὲν οἱ παρόντες ἐν μέσῳ λόγοι,
οἰκτρὰ δὲ καὶ σύ. τοὺς δὲ Μενέλεω ποθῶ
λόγους ἀκοῦσαι τίνας ἐρεῖ ψυχῆς πέρι.

ΜΕ. ἐγὼ σὸν οὔτ' ἂν προσπεσεῖν τλαίην γόνυ
οὔτ' ἂν δακρῦσαι βλέφαρα· τὴν Τροίαν γὰρ ἂν
δειλοὶ γενόμενοι πλεῖστον αἰσχύνοιμεν ἄν.
καίτοι λέγουσιν ὡς πρὸς ἀνδρὸς εὐγενοῦς
ἐν ξυμφοραῖσι δάκρυ' ἀπ' ὀφθαλμῶν βαλεῖν.
ἀλλ' οὐχὶ τοῦτο τὸ καλόν, εἰ καλὸν τόδε,
αἱρήσομαι 'γὼ πρόσθε τῆς εὐανδρίας.
ἀλλ', εἰ μὲν ἄνδρα σοι δοκεῖ σῶσαι ξένον
ζητοῦντά γ' ὀρθῶς ἀπολαβεῖν δάμαρτ' ἐμήν,
ἀπόδος τε καὶ πρὸς σῶσον· εἰ δὲ μὴ δοκεῖ,
ἐγὼ μὲν οὐ νῦν πρῶτον, ἀλλὰ πολλάκις
ἄθλιος ἂν εἴην, σὺ δὲ γυνὴ κακὴ φανῇ.
ἃ δ' ἄξι' ἡμῶν καὶ δίκαι' ἡγούμεθα
καὶ σῆς μάλιστα καρδίας ἀνθάψεται,

---

932 αὖ] Canter, ἂν *LG* 933 ἐδνώσομαι] Hermann (ἐδνάσομαι Aldina), ἐδώσομαί *LG*, ἐκδώσομαί *g* 935 ὀνήσομαι] Aldina, ὠνήσομαι *LG* 936 κατεσφάγη] κατέφθιτο Rauchenstein. Fort. κεἰ μὲν μάχης ὅδ' ἐν τροπῇ κατεσφάγη 941. παισὶ Stob. fl. 89, 2, παιδὶ *LG* 942 sq. delet Lenting 943 τῶν τρόπων Reiske, fort. τῶν φρενῶν 944 *ΧΟ.*] L. Dindorf, *ΘΕΟΝ.* *LG* | οἰκτρὸν *LG*, οἰκτροὶ *g* 945 τοὺς] Hermann, τοῦ *LG* 948 fort. οὐ δάκρυσι τέγξαι βλέφαρα 953 'γὼ] Porson, τὸ *LG* | εὐανδρίας *g*, εὐδαιμονίας *LG*, εὐψυχίας Tyrwhitt 955 γ'] μ' Reiske 957 delet Nauck

*τί ταῦτα; δακρύοις ἐς τὸ θῆλυ τρεπόμενος*
*ἐλεινὸς ἦν ἂν μᾶλλον ἢ δραστήριος.*
*κτεῖν᾽, εἰ δοκεῖ σοι· δυσκλεᾶ γὰρ οὐ κτενεῖς·*
*μᾶλλόν γε μέντοι τοῖς ἐμοῖς πιθοῦ λόγοις,*
*ἵν᾽ ᾖς δικαία καὶ δάμαρτ᾽ ἐγὼ λάβω.*
*ΧΟ.* *ἐν σοὶ βραβεύειν, ὦ νεᾶνι, τοὺς λόγους·*
*οὕτω δὲ κρῖνον, ὡς ἅπασιν ἁνδάνῃς.*
*ΘΕΟΝ.* *ἐγὼ πέφυκά τ᾽ εὐσεβεῖν καὶ βούλομαι,*
*φιλῶ τ᾽ ἐμαυτήν, καὶ κλέος τοὐμοῦ πατρὸς*
*οὐκ ἂν μιάναιμ᾽, οὐδὲ συγγόνῳ χάριν*
*δοίην ἂν ἐξ ἧς δυσκλεὴς φανήσεται.*
*ἔνεστι δ᾽ ἱερὸν τῆς δίκης ἐμοὶ μέγα*
*ἐν τῇ φύσει· καὶ τοῦτο Νηρέως πάρα*
*ἔχουσα σῴζειν Μενέλεων πειράσομαι.*
*Ἥρᾳ δ᾽ ἐπείπερ βούλεταί σ᾽ εὐεργετεῖν,*
*ἐς ταὐτὸν οἴσω ψῆφον· ἡ Κύπρις δέ μοι*
*ἵλεως μὲν εἴη, ξυμβέβηκα δ᾽ οὐδαμοῦ.*
*[πειράσομαι δὲ παρθένος μένειν ἀεί.]*
*ἃ δ᾽ ἀμφὶ τύμβῳ τῷδ᾽ ὀνειδίζεις πατρί,*
*ἡμῖν ὅδ᾽ αὐτὸς μῦθος. ἀδικοίημεν ἄν,*
*εἰ μὴ ἀποδώσω· καὶ γὰρ ἂν κεῖνος βλέπων*
*ἀπέδωκεν ἄν σοι τήνδ᾽ ἔχειν, ταύτῃ δὲ σέ.*
*[καὶ γὰρ τίσις τῶνδ᾽ ἐστὶ τοῖς τε νερτέροις*
*καὶ τοῖς ἄνωθεν πᾶσιν ἀνθρώποις. ὁ νοῦς*
*τῶν κατθανόντων ζῇ μὲν οὔ, γνώμην δ᾽ ἔχει*
*ἀθάνατον εἰς ἀθάνατον αἰθέρ᾽ ἐμπεσών.]*
*ὡς οὖν περαίνω μὴ μακράν, σιγήσομαι*

---

991—5 delet Schenkl (991 sq. Herwerden) Ante 991 Theonoae, ante 992 Menelai nota in *G* 991 fort. *τί δ᾽ ἄλλα;* | *δακρύοις LG*, *δακρύεις g* | *τερπόμενος G*, *τρεπόμενος g* 992 *ἐλεινὸς*] L. Dindorf, *ἐλεεινὸς LG* | *δυσκλεᾶ*] Barnes (*δυσκλεεῖς* F. Gu. Schmidt), *δυσκλεῶς LG* 994 *πιθοῦ*] Dindorf, *πείθου LG* 997 *κρίνειν G*, *κρῖνον g* 1001 *φανήσεται*] Badham, *φανήσομαι LG* 1002 *ἱρὸν G* 1004 v. suspectus. *Μενέλεων*] Brodeau, *μενέλεως LG* 1005 *Ἥρᾳ*] Barnes, *ἥρα LG* 1006 *Κύπρις*] Canter, *χάρις LG* | *δ᾽ ἐμοὶ LG* 1007 *ξυμβέβηκα*] Herwerden, *συμβέβηκε LG* 1008 delevit Badham 1009 fort. *πατρός* 1010 *αὐτὸς*] Matthiae, *αὑτὸς LG* | *ἀδικοίην νιν ἂν* Porson 1012 *τήνδ᾽*] Reiske, *τήν γ᾽ LG* 1013—6 delevit Dindorf 1013 *τίσεις G*, *τίσις g* 1017 *περαίνω*] H Stephanus, *παραινῶ LG*

ἅ μου καθικετεύσατ', οὐδὲ μωρίᾳ
ξύμβουλος ἔσομαι τῇ κασιγνήτου ποτέ.
εὐεργετῶ γὰρ κεῖνον οὐ δοκοῦσ' ὅμως,
ἐκ δυσσεβείας ὅσιον εἰ τίθημί νιν.
αὐτοὶ μὲν οὖν τιν' ἔξοδόν γ' εὑρίσκετε,
ἐγὼ δ' ἀποστᾶσ' ἐκποδὼν σιγήσομαι.
ἐκ τῶν θεῶν δ' ἄρχεσθε χἰκετεύετε
τὴν μέν σ' ἐᾶσαι πατρίδα νοστῆσαι Κύπριν,
Ἥρας δὲ τὴν ἔννοιαν ἐν ταὐτῷ μένειν
ἣν ἐς σὲ καὶ σὸν πόσιν ἔχει σωτηρίας.
σὺ δ', ὦ θανών μοι πάτερ, ὅσον γ' ἐγὼ σθένω,
οὔποτε κεκλήσῃ δυσσεβὴς ἀντ' εὐσεβοῦς.
*ΧΟ.* οὐδείς ποτ' ηὐτύχησεν ἔκδικος γεγώς,
ἐν τῷ δικαίῳ δ' ἐλπίδες σωτηρίας.
*ΕΛ.* Μενέλαε, πρὸς μὲν παρθένου σεσώμεθα·
τοὐνθένδε δὴ σὲ τοὺς λόγους φέροντα χρὴ
κοινὴν ξυνάπτειν μηχανὴν σωτηρίας.
*ΜΕ.* ἄκουε δή νυν· χρόνιος εἶ κατὰ στέγας
καὶ συντέθραψαι προσπόλοισι βασιλέως.
*ΕΛ.* τί τοῦτ' ἔλεξας; ἐσφέρεις γὰρ ἐλπίδας
ὡς δή τι δράσων χρηστὸν ἐς κοινόν γε νῷν.
*ΜΕ.* πείσειας ἄν τιν' οἵτινες τετραζύγων
ὄχων ἀνάσσουσ', ὥστε νῷν δοῦναι δίφρους;
*ΕΛ.* πείσαιμ' ἄν· ἀλλὰ τίνα φυγὴν φευξούμεθα
πεδίων ἄπειροι βαρβάρου τ' ὄντες χθονός;
*ΜΕ.* ἀδύνατον εἶπας. φέρε, τί δ', εἰ κρυφθεὶς δόμοις
κτάνοιμ' ἄνακτα τῷδε διστόμῳ ξίφει;
*ΕΛ.* οὐκ ἄν σ' ἀνάσχοιτ' οὐδὲ σιγήσειεν ἂν
μέλλοντ' ἀδελφὴ σύγγονον κατακτενεῖν.

---

1018 ἅ] fort. ὅ 1019 τῇ] Dobree, τοῦ *LG* 1021 ἐκ δυσσεβείας . . νιν] Brodeau, ἐξ εὐσεβείας . . νῦν *LG* 1022 τιν'] Fix, τὴν *LG* | εὑρίσκετ' ἔξοδόν τινα Hermann 1024 καὶ ἱκετεύετε *L*, χ' ἱκετεύετε *lG* 1026 εὔνοιαν ut vid. *G*, ἔννοιαν *g* 1030 εὐτύχησεν *LG* 1032 σεσώσμεθα *LG* 1034 κοινῇ Lenting, fort. κοινοὺς 1035 δὴ νῦν *LG* 1038 χρηστὸν . . νῷν] προσπόλοις κοινούμενος F. Gu. Schmidt, fort. προσπόλων κοινωνίᾳ 1041 πείσαιμ' ἄν] Canter, πείσαιμ' *LG* 1042 πεδίων . . τ'] ἐπὶ τῶνδ', . . γ' F. Gu. Schmidt | ὄντος *G* 1043 *ΜΕ.* ἀδύνατον εἶπας] Matthiae, ἀδύνατον εἶπας. *ΜΕ.* *LG.* Fort. εἶπον 1045 ἄν σ'] Portus, ἂν *LG* 1046 κατακτενεῖν] Dindorf, κατακτανεῖν *LG*

*ΜΕ.* ἀλλ' οὐδὲ μὴν ναῦς ἔστιν ᾗ σωθεῖμεν ἂν
φεύγοντες· ἣν γὰρ εἴχομεν θάλασσ' ἔχει.
*ΕΛ.* ἄκουσον, ἤν τι καὶ γυνὴ λέξῃ σοφόν.
βούλει λέγεσθαι μὴ θανὼν τεθνηκέναι;
*ΜΕ.* κακὸς μὲν ὄρνις· εἰ δὲ κερδανῶ [λέγειν],
ἕτοιμός εἰμι μὴ θανὼν λόγῳ θανεῖν.
*ΕΛ.* καὶ μὴν γυναικείοις σ' ἂν οἰκτισαίμεθα
κουραῖσι καὶ θρήνοισι πρὸς τὸν ἀνόσιον.
*ΜΕ.* σωτηρίας δὲ τοῦτ' ἔχει τί νῷν ἄκος;
παλαιότης γὰρ τῷ λόγῳ γ' ἔνεστί τις.
*ΕΛ.* ὡς δὴ θανόντα σ' ἐνάλιον κενῷ τάφῳ
θάψαι τύραννον τῆσδε γῆς αἰτήσομαι.
*ΜΕ.* καὶ δὴ παρεῖκεν· εἶτα πῶς ἄνευ νεὼς
σωθησόμεσθα κενοταφοῦντ' ἐμὸν δέμας;
*ΕΛ.* δοῦναι κελεύσω πορθμίδ', ᾗ καθήσομεν
κόσμον τάφῳ σῷ πελαγίους ἐς ἀγκάλας.
*ΜΕ.* ὡς εὖ τόδ' εἶπας πλὴν ἕν· εἰ χέρσῳ ταφὰς
θεῖναι κελεύσει σ', οὐδὲν ἡ σκῆψις φέρει.
*ΕΛ.* ἀλλ' οὐ νομίζειν φήσομεν καθ' Ἑλλάδα
χέρσῳ καλύπτειν τοὺς θανόντας ἐναλίους.
*ΜΕ.* τοῦτ' αὖ κατορθοῖς· εἶτ' ἐγὼ συμπλεύσομαι
καὶ συγκαθήσω κόσμον ἐν ταὐτῷ σκάφει.
*ΕΛ.* σὲ καὶ παρεῖναι δεῖ μάλιστα τούς τε σοὺς
πλωτῆρας οἵπερ ἔφυγον ἐκ ναυαγίας.
*ΜΕ.* καὶ μὴν ἐάνπερ ναῦν ἐπ' ἀγκύρας λάβω,
ἀνὴρ παρ' ἄνδρα στήσεται ξιφηφόρος.
*ΕΛ.* σὲ χρὴ βραβεύειν πάντα· πόμπιμοι μόνον

---

1049—85 personarum vices lineolis notatae in *L* 1049 *καὶ* om. *G* | *λέξω* L. Dindorf 1050 *τεθνηκέναι*] Cobet, *λόγω θανεῖν LG* 1051 *κερδανῶ κλύων* Heimsoeth, *κερδανῶ λόγῳ* Gloël, fort. *κέρδος ἐν λόγῳ* 1052 *μὴ θάνω* Mekler 1053 *γυναικείους G* | *σ' ἂν*] Hermann, *ἂν LG* 1056 Menelao continuat *G*, Helenae tribuit *L* 1057 lineola in *L* erasa videtur 1059 *παρεῖκεν*] Aldina, *παρῆκεν LG* 1060 *κενοταφοῦντ'*, superscr. *δῡ* (i. e. *δυικῶς*), *L* 1061 *καθήσομεν*] Heath, *καθήσομαι LG* 1062 *πελαγίους*] Fritzsche, *πελαγίας LG* | *ἐς* hic *LG* 1064 *κελεύσει*] L. Dindorf, *κελεύει LG* | *σε L*, *σ' lG*, *ἐς* Markland 1067 *ταῦτ' οὖν* ut vid. *L*, *τοῦτ' αὖ lG* 1069 *καὶ*] *γὰρ* Dobree 1071 *ἐφ' ἁλμυρᾶς* Musgrave 1073 *πάντα*] *ταῦτα* Kirchhoff | *πόμποιμι G*

*ἔρωτας ἀπάτας δόλιά τ' ἐξευρήματα*
*ἀσκοῦσα φίλτρα θ' αἱματηρὰ δωμάτων;*
*εἶθ' ἦσθα μετρία· τἄλλα δ' ἡδίστη θεῶν*
*πέφυκας ἀνθρώποισιν· οὐκ ἄλλως λέγω.*

*ΧΟ.* *σὲ τὰν ἐναύλοις ὑπὸ δενδροκόμοις* stroph.
*μουσεῖα καὶ θάμνους ἐνίζουσαν ἀναβοάσω,*
*σὲ τὰν ἀοιδοτάταν*
*ὄρνιθα μελῳδὸν ἀηδόνα δακρυόεσσαν,*
*ἔλθ' ὦ διὰ ξουθᾶν γενύων ἐλελιζομένα*
*θρήνοις ἐμοῖς ξυνεργός,*
*Ἑλένας μελέας πόνους*
*τὸν Ἰλιάδων τ' ἀει-*
*δούσᾳ δακρυόεντα πότμον*
*Ἀχαιῶν ὑπὸ λόγχαις·*
*ὅτ' ἔμολεν ἔμολε, πεδία βαρβάρῳ πλάτᾳ*
*ὃς ἔδραμε ῥόθια, μέλεα Πριαμίδαις ἄγων*
*Λακεδαίμονος ἄπο λέχεα*
*σέθεν, ὦ Ἑλένα, Πάρις αἰνόγαμος*
*πομπαῖσιν Ἀφροδίτας.*

*πολλοὶ δ' Ἀχαιῶν δορὶ καὶ πετρίναις* antistr.
*ῥιπαῖσιν ἐκπνεύσαντες Ἅιδαν μέλεον ἔχουσιν,*
*τάλαιναν ἀλόχων*
*κείραντες ἔθειραν· ἄνυμφα δὲ μέλαθρα κεῖται·*
*πολλοὺς δὲ πυρσεύσας φλογερὸν σέλας ἀμφιρύταν*

---

1104 *φίλτα LG*, *φίλτρα lg* | fort. *δώμασιν* 1105 *εἶθ'*] F. Gu. Schmidt, *εἰ δ' LG* | *δ'*] scripsi, *γ' LG* 1107 *ἐναύλοις*] Scaliger, *ἐναυλείοις LG* 1108 *μουσία G*, *μουσεῖα g* | *θάμνους*] Herwerden, *θάκους LG* | *ἀνεβόασα* Musgrave 1110 *δακρυόεσαν G* 1111 *ἔλθ' ὦ*] Musgrave, *ἐλθὲ LG* 1112 *ἐμῶν LG*, *ἐμοῖς l* | *θρήνων ἐμοὶ* Wilamowitz | *ξυνῳδός* Nauck 1113 *μελέους* Hermann 1114 sq. *ἀειδούσᾳ*] Lachmann, *ἀείδουσα LG* 1115 *πότμον*] Badham, *πόνον LG* 1116 *Ἀχαιῶν*] fort. *δαΐων* 1117 post 1118 ponunt *LG*, literis superscriptis ordinem restituit *l* 1117 *ὅτ'*] Lenting, *ὃς LG* 1119 *Λακεδαίμονος ἄπο*] fort. *Λακεδαιμονόθεν* 1120 *ὦ Ἑλένα*] Seidler, *ὡς εἶλε LG* | *ἐνόγαμος G*, *αἰνόγαμος g*, fort. *αἰνόπαρις* 1121 *πομπᾶσιν G*, *πομπαῖσιν g* 1122 *δορὶ LG*, *ἐν δορὶ l* 1124 *τάλαιναν LG*, *τάλαιναν τῶν l*, *τάλαιναν ὧν* Matthiae, fort. *ταλαντάτων* 1126 sq. *πολλοὺς LG*, *πολλὰ l* | *ἀμφιρύταν*] Matthiae, *ἀμφὶ ῥυτὰν LG*. Fort. *ἀμφιρύτας νάσου καθεῖλ'*

*Εὔβοιαν εἱλ' Ἀχαιῶν*
*μονόκωπος ἀνήρ, πέτραις*
*Καφηρίσιν ἐμβαλὼν*
*Αἰγαίαις τ' ἐνάλοισιν ἀκταῖς*
*δόλιον ἀστέρα λάμψας.*
*ἀλίμενα δ' ὄρεα Μάλεα, βαρβάρου στολᾶς*
*ὅτ' ἔσυτο πατρίδος ἀποπρὸ χειμάτων πνοᾷ*
*γέρας οὐ γέρας, ἀλλ' ἔριν*
*Δαναῶν νεφέλας ἐπὶ ναυσὶν ἄγων*
*εἴδωλον, ἔργον Ἥρας.*

*ὅ τι θεὸς ἢ μὴ θεὸς ἢ τὸ μέσον,* stroph.
*τίς φύσιν ἐρευνήσας βροτῶν*
*μακρότατον πέρας ηὗρεν,*
*ὃς τὰ θεῶν ἐσορᾷ*
*δεῦρο καὶ αὖθις ἐκεῖσε*
*καὶ πάλιν ἀντιλόγοις*
*πηδῶντ' ἀνελπίστοις τύχαις;*
*σὺ Διὸς ἔφυς, ὦ Ἑλένα, θυγάτηρ·*
*πτανὸς γὰρ ἐν κόλποις σε Λή-*
*δας ἐτέκνωσε πατήρ.*
*καὶ ἰαχὴ σὴ καθ' Ἑλλανίαν*
*προδότις ἄπιστος ἄδικος ἄθεος· οὐδ' ἔχω*
*τί τὸ σαφές, ὅ τι ποτ' ἐν βροτοῖς*
*τὸ τῶν θεῶν ἔπος ἀλαθὲς ηὗρον.*

---

1127 *εἶλες* *G* et ut vid. *L*, *εἱλ'* *l* 1129 *Καφηρίσιν*] Heath, *καφηρίαις* *LG* 1130 *τ'* delet Herwerden | fort. *Αἰγαίοις* | *ἐνάλοισιν*] Badham, *ἐναλίοις* *LG* 1132 sq. *Μάλεα*] Hermann, *μέλεα* *LG* | *βαρβάρους ἅλας* Bamberger | *ὅτ' ἔσυτο*] Musgrave (*ὅτε σύτο* Canter), *ὅτε σὺ τὸ* *LG*. Fort. *βαρβάρους δ' ἅλας ποτέσυτο* (*ποτέσυτο* Herwerden) | *χειμάτων*] Heath, *χαυμάτων* *LG* 1134 *γέρας οὐ γέρας*] Badham, *τέρας οὐ τέρας* *LG* 1135 *νεφέλαν* *LG*, *νεφέλας* *l* 1136 *ἔργον*] F. Gu. Schmidt, *ἱερὸν* *LG* 1138 *τίς φύσιν*] Hermann, *τί φὴσ* *LG* | *βροτῶν*] *θνατῶν* Hartung, fort. *θείαν* 1139 fort. *μακροτάταν* | *ηὗρεν* Hermann, *εὑρεῖν* *LG* 1141 *δεῦρο*] Dobree, *δεινὰ* *LG* 1142 *ἀμφιλόγοις* Dobree 1147 *καὶ ἰαχὴ σὴ* *Lg*, *καὶ ἰαχὴ σὺ* *G*, *κἄτ' ἰαχήθης* Hermann, *νῦν δ' ἰάχησαι* Dindorf, fort. *καί σ' εἶχεν ἀχὰ* 1148 *προδότις ἄπιστος ἄδικος*] Hermann, *ἀδίκως* (mut. in *ἄδικος* *l*) *προδότης* (mut. in *προδότις*) *ἄπιστος ἄδικος* *LG*, *ἄδικος* circulo circumdedit *l* 1150 *τὸ τῶν* (*τῶν* delevit *l*) *θεῶν* *LG*, *ἀμφὶ θεῶν* Kirchhoff, verba fortasse delenda | *εὗρον* *LG*

ἄφρονες ὅσοι τὰς ἀρετὰς πολέμῳ antistr.
κτᾶσθε δορὸς ἀλκαίου λόγχαις,
οὐ καταπαυόμενοι πό-
νους θνατῶν ἀπαθῶς.
εἰ γὰρ ἅμιλλα κρινεῖ νιν
αἵματος, οὔποτ' ἔρις
λείψει κατ' ἀνθρώπων πόλεις.
αἳ Πριαμίδος γᾶς ἔλιπον θαλάμους,
ἐξὸν διορθῶσαι λόγοις
σὰν ἔριν, ὦ Ἑλένα.
νῦν δ' οἳ μὲν Ἅιδᾳ μέλονται κάτω,
τείχεα δέ, φλογμὸς ὥστε Διός, ἐπέσυτο φλόξ,
ἐπὶ δὲ πάθεα πάθεσι φέρεις
ἀθλίοις συμφοραῖς αἰλίνοις.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ὦ χαῖρε, πατρὸς μνῆμ'· ἐπ' ἐξόδοισι γὰρ
ἔθαψα, Πρωτεῦ, σ' ἕνεκ' ἐμῆς προσρήσεως·
ἀεὶ δέ σ' ἐξιών τε κἀσιὼν δόμους
Θεοκλύμενος παῖς ὅδε προσεννέπω, πάτερ.
ὑμεῖς μὲν οὖν κύνας τε καὶ θηρῶν βρόχους,
δμῶες, κομίζετ' ἐς δόμους τυραννικούς·
ἐγὼ δ' ἐμαυτὸν πόλλ' ἐλοιδόρησα δή·
οὐ γάρ τι θανάτῳ τοὺς κακοὺς κολάζομεν.
καὶ νῦν πέπυσμαι φανερὸν Ἑλλήνων τινὰ
ἐς γῆν ἀφῖχθαι καὶ λεληθέναι σκοπούς,
ἤτοι κατόπτην ἢ κλοπαῖς θηρώμενον
Ἑλένην· θανεῖται δ', ἤν γε δὴ ληφθῇ μόνον.
ἔα·

---

1151 ἄφονες *G*, ἄφρονες *g* 1152 sq. δορὸς τ' *LG*, δορὸς *l* | λόγχαις οὐ] scripsi, λόγχαισι *LG* 1155 ἢ γὰρ *G* | κρινεῖ Heath, κρίνει *LG* 1158 ᾇ (ᾇ iam Reiske) Πριαμίδαι Camper, καὶ Πριαμίδαι Hartung | θαλάμους] fort. θεράπνας 1162 φλογμὸς in apogr. Paris., φλογερὸς *LG* | ἐπέσσυτο *LG*, ἐπέσυτο *l* 1163 πάθεσι πάθεα Schenkl
1164 ἀθλίοις *LG*, post ἀθλίοις scripserat τι λείπει *l*, quod deletum, ἐν ἀθλίοις *l*, delet Heath | αἰλίνοις (factum ex ἰλίνοις) *L*, γρ. ἰλίοις superscr. *l*, αἰλίνοις *G*, ἐλεινοῖς Nauck (debebat ἐλειναῖς scribere) 1166 ἔθρεψα *G*, ἔθαψα *g* 1168 προσεννέπω] Lenting, προσεννέπει *LG* 1172 θανάτῳ] πάντας Herwerden

ΘΕΟΚ. θανάτῳ δὲ ποίῳ φησὶ Μενέλεων θανεῖν;
ΕΛ. οἰκτρόταθ' ὑγροῖσιν ἐν κλυδωνίοις ἁλός.
ΘΕΟΚ. ποῦ βαρβάροισι πελάγεσιν ναυσθλούμενον;
ΕΛ. Λιβύης ἀλιμένοις ἐκπεσόντα πρὸς πέτραις.
ΘΕΟΚ. καὶ πῶς ὅδ' οὐκ ὄλωλε κοινωνῶν πλάτης;
ΕΛ. ἐσθλῶν κακίους ἐνίοτ' εὐτυχέστεροι.
ΘΕΟΚ. λιπὼν δὲ ναὸς ποῦ πάρεστιν ἔκβολα;
ΕΛ. ὅπου κακῶς ὄλοιτο, Μενέλεως δὲ μή.
ΘΕΟΚ. ὄλωλ' ἐκεῖνος· ἦλθε δ' ἐν ποίῳ σκάφει;
ΕΛ. ναῦταί σφ' ἀνείλοντ' ἐντυχόντες, ὡς λέγει.
ΘΕΟΚ. ποῦ δὴ τὸ πεμφθὲν ἀντὶ σοῦ Τροίᾳ κακόν;
ΕΛ. νεφέλης λέγεις ἄγαλμ'; ἐς αἰθέρ' οἴχεται.
ΘΕΟΚ. ὦ Πρίαμε καὶ γῆ Τρῳάς, ὡς ἔρρεις μάτην.
ΕΛ. κἀγὼ μετέσχον Πριαμίδαις δυσπραξίας.
ΘΕΟΚ. πόσιν δ' ἄθαπτον ἔλιπεν ἢ κρύπτει χθονί;
ΕΛ. ἄθαπτον· οἲ ἐγὼ τῶν ἐμῶν τλήμων κακῶν.
ΘΕΟΚ. τῶνδ' εἵνεκ' ἔταμες βοστρύχους ξανθῆς κόμης;
ΕΛ. φίλος γάρ ἐστιν ὅς ποτ' ἐστὶν ἐνθάδ' ὤν.
ΘΕΟΚ. ὀρθῶς μὲν ἥδε συμφορὰ δακρύεται.
ΕΛ. ἐν εὐμαρεῖ γοῦν σὴν κασιγνήτην λαθεῖν.
ΘΕΟΚ. οὐ δῆτα. πῶς οὖν; τόνδ' ἔτ' οἰκήσεις τάφον;
ΕΛ. τί κερτομεῖς με, τὸν θανόντα δ' οὐκ ἐᾷς;
ΘΕΟΚ. πιστὴ γὰρ εἶ σὺ σῷ πόσει φεύγουσά με.
ΕΛ. ἀλλ' οὐκέτ'· ἤδη δ' ἄρχε τῶν ἐμῶν γάμων.
ΘΕΟΚ. χρόνια μὲν ἦλθεν, ἀλλ' ὅμως αἰνῶ τάδε.
ΕΛ. οἶσθ' οὖν ὃ δρᾶσον; τῶν πάρος λαθώμεθα.
ΘΕΟΚ. ἐπὶ τῷ; χάρις γὰρ ἀντὶ χάριτος ἐλθέτω.

---

1208 θανάτῳ] fort. μόρῳ 1209 οἰκτρόταθ' ὑγροῖσιν ἐν] Hermann, οἰκτρότατον ὑγροῖσι *LG* 1210 πελάγεσι *LG*, πελάγεσιν *l* 1212 κοινωνῶν πλάτης *G*, κοινῶν πλάταις *L*, ῶν super ῶν et ης super αις scr. *l* 1213 ἐσθλῶ *G*, ἐσθλῶν *g* 1214—7 delet F. Gu. Schmidt 1216 πῶς δ' ὧδ' ἐκεῖνος ἦλθε κἀν Reiske (ὅδ' οὖν ἐκεῖθεν ἦλθεν ἐν ποίῳ σκάφει; Herwerden) 1217 ἀνείλοντ'] Cobet, ἀνεῖλον *LG* 1218 δή] Scaliger, δὲ *LG* 1219 ἄγαλμα *LG* 1220 ὡς ἔρρεις] Scaliger, ἔρρεις *LG* 1223 οἱ ἐγὼ *LG*, οἲ 'γὼ *g* 1224 οὕνεκ' *LG* | ἔτεμες Dindorf 1225 fort. γάρ ἐστι πόντιός τε κἀνθάδ' ὤν 1227 λαθεῖν] Jacobs, θανεῖν *LG* 1230 εἶ σὺ] Elmsley, ἐσσὶ *LG* | γὰρ οὖσα . . φεύγεις ἐμέ Paley (ἐμέ Matthiae) 1231 fort. τῶν λέκτρων ἐμῶν 1232 ἦλθεν] Musgrave, ἦλθες *LG* 1233 λαθώμεθα] Schaefer, λαθοίμεθα *LG* 1234 sq. v. suspecti

*ΕΛ.* σπονδὰς τέμωμεν καὶ διαλλάχθητί μοι.
*ΘΕΟΚ.* μεθίημι νεῖκος τὸ σόν, ἴτω δ' ὑπόπτερον.
*ΕΛ.* πρός νύν σε γονάτων τῶνδ', ἐπείπερ εἶ φίλος,
*ΘΕΟΚ.* τί χρῆμα θηρῶσ' ἱκέτις ὠρέχθης ἐμοῦ;
*ΕΛ.* τὸν κατθανόντα πόσιν ἐμὸν θάψαι θέλω.
*ΘΕΟΚ.* τί δ'; ἔστ' ἀπόντων τύμβος; ἢ θάψεις σκιάν;
*ΕΛ.* Ἕλλησίν ἐστι νόμος, ὃς ἂν πόντῳ θάνῃ,
*ΘΕΟΚ.* τί δρᾶν; σοφοί τοι Πελοπίδαι τὰ τοιάδε.
*ΕΛ.* κενοῖσι θάπτειν ἐν πέπλων ὑφάσμασιν.
*ΘΕΟΚ.* κτέριζ'· ἀνίστη τύμβον οὗ χρήζεις χθονός.
*ΕΛ.* οὐχ ὧδε ναύτας ὀλομένους τυμβεύομεν.
*ΘΕΟΚ.* πῶς δή; λέλειμμαι τῶν ἐν Ἕλλησιν νόμων.
*ΕΛ.* ἐς πόντον ὅσα χρὴ νέκυσιν ἐξορμίζομεν.
*ΘΕΟΚ.* τί σοι παράσχω δῆτα τῷ τεθνηκότι;
*ΕΛ.* ὅδ' οἶδ', ἐγὼ δ' ἄπειρος, εὐτυχοῦσα πρίν.
*ΘΕΟΚ.* ὦ ξένε, λόγων μὲν κληδόν' ἤνεγκας φίλην.
*ΜΕ.* οὔκουν ἐμαυτῷ γ' οὐδὲ τῷ τεθνηκότι.
*ΘΕΟΚ.* πῶς τοὺς θανόντας θάπτετ' ἐν πόντῳ νεκρούς;
*ΜΕ.* ὡς ἂν παρούσης οὐσίας ἕκαστος ᾖ.
*ΘΕΟΚ.* πλούτου λέγ' εἵνεχ' ὅ τι θέλεις ταύτης χάριν.
*ΜΕ.* προσφάζεται μὲν αἷμα πρῶτα νερτέροις.
*ΘΕΟΚ.* τίνος; σύ μοι σήμαινε, πείσομαι δ' ἐγώ.
*ΜΕ.* αὐτὸς σὺ γίγνωσκ'· ἀρκέσει γὰρ ἂν διδῷς.
*ΘΕΟΚ.* ἐν βαρβάροις μὲν ἵππον ἢ ταῦρον νόμος.
*ΜΕ.* διδούς γε μέντοι δυσγενὲς μηδὲν δίδου.
*ΘΕΟΚ.* οὐ τῶνδ' ἐν ἀγέλαις ὀλβίαις σπανίζομεν.
*ΜΕ.* καὶ στρωτὰ φέρεται λέκτρα σώματος κενά.
*ΘΕΟΚ.* ἔσται· τί δ' ἄλλο προσφέρειν νομίζεται;
*ΜΕ.* χαλκήλαθ' ὅπλα· καὶ γὰρ ἦν φίλος δορί.

---

1236 *μεθῆκα* Cobet 1237 *πρὸς νῦν LG* 1243 *πέπλων*] Scaliger, *πέπλοις LG* | *ὑφάσμασι LG*, *ὑφάσμασιν l* 1246 sq. om. *G* 1246 *πῶς δαί L*. Cfr. El. 978. *ἕλλησι L*, *ἕλλησιν l* 1247 *ἐξορίζομεν* Jerram 1249 *ὅδ'*] Hartung, *οὐκ LG* 1253—78 singulis versibus lineola praefixa in *L* 1253 *παρούσης*] *κυρήσας* Stadtmueller 1254 *οὕνεχ' LG* 1255 *προσφάξεται G* 1257 *γίνωσκ' LG* | *ἀρκέσει . . διδῷς*] Barnes, *ἀρκέσεις . . δίδως LG*, *ἀρκέσεις . . διδῷς g* 1258 *ἵππων ἢ ταύρων G*, *ἵππον ἢ ταῦρον g* 1259 *μέντοι*] Nauck, *μὲν δὴ LG* 1260 fort. *ὀλβίοις* 1261 *φέρεται*] Canter, *φέρετε LG* 1263 *χαλκήλατα LG*, *χαλκήλατ' l*, *χαλκήλαθ' g* | *ἦν Ἄρει φίλος* Nauck

ΘΕΟΚ. ἄξια τάδ' ἔσται Πελοπιδῶν ἃ δώσομεν.
ΜΕ. καὶ τἄλλ' ὅσα χθὼν καλὰ φέρει βλαστήματα.
ΘΕΟΚ. πῶς οὖν; ἐς οἶδμα τίνι τρόπῳ καθίετε;
ΜΕ. ναῦν δεῖ παρεῖναι κἀρετμῶν ἐπιστάτας.
ΘΕΟΚ. πόσον δ' ἀπείργεις μῆκος ἐκ γαίας δόρυ;
ΜΕ. ὥστ' ἐξορᾶσθαι ῥόθια χερσόθεν μόλις.
ΘΕΟΚ. καὶ δὴ τόδ' Ἑλλὰς νόμιμον ἐκ τίνος σέβει;
ΜΕ. ὡς μὴ πάλιν γῇ λύματ' ἐκβάλῃ κλύδων.
ΘΕΟΚ. Φοίνισσα κώπη ταχύπορος γενήσεται.
ΜΕ. καλῶς ἂν εἴη Μενέλεῴ τε πρὸς χάριν.
ΘΕΟΚ. οὔκουν σὺ χωρὶς τῆσδε δρῶν ἀρκεῖς τάδε;
ΜΕ. μητρὸς τόδ' ἔργον ἢ γυναικὸς ἢ τέκνων.
ΘΕΟΚ. ταύτης ὁ μόχθος, ὡς λέγεις, θάπτειν πόσιν.
ΜΕ. ἐν εὐσεβεῖ γοῦν νόμιμα μὴ κλέπτειν νεκρῶν.
ΘΕΟΚ. ἴτω· πρὸς ἡμῶν ἄλοχον εὐσεβῆ τρέφειν.
ἐλθὼν δ' ἐς οἴκους ἐξελοῦ κόσμον νεκρῷ·
καὶ σ' οὐ κεναῖσι χερσὶ γῆς ἀποστελῶ,
δράσαντα τῇδε πρὸς χάριν· φήμας δέ μοι
ἐσθλὰς ἐνεγκὼν γ' ἀντὶ τῆς ἀχλαινίας
ἐσθῆτα λήψῃ σῖτά θ', ὥστε σ' ἐς πάτραν
ἐλθεῖν, ἐπεὶ νῦν γ' ἀθλίως ἔχονθ' ὁρῶ.
σὺ δ', ὦ τάλαινα, μὴ 'πὶ τοῖς ἀνηνύτοις
τρύχου σεαυτήν· Μενέλεως δ' ἔχει πότμον,
κοὐκ ἂν δύναιτο ζῆν ὁ κατθανὼν πόσις.
ΜΕ. σὸν ἔργον, ὦ νεᾶνι· τὸν παρόντα μὲν
στέργειν πόσιν χρή, τὸν δὲ μηκέτ' ὄντ' ἐᾶν·
ἄριστα γάρ σοι ταῦτα πρὸς τὸ τυγχάνον.

---

1267 ναῦν] Canter, νῦν *LG* | δεῖ *L*, δὴ *G* | καὶ ἐρετμῶν *L*, καὶ 'ρετμῶν *lG* 1268 πόσον (ο non perspicuum ita ut ι legi possit) *L*, πόσιν *G*, πόσον *g* | ἀπείργεις] scripsi, ἀπείργει *LG* 1270 καὶ] scripsi, τί *LG* 1271 γῇ λύματ'] κτερίσματ' Rauchenstein, fort. ἐναγίσματ' | ἐκβάλλῃ apogr. Paris. 1272 ταχυπόρος *LG* 1273 τε] Reiske, γε *LG* 1276 μόχος *G*, μόχθος *g* 1278 ἴτω] in marg. ἤτω γράφεται· ἤτω ἡ δόξα κυρίου εἰς τοὺς αἰῶνας *L* 1279 ἐξελοῦ] Badham, ἐξελῶ *LG* 1281 δ' ἐμοί *LG* 1282 γ' (ita scr. ut οὐ legi possit) *L*, οὐγ *G*, γ' delet Hermann | τῆς] τῆσδ' Hartung 1283 θ'] τ' *LG* 1285 τοῖσδ' ἀνηνύτως Kirchhoff 1286 τρύχου σεαυτήν] Scaliger (τρύχου σὺ σαυτήν Aldina), τρύχουσα σαυτήν *LG* 1287 πόσις] fort. νεκρός 1289 πόσιν χρή] ξύνευνον Hartung 1290 ἄριστα] fort. ἀρωγὰ

δρόμων δ' ὅτε πολυπλανήτων — antistr.
μάτηρ ἔπαυσε πόνους,
ματεύουσα φίλας
θυγατρὸς ἁρπαγὰς δολίους,
χιονοθρέμμονάς γ' ἐπέρασ'
Ἰδαιᾶν Νυμφᾶν σκοπιάς·
ῥίπτει δ' ἐν πένθει
πέτρινα κάτα δρία πολυνιφέα·
βροτοῖσι δ' ἄχλοα πεδία γᾶς
οὐ καρπίζουσ' ἀρότοις
λαῶν φθείρει γενεάν·
ποίμναις δ' οὐχ ἵει θαλερὰς
βοσκὰς εὐφύλλων ἑλίκων·
πόλεων δ' ἐπέλειπε βίος,
οὐδ' ἦσαν θεῶν θυσίαι,
βωμοῖς τ' ἄφλεκτοι πέλανοι·
πηγὰς δ' ἀμπαύει δροσερὰς
λευκῶν ἐκβάλλειν ὑδάτων
πένθει παιδὸς ἀλάστῳ.

ἐπεὶ δ' ἔπαυσ' εἰλαπίνας — stroph.
θεοῖς βροτείῳ τε γένει,
Ζεὺς μειλίσσων στυγίους
ματρὸς ὀργὰς ἐνέπει·
βᾶτε, σεμναὶ Χάριτες,
ἴτε, τᾷ περὶ παρθένῳ
Δηοῖ θυμωσαμένᾳ

1319 *δρόμων*] Nauck, *δρομαίων LG* 1320 *πόνους*] scripsi, assumpto *πόνους* ex v. proximo, *πόνων LG* 1321 *ματεύουσα*] Hermann, *μαστεύουσα LG* | *φίλας*] Nauck, *πόνους LG* 1323 *χιονιθρέμονάς G*, *χιονοθρέμμονάς g* | *γ'* (*δ' lg*) *ἐπέρασ'*] *μὲν ἔπερσ'* Hartung (*διέπερσ'* Hermann) 1324 *Ἰδαιᾶν*] Elmsley, *ἰδαίαν LG* | *Νυμφᾶν*] *κορᾶν* Burges 1326 *κάτα*] scripsi, *κατὰ LG* | *δρίους G*, *δρύα g* 1329 *λαῶν*] Barnes, *λαῶν δὲ LG* | *γενεάν*] Seidler, *γένναν LG* 1330 *ποίμναις*] Canter, *ποίμνας LG* 1332 *πόλεων LG*, *πολέων l* | *ἐπέλειπε*] Badham, *ἀπέλιπε LG*, *ἀπέλειπε l* 1334 fort. *βωμοί τ' ἄφλεκτοι πελάνων* 1335 *δ'*] Hartung, *τ' LG* 1336 *ἐκβάλλειν LG*, *ἐκβαλεῖν l*, fort. *ἐκβλύζειν* 1337 *ἀλάστῳ*] L. Dindorf, *ἀλάστωρ LG*. Versui *περισσόν* superscripsit *l* 1339 *μειλίσσω G* 1340 *ἐνέπει*] Heath, *ἐννέπει LG* 1342 *τᾷ*] Musgrave, *τὰν LG* 1343 *Δηοῖ*] Canter, *δηίω LG*

*λύπαν ἐξαλλάξατ' ἀλᾶν,*
*Μοῦσαί θ' ὕμνοισι χορῶν.*
*χαλκοῦ δ' αὐδὰν χθονίαν*
*τύπανά τ' ἔλαβε βυρσοτενῆ*
*καλλίστα τότε πρῶτον μακάρων*
*Κύπρις· γέλασεν δὲ θεὰ*
*δέξατό τ' ἐς χέρας*
*βαρύβρομον αὐλὸν*
*τερφθεῖσ' ἀλαλαγμῷ.*

*ὃν οὐ θέμις οὔθ' ὁσία* antistr.
*ἐπύρωσας ἐν θαλάμοις,*
*μῆνιν δ' εἶχες μεγάλας*
*ματρός, ὦ παῖ, θυσίας*
*οὐ σεβίζουσα θεᾶς.*
*μέγα τοι δύναται νεβρῶν*
*παμποίκιλοι στολίδες*
*κισσοῦ τε στεφθεῖσα χλόα*
*νάρθηκας εἰς ἱερούς,*
*ῥόμβου θ' εἱλισσομένου*
*κύκλιος ἔνοσις αἰθερία,*
*βακχεύουσά τ' ἔθειρα Βρομίῳ*
*καὶ παννυχίδες θεᾶς.*
*εὖ δέ νιν ἅμασιν*
*ὑπέρβαλε σελάνα.*
*μορφᾷ μόνον ηὔχεις.*

---

1344 *ἀλᾶν*] Bothe, *ἀλαλᾶ* *LG*, *ἄλας* Hermann 1345 *χορῶν*] Matthiae, *χορόν* *LG* 1346 *χθονίαν*] fort. *χθόνιον* 1347 *τύπανα*] Heath, *τύμπανα* *LG* | *τ' ἔλαβε*] Hermann, *τε λάβετε* *LG* . *βυρσοτενῆ*] Canter, *πυρσογενῆ* *LG* 1348 *καλλίστα . . πρῶτον*] scripsi (*καλλίστα . . πρώτα* scripsit Matthiae), *κάλλιστα . . πρῶτα* *LG* 1349 *γέλασε* *LG* | *δὲ*] scripsi, *τε* *LG* 1350 *χέρα* Hermann 1353 sq. *ὃν*] Canter, *ὧν* *LG*. Fort. *ὃν οὐ θεμιστῶς ὁσίᾳ πύρωσας ἐν σοῖς θαλάμοις* 1355 *εἶχες*] Musgrave, *ἔχεις* *LG* 1357 *θεᾶς*] Heath, *θεοῖς* *LG* 1358 *δύναται*] Musgrave, *δύνανται* *LG* 1360 *κισσοῦ*] Musgrave, *κισσῷ* *LG* 1361 *εἰς*] Heath, *ἐς* *LG* 1362 *ῥόμβου*] Heath (*ῥόμβων* Musgrave), *ῥόμβῳ* *LG* | *εἱλισσομένου*] scripsi (*εἱλισσομένα* Musgrave), *ἑλισσομένα* *LG* 1363 *κύκλιος*] Scaliger, *κυκλίοις* *LG* 1366 *εὖ γε* *G* 1366 sq. *εὖτέ νιν ηὔγασεν ὕπερθε σελάνα* Canter

ΕΛΕΝΗ

*τὰ μὲν κατ' οἴκους εὐτυχοῦμεν, ὦ φίλαι·*
*ἡ γὰρ συνεκκλέπτουσα Πρωτέως κόρη*
*πόσιν παρόντα τὸν ἐμὸν ἱστορουμένη*
*οὐκ εἶπ' ἀδελφῷ· κατθανόντα δ' ἡλίου*
*οὔ φησιν αὐγὰς εἰσορᾶν ἐμὴν χάριν.*
*κάλλιστα δῆτ' ἀνήρπασεν ἐν τύχῃ πόσις·*
*ἃ γὰρ καθήσειν ὅπλ' ἔμελλεν εἰς ἅλα,*
*ταῦτ' ἐμβαλὼν πόρπακι γενναίαν χέρα*
*αὐτὸς κομίζει δόρυ τε δεξιᾷ λαβών,*
*ὡς τῷ θανόντι χάριτα δὴ συνεκπονῶν.*
*προύργου δ' ἐς ἀλκὴν σῶμ' ὅπλοις ἠσκήσατο,*
*ὡς βαρβάρων τρόπαια μυρίων χερὶ*
*στήσων, ὅταν κωπῆρες ἐσβῶμεν σκάφος,*
*πέπλους ἀμείψας ἀντὶ ναυφθόρου στολῆς,*
*ἁγώ νιν ἐξήσκησα καὶ λουτροῖς χρόα*
*ἔδωκα, χρόνια νίπτρα ποταμίας δρόσου.*
*ἀλλ' ἐκπερᾷ γὰρ δωμάτων ὁ τοὺς ἐμοὺς*
*γάμους ἑτοίμους ἐν χεροῖν ἔχειν δοκῶν,*
*σιγητέον μοι· καὶ σὲ προσποιούμεθα*
*εὔνουν κρατεῖν τε στόματος, ἢν δυνώμεθα*
*σωθέντες αὐτοὶ καὶ σὲ συνσῶσαί ποτε.*

ΘΕΟΚΛΥΜΕΝΟΣ.

*χωρεῖτ' ἐφεξῆς, ὡς ἔταξεν ὁ ξένος,*
*δμῶες, φέροντες ἐνάλια κτερίσματα.*
*Ἑλένη, σὺ δ', ἤν σοι μὴ κακῶς δόξω λέγειν,*
*πιθοῦ, μέν' αὐτοῦ· ταὐτὰ γὰρ παροῦσά τε*
*πράξεις τὸν ἄνδρα τὸν σὸν ἤν τε μὴ παρῇς.*

---

1372 *ἡλίου*] scripsi, *ἐν χθονὶ LG* 1374 *δὴ τάδ' ἥρπασ' ἐν τύχῃ* Fix, *δὴ τάδ' ἥρμοσεν τύχῃ* Alf. Hillert, fort. *δ' ἐκ τοῦδ' ἥρπασεν τύχην* (*ἀνήρπασεν τύχην* iam Musgrave) 1376 *πόρπακι*] Victorius, *ὅρπακι L*, *ὄρπακι G* 1378 *χαρτὰ* Stadtmueller | *δῆθεν ἐκπονῶν* Cobet 1381 *στήσων*] anonymus, *θήσων LG* | *εἰσβῶμεν σκάφος* cum ras. duarum literarum (*ἐς*?) ante *σκάφος G*, *εἰσβῶμεν εἰς σκάφος L* 1382 *ἀμείψας*] Hermann, *δ' ἀμείψας LG* 1387 *προσπίτνω μένειν* Rauchenstein, fort. *προστρέπω μένειν* 1393 *πιθοῦ*] Dindorf, *πείθου LG* | *μὲν G*, *μέν' g* 1394 *πράξῃς G*, *πράξεις g*, *δράσεις* Kirchhoff, *τίσεις* Nauck

*ΕΛ.* οὐδὲν σὺ μεμπτός· τῆς τύχης με δεῖ μόνον.
*ΘΕΟΚ.* ἐν σοὶ τόδ', ἣν σὴν εἰς ἔμ' εὔνοιαν διδῷς.
*ΕΛ.* οὐ νῦν διδαξόμεσθα τοὺς φίλους φιλεῖν.
*ΘΕΟΚ.* βούλει ξυνεργῶν αὐτὸς ἐκπέμψω στόλον;
*ΕΛ.* ἥκιστα· μὴ δούλευε σοῖς δούλοις, ἄναξ.
*ΘΕΟΚ.* ἀλλ' εἶα· τοὺς μὲν Πελοπιδῶν ἐῶ νόμους·
καθαρὰ γὰρ ἡμῖν δώματ'· οὐ γὰρ ἐνθάδε
ψυχὴν ἀφῆκε Μενέλεως· ἴτω δέ τις
φράσων ὑπάρχοις τοῖς ἐμοῖς φέρειν γάμων
ἀγάλματ' οἴκους εἰς ἐμούς· πᾶσαν δὲ χρὴ
γαῖαν βοᾶσθαι μακαρίαις ὑμνῳδίαις
ὑμέναιον Ἑλένης κἀμόν, ὡς ζηλωτὸς ὦ.
σὺ δ', ὦ ξέν', ἐλθών, πελαγίους ἐς ἀγκάλας
τῷ τῆσδε πρίν ποτ' ὄντι δοὺς πόσει τάδε,
πάλιν πρὸς οἴκους σπεῦδ' ἐμὴν δάμαρτ' ἔχων,
ὡς τοὺς γάμους τοὺς τῆσδε συνδαίσας ἐμοὶ
στέλλῃ πρὸς οἴκους ἢ μένων εὐδαιμονῇς.
*ΜΕ.* ὦ Ζεῦ, πατήρ τε καὶ σοφὸς κλῄζῃ θεός,
βλέψον πρὸς ἡμᾶς καὶ μετάστησον κακῶν.
ἕλκουσι δ' ἡμῖν πρὸς λέπας τὰς συμφορὰς
σπουδῇ σύναψαι· κἂν ἄκρᾳ θίγῃς χερί,
ἥξομεν ἵν' ἐλθεῖν βουλόμεσθα τῆς τύχης.
ἅλις δὲ μόχθων οὓς ἐμοχθοῦμεν πάρος.
κέκλησθέ μοι, θεοί, πολλά, χάρθ' ὁμοῦ κλύειν
καὶ λύπρ'· ὀφείλω δ' οὐκ ἀεὶ πράσσειν κακῶς,
ὀρθῷ δὲ βῆναι ποδί· μίαν δέ μοι χάριν
δόντες τὸ λοιπὸν εὐτυχῆ με θήσετε.

*ΧΟ.* Φοίνισσα Σιδωνιὰς ὦ stroph.
ταχεῖα κώπα, ῥοθίοισι μήτηρ
εἰρεσία φίλα,

---

1424 om. *G* | *με δεῖ*] Musgrave (*μοι δεῖ* Reiske), *μέλει L* 1433 *χρὴ*] Matthiae, *χρῆν LG* 1434 fort. *μακαρίοις* 1435 *ὦ*] scripsi, *ἢ LG* 1441 *πατὴρ γὰρ* Kirchhoff 1443 *λέπας*] Musgrave, *λύπας LG* 1447—50 suspecti 1447 *χάρθ' ὁμοῦ*] scripsi (*χρῆσθ' ὁμοῦ* Nauck, *χαρτά* Herwerden), *χρῆστ' ἐμοῦ LG* 1448 *λύπρ'*] Scaliger, *λυπρά L*, *λυπρά γ' lG* 1449 *δ' ἐμοὶ* vulgo 1452 *ῥοθίοισι*] Canter, *ῥόθοισι LG* | *μάτηρ* Matthiae, *Νηρέως* Badham 1453 *ἐρεσία LG*, *εἰρεσία l*, *εἰρεσίᾳ* Barnes, *εἰρεσίας* Fritzsche

χοραγὲ τῶν καλλιχόρων
δελφίνων, ὅταν αὔραις
πέλαγος εὐήνεμον ᾖ,
γλαυκὰ δὲ Πόντου θυγάτηρ
Γαλάνεια τάδ' εἴπῃ·
κατὰ μὲν ἱστία πετάσατ' αὔ-
ραις λιπόντες ἐναλίαις,
λάβετε δ' εἰλατίνας πλάτας,
ὦ ναῦται, ἰὼ ναῦται,
πέμποντες εὐλιμένους
Περσείων οἴκων Ἑλέναν ἐπ' ἀκτάς.

ἦ που κόρας ἂν ποταμοῦ antistr.
παρ' οἶδμα Λευκιππίδας ἢ πρὸ ναοῦ
Παλλάδος ἂν λάβοις
χρόνῳ ξυνελθοῦσα χοροῖς
ἢ κώμοις Ὑακίνθου
νύχιον εἰς εὐφροσύναν,
ὃν ἐξαμιλλησάμενος
τροχῷ ἀτέρμονι δίσκου
ἔκανε Φοῖβος, ὅθεν Λακαί-
νᾳ γᾷ βούθυτον ἁμέραν
ὁ Διὸς εἶπε σέβειν γόνος·
μόσχον θ', ἃν λίποιτ' οἴκοις
. . . . . . . . . .
ἇς οὔπω πεῦκαι πρὸ γάμων ἔλαμψαν.

δι' ἀέρος εἴθε ποτανοὶ stroph.
γενοίμεθα . . . Λίβυες
οἰωνοὶ στολάδες

1456 εὐήνεμον] Musgrave, νήνεμον *LG* 1460 αὔραις λείποντες εἰναλίαις Seidler. αὔραις διδόντες Dobree, αὔραις τείνοντες Buresch. Fort. πιμπλάντες εἰναλίοις 1461 εἰλαπίνας *G* | πλάτας om. *G* 1462 ἰὼ om. *LG*, inseruit *l* 1466 πρὸ ναοῦ] Canter, προνάου *LG* 1470 ἐς *LG*, εἰς *l* | εὐφροσύναν] Matthiae, εὐφρόναν *LG* 1472 ἀτέρμονι] Burges, τέρμονι *LG* 1473 ὅθεν] Hermann, τᾶ *LG* 1474 βούθυτον *LG*, ἐβούθυτον *l* | ἡμέραν *LG* 1475 Διὸς] Musgrave, διὸς δ' *LG* 1476 λιπόντ' Musgrave. Lacunam indicavit Heath 1477 πρὸ] Canter, πρὸς *LG* 1478 εἴθε] Barnes, εἰ *LG* 1479 γενοίμεθ' ἵν' αἱ Fix 1480 στολάδες mut. in στοχάδες *L*, στοχάδες *G*

*ὄμβρον χειμέριον λιποῦ-*
*σαι νίσσονται πρεσβυτάτᾳ*
*σύριγγι πειθόμεναι*
*ποιμένος, ὃς ζάβροχα*
*πεδία καρποφόρα τε γᾶς*
*ἐπιπετόμενος ἰαχεῖ.*
*ὦ πταναὶ δολιχαύχενες,*
*σύννομοι νεφέων δρόμου,*
*βᾶσαι Πλειάδας ὑπὸ μέσας*
*Ὠρίωνά τ' ἐννύχιον,*
*καρύξατ' ἀγγελίαν,*
*Εὐρώταν ἐφεζόμεναι,*
*Μενέλεως ὅτι Δαρδάνου*
*πόλιν ἑλὼν δόμον ἥξει.*

*μόλοιτέ ποθ' ἵππιον οἶμα* antistr.
*δι' αἰθέρος ἱέμενοι*
*παῖδες Τυνδαρίδαι,*
*λαμπρῶν ἄστρων ὑπ' ἀέλλαισιν*
*οἳ ναίετ' οὐράνιοι,*
*σωτῆρε τᾶς Ἑλένας*
*γλαυκὸν ἐπ' οἶδμ' ἅλιον*
*κυανόχροά τε κυμάτων*
*ῥόθια πολιὰ θαλάσσας,*
*ναύταις εὐαεῖς ἀνέμων*
*πέμποντες Διόθεν πνοάς·*
*δύσκλειαν δ' ἀπὸ συγγόνου*
*βάλετε βαρβάρων λεχέων,*
*ἃν Ἰδαίων ἐρίδων*

---

1481 *χειμέριον λιποῦσαι*] Hermann, *λιποῦσαι χειμέριον LG* 1482 *νίσονται LG* | *πρεσβυτάτου* Paley 1484 *ζάβροχα*] Malchin, *ἄβροχα LG* 1486 fort. *ἰάχει* 1487 *ὦ πταναὶ*] Canter (*ὦ ποταναὶ* H. Stephanus), *ὁπόταν αἱ LG* 1489 *βᾶσαι*] Herwerden, *βᾶτε LG* | *Πλειάδας*] H. Stephanus, *πελειάδες LG* 1490 *Ὀαρίωνα* Nauck 1492 *Εὐρώταν*] Victorius, *εὐρώπαν LG* 1493 *Μενέλεως*] Matthiae, *μενέλαος LG* 1495 linea circumscripsit addito *περισσόν l* | *ἵππιον*] Elmsley, *ἵππειον LG* | *οἶμα* mut. in *οἶδμα L*, in marg. *γρ. ἅρμα l*, *οἶδμα G* 1497 *τυνδαρίδες LG*, *τυνδαρίδαι l* 1498 sq. *ἀέλαισιν G*, *ἀέλλαισιν g* | *λαμπρῶν οἵτ' ἄστρων ὑπ' ἀέλλαισιν ναίετ' οὐράνιοι* Hermann 1500 *σωτῆρε*] Musgrave, *σωτῆρες LG*

ὃ μὲν γὰρ ἱστόν, ὃ δὲ πλάτην καθίστατο
ταρσόν τε χειρί, λευκά θ' ἱστί' εἰς ἓν ἦν,
πηδάλιά τε ζεύγλαισι παρακαθίετο.
κἀν τῷδε μόχθῳ, τοῦτ' ἄρα σκοπούμενοι,
Ἕλληνες ἄνδρες Μενέλεῳ ξυνέμποροι
προσῆλθον ἀκταῖς ναυφθόροις ἠσθημένοι
πέπλοισιν, εὐειδεῖς μέν, αὐχμηροὶ δ' ὁρᾶν.
ἰδὼν δέ νιν παρόντας Ἀτρέως γόνος
προσεῖπε δόλιον οἶκτον ἐς μέσον φέρων·
ὦ τλήμονες, πῶς ἐκ τίνος νεὼς ποτε
Ἀχαιίδος θραύσαντες ἥκετε σκάφος;
ἆρ' Ἀτρέως παῖδ' ὀλόμενον συνθάψετε,
ὃν Τυνδαρὶς παῖς ἥδ' ἀπόντα κενοταφεῖ;
οἳ δ' ἐκβαλόντες δάκρυα ποιητῷ τρόπῳ,
ἐς ναῦν ἐχώρουν Μενέλεῳ ποντίσματα
φέροντες. ἡμῖν δ' ἦν μὲν ἥδ' ὑποψία
λόγος τ' ἐν ἀλλήλοισι, τῶν ἐπεσβατῶν
ὡς πλῆθος εἴη· διεσιωπῶμεν δ' ὅμως
τοὺς σοὺς λόγους σῴζοντες· ἄρχειν γὰρ νεὼς
ξένον κελεύσας πάντα συνέχεας τάδε.
καὶ τἄλλα μὲν δὴ ῥᾳδίως ἔσω νεὼς
ἐθέμεθα κουφίζοντα· ταύρειος δὲ ποὺς
οὐκ ἤθελ' ὀρθὸς σανίδα προσβῆναι κάτα,
ἀλλ' ἐξεβρυχᾶτ' ὄμμ' ἀναστρέφων κύκλῳ
κυρτῶν τε νῶτα κἀς κέρας παρεμβλέπων
μὴ θιγγάνειν ἀπεῖργεν. ὁ δ' Ἑλένης πόσις
ἐκέλευσεν· ὦ πέρσαντες Ἰλίου πόλιν,

1534 καθίστατο] Barnes, καθίσατο *LG* 1535 ταρσόν τ'. ἐνεῖρε Badham, ταρσόν τ' ἐγείρει cl. Plut. Anton. c. 63 Lobeck, fort. ταρσὸν κατήρη et antea πλάτης (ταρσῷ κατήρει Lightfoot) | ἱστία εἰς *L*, ἱστί' εἰς *lG*. ἱστί' ἤραμεν Lobeck. Sed v. suspectus. Cfr. 1612 1538 συνέμποροι *G* 1539 ἤλυθον ἐπ' ἀκτὰς Nauck, προσῆλθον ἀκτὰς J. Heiland | ἠσκημένοι Blomfield 1540 εὐηδεῖς *G*, εὐειδεῖς *g* | αὐχμηροὶ μέν, εὐειδεῖς δ' Nauck 1543 πῶς] fort. δεῦρ' 1545 ὀλόμενον] H. Stephanus, ὀλούμενον *LG* | συνθάψετε] Badham, συνθάπτετε *LG* 1546 ἀπόντα] Brodeau, ἄκοντα *LG* 1548 ποντίσματα] κτερίσματα Herwerden | ἐχώρουν πόντια κτερίσματα Coenen 1550 τ'] L. Dindorf, δ' *LG* 1552 sq. v. suspecti 1554 τἄλλα] Canter, ταῦτα *LG* | εἴσω *LG* 1555 ἐθέμεσθα *LG* 1556 ὀρθῶς *G* 1558 κεἰς *LG* | παρεμβλέπων] θυμούμενος Nauck 1560 ἐκέλευσεν] Cobet, ἐκάλεσεν *LG*

*οὐκ εἶ' ἀναρπάσαντες Ἑλλήνων νόμῳ*
*νεανίαις ὤμοισι ταύρειον δέμας*
*ἐς πρῷραν ἐμβαλεῖτε· φάσγανόν θ' ἅμα*
*πρόχειρον ὤθει· σφάγια τῷ τεθνηκότι;*
*οἳ δ' ἐς κέλευμ' ἐλθόντες ἐξανήρπασαν*
*ταῦρον φέροντές τ' εἰσέθεντο σέλματα.*
*[μονάμπυκον δὲ Μενέλεως ψήχων δέρην*
*μέτωπά τ' ἐξέπεισεν ἐσβῆναι δόρυ.]*
*τέλος δ', ἐπειδὴ ναῦς τὰ πάντ' ἐδέξατο,*
*πλήσασα κλιμακτῆρας εὐσφύρου ποδὸς*
*Ἑλένη καθέζετ' ἐν μέσοις ἑδωλίοις*
*ὅ τ' οὐκέτ' ὢν λόγοισι Μενέλεως πέλας·*
*ἄλλοι δὲ τοίχους δεξιοὺς λαιούς τ' ἴσοι*
*ἀνὴρ παρ' ἄνδρ' ἕζονθ' ὑφ' εἵμασι ξίφη*
*λαθραῖ' ἔχοντες, ῥόθιά τ' ἐξεπίμπλατο*
*βοῆς κελευστοῦ φθέγμαθ' ὡς ἠκούσαμεν.*
*ἐπεὶ δὲ γαίας ἦμεν οὔτ' ἄγαν πρόσω*
*οὔτ' ἐγγύς, οὕτως ἤρετ' οἰάκων φύλαξ·*
*ἔτ', ὦ ξέν', ἐς τὸ πρόσθεν, ἢ καλῶς ἔχει,*
*πλεύσωμεν; ἀρχαὶ γὰρ νεὼς μέλουσι σοί.*
*ὃ δ' εἶφ'· ἅλις μοι. δεξιᾷ δ' ἔχων ξίφος*
*ἐς πρῷραν εἷρπε κἀπὶ ταυρείῳ σφαγῇ*
*σταθεὶς νεκρῶν μὲν οὐδενὸς μνήμην ἔχων,*
*τέμνων δὲ λαιμὸν ηὔχετ'· ὦ ναίων ἅλα*
*πόντιε Πόσειδον Νηρέως θ' ἁγναὶ κόραι,*
*σώσατέ μ' ἐπ' ἀκτὰς Ναυπλίας δάμαρτά τε*
*ἄσυλον ἐκ γῆς. αἷματος δ' ἀπορροαὶ*

---

1561 *οὐκ εἶ L*, superscr. *οὔκουν l* 1564 *ὤθει*] Bothe, *ὤσει LG* 1565 *κέλευσμ' LG*. Post *ἐξανήρπασαν* deletum *πόλιν* in *L* 1566 *τ'*] Musgrave, *δ' LG* | fort. *σέλμασιν* 1567 sq. delevit W. G. Clark *μονάμπυκος* Schenkl 1570 *ἐκβᾶσα . . εὐσφύρῳ ποδὶ* Rauchenstein *κλιμακτῆρας*] ed. Hervag. 2, *κλιμαντῆρας LG* 1571 *ἑδωλίων* mut. in *ἑδωλίοις L* 1573 fort. *τοίχοις δεξιοῖς λαιοῖς* 1574 *ἕζοντο L*, *ἕζοντ' G* | *εἵμασι* L*, *εἵμασιν G* 1575 sq. *λάθρ* L*, *λάθρ' G*, *λαθραῖ' l* | *ῥόθια*] Pierson, *ὄρθρια L*, *ὄρθια G*. Fort. *ῥόθιά τ' ἐπολιαίνετο* 1576 *βοῆς*] fort. *πλάταις* | *κελευστοῦ*] Pierson, *κελεύθου LG* 1578 *φύλαξ*] *ἄναξ* Nauck 1579 sq. verba *ἐς τὸ . . ἔχει* et *ἀρχαὶ . . σοί* invertit Prinz 1580 *σοι*] Elmsley, *μοι LG* 1581 *εἶπεν LG* | *ἔχων*] Cobet, *ἑλὼν LG* 1584 *λαιμὸν*] H. Stephanus, *δαίμον' LG* 1586 fort. *Ναυπλίους*

ἐς οἶδμ' ἐσηκόντιζον οὔριοι ξένῳ.
καί τις τόδ' εἶπε· δόλιος ἡ ναυκληρία.
πάλιν πλέωμεν ἀξίαν· κέλευε σύ,
σὺ δὲ στρέφ' οἴακ'. ἐκ δὲ ταυρείου φόνου
'Ατρέως σταθεὶς παῖς ἀνεβόησε συμμάχοις·
τί μέλλετ', ὦ γῆς Ἑλλάδος λωτίσματα,
σφάζειν φονεύειν βαρβάρους νεώς τ' ἄπο
ῥίπτειν ἐς οἶδμα; ναυβάταις δὲ τοῖσι σοῖς
βοᾷ κελευστὴς τὴν ἐναντίαν ὄπα·
οὐκ εἶ' ὃ μέν τις λοῖσθον ἀρεῖται δόρυ,
ὃ δὲ ξύγ' ἄξας, ὃ δ' ἀφελὼν σκαλμοῦ πλάτην
καθαιματώσει κρᾶτα πολεμίων ξένων;
ὀρθοὶ δ' ἀνῇξαν πάντες, οἳ μὲν ἐν χεροῖν
κορμοὺς ἔχοντες ναυτικούς, οἳ δὲ ξίφη·
φόνῳ δὲ ναῦς ἐρρεῖτο. παρακέλευμα δ' ἦν
πρύμνηθεν Ἑλένης· ποῦ τὸ Τρωικὸν κλέος
δείξετε πρὸς ἄνδρας βαρβάρους; σπουδῆς δ' ὕπο
ἔπιπτον, οἳ δ' ὠρθοῦντο, τοὺς δὲ κειμένους
νεκροὺς ἂν εἶδες. Μενέλεως δ' ἔχων ὅπλα,
ὅπου νοσοῖεν ξύμμαχοι κατασκοπῶν,
ταύτῃ προσῆγε χειρὶ δεξιᾷ ξίφος,
ὥστ' ἐκκολυμβᾶν ναός· ἠρήμωσε δὲ
σῶν ναυβατῶν ἐρέτμ'. ἐπ' οἰάκων δὲ βὰς
ἄνακτ' ἐς Ἑλλάδ' εἶπεν εὐθύνειν δόρυ.
οἳ δ' ἱστί' ᾖρον, οὔριοι δ' ἧκον πνοαί,
βεβᾶσι δ' ἐκ γῆς· διαφυγὼν δ' ἐγὼ φόνον
καθῆκ' ἐμαυτὸν εἰς ἅλ' ἄγκυραν πάρα.

1588 ἐς hic *LG* | οὔριοι] Elmsley (οὔριαι Reiske), οὔρια *LG* 1589 τόδ'] τότ' Reiske 1590 ἀξίαν *LG*, να super ἀ scripsit *l*, ἀντίαν Badham, ἀκτίαν olim Dindorf 1592 συμμάχοις] Nauck, συμμάχους *LG* 1593 λωτίσματ' *G* 1595 ναυάταις *LG*, ναυβάταις *g* 1596 ἐναντίον *LG*, ἐναντίαν *l* 1597 οὐκ εἶ' ὁ μέν τις *LG*, in marg. γρ. οὔκουν ἡ μέν τις *l* | λοῖσθον] ξυστὸν H. Taeuber | ἀρεῖται] Elmsley, αἱρεῖται *L*, αἱρεῖται *G* 1598 πλάταν *G* 1601 ναυτικούς] πευκίνους Nauck 1602 παρακέλευσμα *LG* 1603 κλέος δείξετε] Hartung, κλέος; δείξατε *L*, κλέος; δείξαντες *G* 1607 ὅπου] scripsi, ὅποι *LG* | νοσεῖεν *G* 1608 χειρὶ δεξιᾷ] δεξιώτατα W. G. Clark 1610 ἐρετμὰ *LG*
1611 ἄνακτ'] Emperius, ἄναξ *LG* | εἰς *LG* . 1612 ἱστί' Emperius, ἱστὸν *LG* | οὔριοι] Elmsley, οὔριαι *LG*

οὐ κτενεῖς ἡμῶν ἑκόντων, ἀλλ' ἔμ'· ὡς πρὸ δεσποτῶν
τοῖσι γενναίοισι δούλοις εὐκλεέστατον θανεῖν.

ΔΙΟΣΚΟΡΟΙ.

ἐπίσχες ὀργὰς αἷσιν οὐκ ὀρθῶς φέρῃ,
Θεοκλύμενε, γῆς τῆσδ' ἄναξ· δισσοὶ δέ σε
Διόσκοροι καλοῦμεν, οὓς Λήδα ποτὲ
ἔτικτεν Ἑλένην θ', ἣ πέφευγε σοὺς δόμους·
οὐ γὰρ πεπρωμένοισιν ὀργίζῃ γάμοις,
οὐδ' ἡ θεᾶς Νηρῇδος ἔκγονος κόρη
ἀδικεῖ σ' ἀδελφὴ Θεονόη τὰ τῶν θεῶν
τιμῶσα πατρός τ' ἐνδίκους ἐπιστολάς.
ἐς μὲν γὰρ αὐτὸν τὸν παρόντα νῦν χρόνον
κείνην κατοικεῖν σοῖσιν ἐν δόμοις ἐχρῆν·
ἐπεὶ δὲ Τροίας ἐξανεστάθη βάθρα,
καὶ τοῖς θεοῖς παρέσχε τοὔνομ', οὐκέτι·
ἐν τοῖσι δ' αὐτοῖς χρή νιν ἐξεῦχθαι γάμοις
ἐλθεῖν τ' ἐς οἴκους καὶ συνοικῆσαι πόσει.
ἀλλ' ἴσχε μὲν σῆς συγγόνου μέλαν ξίφος,
νόμιζε δ' αὐτὴν σωφρόνως πράσσειν τάδε.
πάλαι δ' ἀδελφὴν καὶ πρὶν ἐξεσώσαμεν,
ἐπείπερ ἡμᾶς Ζεὺς ἐποίησεν θεούς·
ἀλλ' ἥσσον' ἦμεν τοῦ πεπρωμένου θ' ἅμα
καὶ τῶν θεῶν, οἷς ταῦτ' ἔδοξεν ὧδ' ἔχειν.
σοὶ μὲν τάδ' αὐδῶ, συγγόνῳ δ' ἐμῇ λέγω·
πλεῖ ξὺν πόσει σῷ· πνεῦμα δ' ἕξετ' οὔριον·
σωτῆρε δ' ἡμεῖς σὼ κασιγνήτω διπλῶ
πόντον παριππεύοντε πέμψομεν πάτραν.
ὅταν δὲ κάμψῃς καὶ τελευτήσῃς βίον,

1640 ante οὐ lineola erasa in *L*, ante 1640 et 1641 linea minio praefixa in *G* | ἔμ'· ὡς] Porson, ἐμὲ *LG* 1641 γενναίοις *LG*, γενναίοισι *l* 1643 γαίας τῆσδ' Nauck, τῆσδε γῆς Mekler 1647 ἔκγονος] Matthiae, ἐκγόνη *LG*, εὐγενὴς Nauck 1649 fort. ἐνδίκως 1650 εἰς] H. Stephanus, εἰ *LG* | αὐτὸν] F. Gu. Schmidt, ἀεὶ *LG* 1654 τοῖσι δ'] Bothe, τοῖσιν *LG* | χρή] scripsi, δεῖ *LG* 1655 τ'] Hermann, δ' *LG* | συνηκῆσαι *G* 1656 ἔσχε *LG*, ἴσχε *l* 1657 πράττειν *LG* 1658 πάλαι] ἡμεῖς Hartung | ἀδελφὴν πρίν γ' *LG*, ἀδελφὴν καὶ πρὶν *l* | κἂν πρὶν Heath | καὶ πρὶν ἐξεσῴζομεν Dobree 1659 delet Nauck 1660 ἥσσον'] Pierson, ἥσσονες *LG* 1663 πλεῖ] Cobet, πλεῖν *LG* | σὺν *G* 1664 δ' *L*, θ' *G* 1666 κάμψεις . . τελευτήσεις *G*, κάμψης . . τελευτήσης *g*

θεὸς κεκλήσῃ καὶ Διοσκόρων μέτα
σπονδῶν μεθέξεις ξένιά τ' ἀνθρώπων πάρα
ἕξεις μεθ' ἡμῶν· Ζεὺς γὰρ ὧδε βούλεται.
οὗ δ' ὥρισέν σε πρῶτα Μαιάδος τόκος
Σπάρτης ἀπάρας τῶν κατ' οὐρανὸν δόμων
κλέψας δέμας σόν, μὴ Πάρις γήμειέ σε,
φρουρὸν παρ' Ἀκτὴν τεταμένην νῆσον λέγω,
Ἑλένη τὸ λοιπὸν ἐν βροτοῖς κεκλήσεται,
ἐπεὶ κλοπὰς σὰς ἐκ δόμων ἐδέξατο.
καὶ τῷ πλανήτῃ Μενέλεῳ θεῶν πάρα
μακάρων κατοικεῖν νῆσόν ἐστι μόρσιμον·
τοὺς εὐγενεῖς γὰρ οὐ στυγοῦσι δαίμονες,
τῶν δ' ἀναριθμήτων μᾶλλόν εἰσιν οἱ πόνοι.
ΘΕΟΚ. ὦ παῖδε Λήδας καὶ Διός, τὰ μὲν πάρος
νείκη μεθήσω σφῶν κασιγνήτης πέρι·
ἐγὼ δ' ἀδελφὴν οὐκέτ' ἂν κτάνοιμ' ἐμήν.
κείνη δ' ἴτω πρὸς οἶκον, εἰ θεοῖς δοκεῖ.
ἴστον δ' ἀρίστης σωφρονεστάτης θ' ἅμα
γεγῶτ' ἀδελφῆς ὁμογενοῦς ἀφ' αἵματος.
καὶ χαίρεθ' Ἑλένης εἵνεκ' εὐγενεστάτης
γνώμης, ὃ πολλαῖς ἐν γυναιξὶν οὐκ ἔνι.
ΧΟ. πολλαὶ μορφαὶ τῶν δαιμονίων,
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί·
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον ηὗρε θεός.
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

---

1667 sq. καὶ . . μεθέξεις delet F. Gu. Schmidt 1670 σε apogr. Paris., σοι *LG* | οὗ δ' ᾤκισέν σε F. Gu. Schmidt 1670 sq. fort. οὗ δ' ἱδρύει σε τῶν δι' αἰθέρος δρόμων (δρόμων Paley) Σπάρτης ἀπάρας πρῶτα Μαιάδος τόκος 1671 τῶν superscr. ὂν *L*, τὸν *G* | τῶν κατ' (malim παρ') Εὐρώταν Reiske 1672 suspectus (1671 sq. delebat olim Dindorf, cfr. 1675) 1673 φρουρὸν] Hermann, φρουροῦ *LG* | τεταμένην] Reiske, τεταγμένη *LG* | μνῆσον et in marg. γράφεται νῆσον *L*, μνῆσον *G*, μνῆσοι *g* 1675 σὰς om. *LG*, add. *l*, κλοπαίαν σ' Herwerden 1679 delet Hartung, 1678. 1679 Schenkl 1681 fort. σφῶν κασιγνήτῃ χάριν 1685 ἀδελφοῦ ut vid. *G*, ἀδελφῆς *g* | ὁμογενοῦς] Canter, μονογενοῦς *LG* 1686 καὶ om. *G*, add. *g* | οὕνεκ' *LG* 1687 fort. γνώμην
1691 εὗρεν *G*, εὗρε *g*. Subscr. εὐριπίδου ἑλένη cum rasura quattuor vel quinque literarum ante εὐριπίδου (τέλος erasum videtur) in *L*, τέλος εὐριπίδου ἑλένης in *G*

# APPENDIX

## coniecturas minus probabiles continens.

---

2 *πέδων* Scaliger, *πέδου* Burges, *πλέως* Bellios 3 *λευκῆς*] *λευροὺς* Naber | *γύας*] *ῥοαῖς* Reiske, *χοαῖς* Lobeck, *μόνος* Dingelstad | *ὑγραίνων κύει* Schenkl 4 *ὅδ' ἔζη . . ὤν* Tietzel 5 delet Dingelstad 8 *τοῖσδ' ἐν δώμασιν* Lenting 9 *Θεοκλύμενον μὲν* Scaliger, *Θεοκλύμενον οὔνομ'* Musgrave | *Θεοκλύμενον μὲν ἄρσεν' ὃς θεοὺς σέβων* Hermann | *ὅτι*] *ὃς ἔτι* Badham

10 *διῆγεν* Herwerden 11 sq. delet Klinkenberg Post 11 lacunam statuit Musgrave (*κεκλημένην πρὸς πατρὸς Εἰδοθέαν ἀεί*) 12 *ὡραία* Nauck 13 *ἐπίσταται* Klinkenberg 15 *λαχοῦσα* Naber | *τιμὰς*] *τέχνας* F. Gu. Schmidt 19 *μόρφωμ' ἀπ'* Reiske

20 *ἀπ' αἰετοῦ* Musgrave, etiam *ἅτ' αἰετοῦ* olim Nauck | *ἐξέπραξεν αἰετοῦ* Prinz 21 *φεύγων δῆθεν, εἰ σαφὴς λόγος* Cobet 26 delet Herwerden 28 *ὡς μ'* Herwerden 29 *'Ιδαίας χθονὸς* Elmsley

32 *'Αλεξάνδρου* Barnes 34 *συθεῖσ'* Naber, *καθεῖσ'* Gomperz 35 *κἀδόκει* Boissonade 35—43 delet Usener (41 iam Badham, 41 sq. etiam F. Gu. Schmidt), post 51 collocat, scribens in v. 35 *Πριάμου τυράννου παῖς ὅπου δοκεῖ μ' ἔχειν*, Arnim 37 *ἄλλα*] *ὀλοὰ* W. Ribbeck | *συμβάλλει* Orelli 38 *χθονὶ*] *γένει* Herwerden, fort. *στρατῷ*

41 delet Badham | *θείη πᾶν κράτος τὰν 'Ελλάδα* Burges 42 *Φρυγῶν τ' ἐς ἀλκήν· προὐθέμην δ' ἐγὼ μὲν οὔ* Orelli | *ἐς ἀλκὴν*] *ἐς αἶαν* (vel *ἐν αἴᾳ*) Nauck, *ἐς ἀκτὴν* Maetzner 45—8 *νεφέλῃ καλύψας τόνδ' ἐς οἶκον Πρωτέως ἱδρύσαθ' ὡς σώσαιμι Μενέλεῳ λέχος* (ceteris deletis) W. Ribbeck 48 *σώσειε* Nauck

53 *πάντ' ἀγνὼς ἐγὼ* Jacobs 55 *μέγαν*] fort. *νέον*. Cfr. Aesch. Suppl. 344 et 961 58 *μετ' ἀνδρὸς* W. G. Clark 59 *ἵνα μὴ*] *ἣν μὴ* Dobree

61 *ἄσυλος ἠγάπων* W. G. Clark 62 *σκότῳ*] *κάτω* Cobet 63 *θηρᾷ γαμῶν* vel *γάμον* F. Gu. Schmidt, *ἐρᾷ γαμεῖν* Prinz 65 *διασώσω* Hartung et Badham 66 sq. delet Klinkenberg 69 *πλουτῶν* Orelli | *πλουτεῖ γὰρ οἶκος ἄξι' ὡς* anonymus | *προσαυγάσαι* Musgrave

78 *τίν' ὦ . . εἰσιδών* olim coniciebam (*εἰσιδὼν* iam Canter), *τί δ', ὦ ταλαίπωρος; τίς ὢν* B. Mueller | *ὅστις εἶ* Cobet, *ὡς τίς ὢν* Hartung, *ἀσπίδ' ὡς* F. Gu. Schmidt 78 sq. *τί δ', ὦ ταλαίπωρ', ὡς στυγῶν μ' ἀπεστράφης;* (ceteris deletis) M. Schmidt 78—82 delet A. Mancini

79 *ἢ ταῖς* olim Nauck | *καὶ ταῖσιν ἄλλης* olim coniciebam

*κακοῖς*) Hartung, *αἴλιν' ὡς κακοῖς* Schneidewin, *αἴλινον κακοῖς* Nauck 171 sq. *λωτὸν ἢ σύριγγας ἢ φόρμιγγας, αἰλίνοις τ' ἐμοῖς* Wilamowitz 172 *ὡς ἐμοῖσι* Musgrave 173 *πάθεσι πένθιμά τ' ἄχεσι μέλεα* Jacobs. Versum olim delebat Hartung 174 *μουσεῖα τεὰ* Musgrave | *Μῦσι', ἅτ' ἒ ἒ θρηνήμασι* Hermann | *μοῦσ' ἱεῖσα* Fix | *μοῦσάν τε θρηνήμασι ξυνῳδὰν* Hartung 175 *πέμψαιτε* Schneidewin | *Φερσεφάσσᾳ* Hermann 176 *φόνι' ἀχάριτά θ'* Elmsley 176 sqq. *φόνια φόνι' ἀχάριστα θῖνα παρὰ πολύδακρυν, νέκυς ὑπὸ νύχια μέλαθρα παιᾶν' ἵνα λάβῃ* Burges 177 *παρ' ἐμέ θ' ὑπό τε* Dobree | *παιᾶνας* delet Dindorf 178 *νέκυσι* delet Heath | *ὀλόμενος* Musgrave, *μελομένας* (176 *χάριτας* relinquens et 177 *παιᾶνας* delens) Badham

180 *ἔτυχον* delet O. Goram, qui 183 *θάλπον ἀμφί τ' ἦν δόνακος* conicit | *ἕλικ' ἀνὰ χλοερὰν* Paley 181 sq. *φοίνικας ἀνθίνους πέπλους αὐγαῖσιν ἐν ταῖς χρυσέαισιν ἁλίου* M. Schmidt 182 *ταῖς* delet Hermann | *αὐγαῖσιν ἐν ταῖσι χρυσέαισιν* (et 170 *μόλοιτ' ἔχουσαι Λίβυν λωτὸν*) Fix 182 sq. *αὐγαῖσιν ἐν χρυσέαισι θάλπουσα κάμφιθεῖσα δόνακος* Badham 183 ⟨*σῖγα*⟩ *θάλπουσ'* J. H. H. Schmidt | *θάλπουσ' ἀμφίς τε δόνακος* Musgrave, *ἀμφιθάλπουσ' ἔν τε δόνακος* Seidler, *θάλπον ἀμφὶς θεῖσα δόνακος* Heimsoeth | *δόνακος ἀμφὶ τοῖσι θάλπουσ' ἔρνεσιν* Schumacher 184 (*οἰκτρὰν ἀναβόασιν* Jacobs) | *ὅμαδον ἔκλυρον* (deleto *ἄλυρον*) Reiske, *ὅμαδον ὄλοον* Hermann | *ἔκλυον* delet Hartung, qui olim *ὅμαδον ἔκλυον ἄλυρον ἔλεγον* eiciebat 186 *παῖς ἄθλιος* supplet Herwerden, *λιγυθρόοις* J. H. H. Schmidt 188 (*ὀρεσίφοιτος ἰάλεμον ἱεῖσα* Reiske) | *φυγὰς ἐν ὄρεσι* Rauchenstein | *φύγδα* olim Herwerden | *ἵησι* Schenkl 188 sq. *ὄρεσι φυγάδ' ἄνδρα διζεῖσα. γοερᾷ δ' ὀπὶ διὰ πέτρινα κτέ.* Jacobs 189 *μύχαλα* delebat olim Dindorf | *γύαλα κλαγγαῖσιν* Hermann (*κλαγγαῖς* Boissonade)

190 *γάμοις* Musgrave 191 *ὦ θήραμα* (et 210 *αἰαῖ δαίμονος*) Wilamowitz 195 alterum *ἔμολεν* delet Hartung 196 *κατασκοπὰν* Elmsley 196 sq. *δαΐῳ κατασκαφὰν πυρὶ μέλουσαν Ἰλίου* Hermann 197 *πυρί γ' ἁλοῦσαν* Burges 198 *πολύστονον* Scaliger

202 *ἀπ' ἀλγέων* Reiske

214 *τίς σ'* Reiske. Alterum *ἔλαχεν* delet Hartung 216 *χιονόχρωτος* Reiske 221 *οὐκ ἔστ' ἐν φάει* olim Herwerden 222 *πατρῷϊον* Musgrave 223 *διά τε πόλιας* Jacobs | *πόλεος* Reiske 227 *ποτ' ἔτι*] *ποτε* Nauck | *μέλαθρα πάτρια* Musgrave 228 *τὰν*] *θεὰν* Dobree 229 *ἦν* et versum 230 delet Hartung | *φεῦ φεῦ, τίς ἦν Φρυγῶν, ὃς τὰν δακρυόεσσαν ἔτεμεν Ἰλίῳ* (ceteris deletis) Mancini 229 sqq. *φεῦ, τίς ἦν Φρυγῶν, τίς ἦν, τὰν δακρυόεσσαν Ἰλίῳ τε πεύκαν ὃς ἔτεμε τοῖς θ' Ἑλλανίας ἀπὸ χθονός;* 229—40 = 241—51 cum Burgesio statuens Hermann

231 *ὃς ἔτεμε* Reiske 233 sq. *ὁ Πριαμίδας συναρμόσας* Hermann 234 *Πριαμίδας ἐπλευσεν ἐν πλάτᾳ βαρβάρῳ* Burges 236 sq. *δυστυχές, κάλλος ὡς ἕλοι γ' ἐμόν* Nauck | *κάλλος ἐπὶ τὸ δυστυχές*, deletis verbis *ὡς . . ἐμόν*, Hartung 236 sqq. *ἐπὶ τὸ δυστυχές τε κάλλος ὡς γάμον ἐμόν, ἅ τε δόλιος* Hermann 237 *κάλλος,* ⟨*αὐτὸς*⟩ *γάμον ἐμὸν ὡς ἕλοι* J. H. H. Schmidt | *ὡς ἕλοι γάμῳ* (deleto *ἐμῶν*) Wilamowitz Post 237 versum intercidisse (*ὃν οἱ ὑπέσχετο ἁ δόλιος κτέ.*) putat Beck

238 *ἁ δὲ*] *ἅμα δὲ* Rauchenstein, *οἶδε* Kvíčala, *ἄγε* olim coniciebam, *ἦγε* F. Gu. Schmidt | *ἁ δὲ δόλιος ἅμα πολυκτόνος* Musgrave | *ναυστολεῖ*

δὲ δόλιος coniciebam | Κύπρις <σφ' ἔπεμπε> Lightfoot 239 Δαναΐδαις θάνατον ἄγουσα Πριαμίδαισί τ' Hermann | Πριαμίδαις τε verba aut spuria aut corrupta putat Nauck | Πριαμίδαισί τ' Burges | post Πριαμίδαις ampliorem lacunam statuit Wilamowitz

240 ὦ τάλαινα] τῆσδ' ἐπῆρχε vel simile quid requirit Badham 241 ἐν δὲ Hermann | ἡ δ' ἐν χρυσέοις Jacobs | θρόνοις <ἐφίζουσα vel ἐφημένη> Lightfoot 242 ἁ Διὸς παραγκάλισμα Hermann | Ἥρα delet Burges

244 sqq. ὅς με χλοερὰ δρεπομέναν ῥόδεά τε πέταλ' ἔσω πέπλων, τὰν χαλκίοικον ὡς μόλοιμ' Hermann 246 μέλποιμ', ἀνήρπασεν Schenkl

248 sq. post 239 transponit, deletis verbis Πριαμίδαις τε in v. 239, Schenkl. Hoc recepto versum 240 ante 247 inserit Herwerden

256 delet Goguel 259 ὅμοιον ᾧ φασ' ἐκ Διὸς Λήδαν τεκεῖν Burges 260 τέρας δ' ὁ βίοτος Kirchhoff 261—6 delet Goguel 262 ἐξανοιχθεῖσ' Naber 263 αἴσχιστον F. Gu. Schmidt | λάβοιν Hermann 264 καὶ τὰς φάτεις Badham, ὡς τὰς τύχας olim Herwerden 264—6 delet Herwerden 265 τὰς δὲ δὴ καλὰς Dobree 267 ἀπόβλεπτον Hermann 268 βαρὺ μέν ἐστ', οἰστὸν δ' Cobet

271 sq. delet Holthoefer 272 κέκληται Leeuwen. Versum delet Herwerden 276 delebat Hartung 279 εἴπερ (ἀφ' οὗ Badham, ἐπεὶ Cobet) τέθνηκεν οὗτος, οὐκέτ' ἔστι δή Hermann | τέθνηκεν] βέβηκεν Jacobs

280 αὐτῆς δοκῶ Jacobs, ἐγὼ κλύω Badham, (αὐδῶμ' ἐγώ olim Herwerden) | καὶ κλύω φονεὺς ἐγὼ Schenkl 281 ἀδόκως . . τἄδοκον Musgrave | ἀλλ' ἄλγιστον ἔσθ' ὅμως ἐμοί F. Gu. Schmidt | τοῦτ'] τόδ' Elmsley | τοῦτ' οἰστέον Jacobs, τοῦτ' εὔλογον (vel εὐπρεπές) Kayser, τόδ' ἔστι νῦν Mancini | τἄδικον πιστεύεται (vel πίστιν γ' ἔχει) Schenkl, τό γε δοκεῖν πρόσεστί μοι Holzner | ἔσθ' ὁμῶς Hartung, ἔννομον coniciebam. Versum delet Herwerden 282 sq. ἐμῶν ἔφυ . . δι' ἐμὲ παρθενεύεται Kayser. Versus delet W. Ribbeck 283 πολιὰ παρθενεύματα Hermann, παρθενεύεται πάλαι Burges, χρόνια παρθενεύεται Herwerden 284 τὼ τοῦ Διὸς . . κόρω ἐν βροτοῖς Schenkl | Διός τε Mancini 286 τοῖς πλάσμασιν Canter | τοῖς λόγοισι δ' οὗ Jacobs 288 εἴργοιέν με Badham, εἴρξαιέν με Rauchenstein | ἀπ' Ἰλίου Nauck

Post 288 lacunam statuit Kayser 289 δοκοῦντος Scaliger, δοκοῦν γ' ἂν Kirchhoff | Ἑλένην δοκούντων Reiske | Μενέλεώ γ' ἐλθεῖν Heath, Μενέλεω μέλλειν Jacobs | Μενέλεών . . μέτα Orelli, Μενέλεών . . ὕπο Fix | μ' ἐλθεῖν μέτα] μ' ἐλθεῖν ἄτερ (vel ἄνευ) Brunck, (μολεῖν ἄτερ Heimsoeth), μιμούμενοι Siebelis

291 ἐλθόντες εἰς ξύμβολ', ἃ φανερὰ μόνοις ἂν ἦν Reisig | ἐλθόνθ', ἃ φανερουμένοις ἂν ἦν W. G. Clark, ἐλθόντες, σάφ' ἂν ᾔδει μόνος F. Gu. Schmidt, ἐλθοῦσ' ἀμφανῆ μόνοισιν ἦν Schenkl | φανέρ' ἦν μόνοισι νῷν Kayser | μόνοισιν ἦν (olim ἐλθόνθ' οἷς φανερὰ μόνοις ἂν ἦν) Hartung. Versum olim suspectum habebat Nauck 292 νῦν δ' οὐκέθ' οὗτος οὔτε μοι Reiske | οὔτε μ' ἐκσώσει Bothe | οὔτ' ἐμοὶ 'σώθη πόσις Jacobs | σωθῇ] δοθῇ Nauck, ἐκσωθῶ Schenkl 293 (ὑπολείπομ' εἰς Kayser) 297 καὶ τὸ δῶμ' Scaliger, καὶ τὸ φῶς Musgrave, καὶ τὸ ζῆν Reiske | καὶ τὸ σώζεσθαι Matthiae, καὶ τὸ σῶν ἐστιν Seidler, καὶ τὸ πῶμ' ἐστιν Orelli, καὶ τὸ βρῶμ' ἐστιν W. Ribbeck, καὶ τόδ' αὐτ' ἐστιν Herwerden, κἀξίωμ' ἐστίν Holzner, καὶ τρυφᾶν (vel τρύφημ') ἐστιν Stadtmueller 298 οὐ] οὖν Stephanus

302 πικρὸν δ' · ὁ κτέ. Tyrwhitt, σμικρὸν δ' ἐπαρκεῖ κουρὰς ἀλλάξαι

Burges, σμικρὸν δὲ χειρὸς ἔργμ' ἀπαλλάξαι Jacobs | σμικροῦ Bothe ; σμικροῦ δὲ καιροῦ κάρτ' ἀπαλλάξαι βίον Lightfoot | κάρτ' Reiske, etiam ἄρθρ' C. Keil, fort. χρῶτ' 303 εἰς γοῦν Badham 304 sq. delet Schenkl 309 παιδιὰ ψευστῶν ἔπη Musgrave | ψεύδων Jacobs 309 sq. γένοιτο χἂ διὰ ψευδῶν σαφῆ et ἀληθείας ἔπη Hermann

310 τοὔμπαλιν H. Stephanus | (τῶν δι' ἀληθείας σαφῆ Canter) | τοὔμπαλίν . . ἀλήθεια (ἀληθία Cobet) σαφής Heath, τοὔμπαλίν γε τὰ δι' ἀληθείας σαφῆ Lenting | (τῶνδ' ἀληθῆ καὶ σαφῆ Scaliger), τῶνδ' ἀλήθειαι σαφεῖς Musgrave, τῶν ἀληθείας σαφῆ Matthiae, τῶνδ' ἀληθείᾳ σαφῆ Kirchhoff | τῶνδ'] πόλλ' Jacobs (qui πόλλ' ἀληθῆ καὶ σαφῆ conicit) | πόλλ' ἀληθείᾳ σαφῆ F. Gu. Schmidt | καὶ τἄμπαλίν γ' ἔσθ' ὧν ἀλήθεια σαφής olim coniciebam 311 τἄρ' Pflugk, ἄρ' Schenkl 312 φόβος] πόνος Bothe | τὸ δεῖμα] τὸ δόγμα Reiske, τόδ' ἄμμα Burges, τὰ δεινὰ Bothe 316 ἕρπεις] ἔρχει Cobet 318 delet Goguel

320 δ' εὖ] δὲ Herwerden 325 ὅθενπερ ἔσται πάντα . . φράσαι Lightfoot, ὅθενπερ ἔστι πάντα τἀληθῆ μαθεῖν Hartman, κἀληθῆ φράσει F. Gu. Schmidt, τἀληθῆ σάφα (σαφῶς Holzner) Herwerden 325 sq. olim delebam relicto versu 324. Verba τἀληθῆ . . τοῖσδε delet Bußler 326 ἄχουσ' ἐν F. Gu. Schmidt | τοῖσδε] τῇνδε (et antea πάντα τἀληθῆ φράσαι) Nauck et olim, versu 325 deleto, Herwerden, πάντα, deleto v. 325, H. Cron 328 delebat olim Herwerden

330—9 = 340—7 statuit ita ut post 343 singuli versus chori et Helenae interciderint, Hermann 332 ἐντὸς δόμων Hartung 334 οὔ με δὶς Elmsley, οὐ μάταν Nauck 335 μέλεος ⟨ἅδ'⟩ ἁμέρα Seidler 336 τάλανα Badham | ἄρα delet Hartung 336 sq. τίνα λόγον δακρυόεντα Hermann 338 (προμάντεις Jacobs)

342 τέθριππά τ' εἰς Hermann 343 ἐς] λεύσσει Hartung 344 νέκυς Heath, νέκυσι ⟨δὴ⟩ Hermann | ἢ κἂν νέκυσι Dindorf, ἢ μετὰ νέκυσι Paley | κατὰ χθονὸς] καταχθεὶς Jacobs, πανάθλιος F. Gu. Schmidt 345 πάγκοινον Reiske, ἀνακτόρεον Musgrave, τὰν χρόνιον Orelli, τὰν φόνιον Hartung | τὸν χθόνιον . . μυχόν Jacobs 349 δονακηφόρον Canter, δόνακι χλωρῷ χλωρὸν Elmsley

350 εἴ τι βάξις Elmsley 350 sq. θανόντος ἀνδρὸς εἰ βάξις ἔτυμος ἅδε μοι Hermann, θανόντος ἔτυμος εἰ βάξις ἀνδρὸς ἅδε μοι Hartung

351 verba τί τάδ' ἀσύνετα; delet J. H. H. Schmidt. Nonnulla excidisse partim chori partim Helenae verba putabat olim Dindorf 352 sq. ὀρέξομαι φόνιον αἰώρημ' ἐν ἅμμασιν δέρης Hartung | αἰώρημ' ὀρέξομαι δέρης Paley 356 ἅμιλλα] ἁ μελέα Reiske | (ἐλάσω Scaliger, περάσω Musgrave) 356 sq. ἁμίλλας θῦμα Rauchenstein 358 σύριγγ' ἀν' Ἴδᾳ (vel Ἴδην) Matthiae, σύριγγ' ἀοιδᾷ Bothe 358 sq. ὅτε σύριγγ' ἀείδων σέβιζεν Πριαμίδας Portus | σύριγγ' ἀοιδὰς σεβίζοντι Musgrave συρίγγων ἀοιδαῖς ἐντραφέντι Πριαμιδᾶν Ἴδας ποτ' Elmsley, σύριγγι Φοῖβον σεβίζοντι Πριαμίδᾳ ποτ' Ἴδας Busche | συρίγγων ἀοιδὰν σεβίζοντι Hermann, σύρριγγ' Ἰδαίους σεβίζοντι Mancini | ἀοιδαῖς σέβιζον Dobree

360 ἄλλοις Dobree 362 ἰὼ τάλαινα Τροία Hermann 363 ἄνεργά γ' Barnes, ἄεργ' Meleagros 364 δι' ἄδωρα δῶρα Κύπρις Jacobs | δῶρ' ἃ Κύπρις ἔδωκε Reiske | δῶρ', ὦ Κύπρις Musgrave | Κύπρις ἔθηκε Bothe 365 sqq. verba ἄχεα . . ὤλεσαν olim post 371 transponebat Hartung | ἄχε' ἐπ' ἄχεσι . . δάκρυσιν, πάθεα πάθεσιν ἔλακε μελέα, ⟨ἄνδρα δ' ἄλοχος ἐστέναξε⟩ ματέρες τε παῖδας (deleto ὤλεσαν) Paley

421 (*ἐσθῆτας οὔτ' ἀνελκύσαι* Michal) | *εὖ τάδ' εἰκάσαι* Burges, *αὐτὸ δ' εἰκάσαι* Badham 421 sq. *αὐτὸ δ'* .. *ἐκβόλοις ἀμπίσχομαι* Herwerden, *οἷς δ' ἀμπίσχομαι, λίτ' αὐγάσαι πάρεστι ναὸς ἔκβολα* F. Gu. Schmidt
425 *πάντων*] *πολλῶν* Nauck
431 *πύλας τ' ἐρυμνὰς* Nauck 432 *ἐλπὶς δ ἔστι* Nauck | *ἔκ γε πλουσίων λαβεῖν*, deletis versibus 433 sq., W. G. Clark 434 *ὠφελη-θείημεν* Kirchhoff, *ὠφέλημ' ἔχοιεν* Usener | *ἔχοι τις* olim coniciebam | *ὠφελεῖν, κίχοιεν ἂν* olim Herwerden, *ὠφελεῖν, φέροιεν ἂν* Schenkl
440 *ἀποστροφαί* Musgrave 441 *ὦ γραῖα, δεινὰ ταῦτ' ἔπη πικρῶς λέγεις* Rauchenstein, *τί, γραῖ', ἀϋτεῖς; ταῦτ' ἐπεὶ κἄλλως λέγειν* Holzner | *ταῦτα πάντ'* Stephanus, *ταῦτά γ' αὖτ'* Hartung | *ταὐτὰ ταῦτ' ἔπη καὖθις* (*κἄλλως* Herwerden, *πρᾴως* Heimsoeth) *λέγειν* Kirchhoff, quibus in proximo versu *πείσομαι γὰρ οὐ γραὸς λόγῳ* olim addebam, *ταῦτα πανταχῇ καλῶς* vel potius *πάντα μαλθακῶς λέγειν* Badham, *λυγρὰ ταῦτα κοὐκ ἄλλως λέγεις* Nauck, *ταῦτα πίκρ' ἔπη, λέγειν δέ σοι* Schenkl
441 sq. *ταῦτα πάντ' ἔπη κακῶς λέγεις. ΓΡ. ἔξεστι. ΜΕ. παύσομαι γὰρ* Bothe | *ταῦτα πάντ' ἐπήβολ' οἷς λέγεις. ἔξεστι* W. G. Clark, *ταὐτὰ ταῦτ' ἔπη 'καλῶς λέγειν ἔξεστι* Gomperz, *ταὐτὰ ταῦτ' ἐπηκόοις λόγων ἔξεστι* Weil, *ταῦτα παῦρ' ἔπη κἀμοὶ λέγειν ἔξεστι;* F. Gu. Schmidt 442 *οὐκ ἔστι* Matthiae | *ἄνες μόνον* Hermann, *ἄνες μοχλὸν* C. Keil, *δὸς λόγον* W. Ribbeck, *ἄνες λόγον* Weil 444 (*τοῖσδ' Ἀχαιῶν δώμασιν* Hartung) 445 ⟨*σὺ*⟩ *προσεῖλα* Musgrave, *πρόσειε* vel *οὐ μὴ προσοίσεις* Matthiae, *πρόβαλλε* vel *πρότεινε* Rauchenstein | ⟨*με*⟩ *προσέλει χειρί* Burges, fort. ⟨*με*⟩ *προυσέλει* ⟨*σὺ*⟩ 446 *σὺ δ' αἴτιος· πείθῃ γὰρ οὐδὲν ὧν λέγω* Dobree | *σὺ δ' αὖ τί φῄς;* F. Gu. Schmidt 448 *πικροὺς ἂν οἶμαί γ' εἰσφέρειν* vel *πικρούς γ' ἂν οἶμαι προσφέρειν* Herwerden | *ἄρ' οἶμαι* Hermann, *νομίζω* vel *ἐγῷμαι* vel *ἔοικα* olim Herwerden, *γὰρ οἴει* F. Gu. Schmidt | *γ'*] *'γὼ* Hermann, *μ'* Hartung (et F. Gu. Schmidt) | *ἀγγελεῖν* Hermann | *πικροὺς ἂν οἶμαι σοὺς ἀπαγγεῖλαι λόγους* Nauck
450 *ἄλλον* Lenting 451 *ἔσω γάρ εἰμι* olim Nauck, *ἐγὼ πάρειμι* Czwalina 454 *οὐκοῦν* suspectum habet Nauck, *εἴ γ' οὖν* olim Herwerden, *σύ γ' οὖν* Schenkl | *οἴκοι δόρει* (vel *οἴκοι γ' Ἄρει*) *που σεμνὸς* F. Gu. Schmidt, *οἴκοι, ξέν', εἴ που σεμνὸς* Herwerden 456 *τέγγεις; πρὸς τίν' οἰκτρὸς εἶ τύχην;* Badham 457 et 484 *πάροιθε* L. Dindorf
460 *Πρωτέως τάδ' οἴκων δώματ'* Kvíčala, *Πρωτέως τάδ' ἥκεις δώματ'* F. Gu. Schmidt 461 *πέπλωκ' ἄρα* C. Keil, *πεπλώκαμεν* Naber
463 quia apogr. Paris. *οὐ κεῖν' ἐμέμφθην* exhibet, conicit *οὔκουν ἐμέμφθην* Fix | *τὰς δ'* Jacobs 467 *πότερον ἔνδον ἔστ' ἢ 'ξώπιος* Cobet
471 fort. *αὖθις ἔκφρασον* 477 *ἐν δόμοις*] *ἐνθάδε* Herwerden, *ἔκδικος* Stadtmueller 478 *τυράννων ἢ ταράσσεται νόος* Brunck, *τύραννος ἢ γ' ἐμὸς ταράσσεται* Burges 479 *καιρὸν δ' ἐς οὐδέν'* Kirchhoff | *ὥστ' οὐδέν' ἦλθες καιρόν· ἦν γὰρ δεσπότης* Kayser
481 (*δύσνους* Musgrave) | *οὐχ ὅσον*] *εἰ καὶ σοὶ* Burges 485 *ἢ τὴν* (et 488 *δόμοις;*) Dobree | *ἄγω*, deleto v. 486, olim Herwerden 485 sq. *εἴ γ' ἦν . . νῦν κατ' ἄντρα σώζομαι* Schenkl 486 *σώζομαι* Badham
490 *ἀλλ' εἴ τις* Reiske, *ἀλλ' οὔτις* Elmsley 491 *ὄχθαις* Elmsley
ΧΟ. πάρεστιν. ὁ φάρυγξ εὐτρεπὴς ἔστω μόνον.
ΚΥ. ἦ καὶ γάλακτός εἰσι κρατῆρες πλέῳ;
ΧΟ. ὥστ' ἐκπιεῖν γέ σ', ἢν θέλῃς, ὅλον πίθον.
ΚΥ. μήλειον ἢ βόειον ἢ μεμιγμένον;
ΧΟ. ὃν ἂν θέλῃς σύ· μὴ 'μὲ καταπίῃς μόνον.
ΚΥ. ἥκιστ'· ἐπεί μ' ἂν ἐν μέσῃ τῇ γαστέρι
πηδῶντες ἀπολέσαιτ' ἂν ὑπὸ τῶν σχημάτων.
ἔα· τίν' ὄχλον τόνδ' ὁρῶ πρὸς αὐλίοις;
λῃσταί τινες κατέσχον ἢ κλῶπες χθόνα;
ὁρῶ γέ τοι τούσδ' ἄρνας ἐξ ἄντρων ἐμῶν
στρεπταῖς λύγοισι σῶμα συμπεπλεγμένους,
τεύχη τε τυρῶν συμμιγῆ, γέροντά τε
πληγαῖς πρόσωπον φαλακρὸν ἐξῳδηκότα.
ΣΙ. ὤμοι, πυρέσσω συγκεκομμένος τάλας.
ΚΥ. ὑπὸ τοῦ; τίς ἐς σὸν κρᾶτ' ἐπύκτευσεν, γέρον;
ΣΙ. ὑπὸ τῶνδε, Κύκλωψ, ὅτι τὰ σ' οὐκ εἴων φέρειν.
ΚΥ. οὐκ ᾖσαν ὄντα θεόν με καὶ θεῶν ἄπο;
ΣΙ. ἔλεγον ἐγὼ τάδ'· οἱ δ' ἐφόρουν τὰ χρήματα
καὶ τόν γε τυρὸν οὐκ ἐῶντος ἤσθιον
τούς τ' ἄρνας ἐξεφρίεντο· δήσαντες δὲ σὲ
κλῳῷ τριπήχει κατὰ τὸν ὀμφαλὸν μέσον
τὰ σπλάγχν' ἔφασκον ἐξαμήσεσθαι βίᾳ,
μάστιγί τ' εὖ τὸ νῶτον ἀποθλίψειν σέθεν,
κἄπειτα συνδήσαντες ἐς θἀδώλια
τῆς νηὸς ἐμβαλόντες ἀποδώσειν τινὶ

212. 215. 217. 219 Sileni nota praefixa in *LP*, correxit Tyrwhitt 213 *καὶ τἄστρα* vel *καὶ τ' ἄστρα LP*, *τά τ' ἄστρα* Choerobosc. Can. I p. 286, 3 | *ὡρίωνα P* 216 *ἢ* in *ἦ* mut. *l* 219 *μή με LP* 220 *μ'*] Seidler, *γ' LP* 221 *πηδόντες P*, corr. *p* 227 *πρόσωπον*] *μέτωπον* Tyrwhitt 230 *τὰ σ' LP*, *τάδ' p* 231 *ᾖσαν L*, *ἦσαν P*, *ἴσαν p* 233 *ἐόντος LP*, *ἐῶντος p* 234 *ἐξεφρίεντο*] scripsi, *ἐξεφοροῦντο LP*. Cfr. Tro. 652 | *δέ σε LP* 235 *κλωῷ LP*, *οι* super *ω* scr. *p* | *κατὰ*] Canter, *κἄτα LP* | *ὀμφαλὸν*] Scaliger, *ὀφθαλμὸν LP* 236 *σπλαγχ' P* | *ἐξαμήσεσθαι*] Duport, *ἐξαμήσασθαι LP* 237 *ἀπολέψειν* Ruhnken 238 *θἀδώλια*] Seidler, *τάδώλια LP*, *τὰ 'δώλια p*

οἱ παῖδες ἀπόλοινθ', οὓς μάλιστ' ἐγὼ φιλῶ.
ΧΟ. αὐτὸς ἔχ'. ἔγωγε τοῖς ξένοις τὰ χρήματα
περνάντα σ' εἶδον· εἰ δ' ἐγὼ ψευδῆ λέγω,
ἀπόλοιθ' ὁ πατήρ μου, τοὺς ξένους δὲ μὴ ἀδίκει.
ΚΥ. ψεύδεσθ'· ἔγωγε τῷδε τοῦ Ῥαδαμάνθυος
μᾶλλον πέποιθα καὶ δικαιότερον λέγω.
θέλω δ' ἐρέσθαι· πόθεν ἐπλεύσατ', ὦ ξένοι;
ποδαποί, τίς ὑμᾶς ἐξεπαίδευσεν πόλις;
ΟΔ. Ἰθακήσιοι μὲν τὸ γένος, Ἰλίου δ' ἄπο,
πέρσαντες ἄστυ, πνεύμασιν θαλασσίοις
σὴν γαῖαν ἐξωσθέντες ἥκομεν, Κύκλωψ.
ΚΥ. ἦ τῆς κακίστης οἳ μετήλθεθ' ἁρπαγὰς
Ἑλένης Σκαμάνδρου γείτον' Ἰλίου πόλιν;
ΟΔ. οὗτοι, πόνον τὸν δεινὸν ἐξηντληκότες.
ΚΥ. αἰσχρὸν στράτευμά γ', οἵτινες μιᾶς χάριν
γυναικὸς ἐξεπλεύσατ' ἐς γαῖαν Φρυγῶν.
ΟΔ. θεοῦ τὸ πρᾶγμα· μηδέν' αἰτιῶ βροτῶν.
ἡμεῖς δέ σ', ὦ θεοῦ ποντίου γενναῖε παῖ,
ἱκετεύομέν τε καὶ λέγομεν ἐλευθέρως·
μὴ τλῇς πρὸς οἴκους σοὺς ἀφιγμένους φίλους
κτανεῖν βοράν τε δυσσεβῆ θέσθαι γνάθοις·
οἳ τὸν σόν, ὦναξ, πατέρ' ἔχειν ναῶν ἕδρας
ἐρρυσάμεσθα γῆς ἐν Ἑλλάδος μυχοῖς.
ἱερός τ' ἄθραυστος Ταινάρου μένει λιμὴν
Μαλέας τ' ἄκροι κευθμῶνες ἥ τε Σουνίου
δίας Ἀθάνας σῶς ὑπάργυρος πέτρα
Γεραίστιοί τε καταφυγαί, τὰ δ' Ἑλλάδος
δύσφρονά γ' ὀνείδη Φρυξὶν οὐκ ἐδώκαμεν·
ὧν καὶ σὺ κοινοῖ· γῆς γὰρ Ἑλλάδος μυχοὺς
οἰκεῖς ὑπ' Αἴτνης τῇ πυριστάκτῳ πέτρᾳ.

---

272 μὴ ἀδίκει *L*, superscr. συνίζησις *l* 273 τῷδε] Canter, τοῦδε *L* 274 μᾶλλον] Kirchhoff, πολλὰ *L*, πλείω Musgrave, πλέον Hermann 275 ἔρεσθαι *L* 276 fort. ποδαποὺς τίς 288 οἴκους] Heimsoeth, ἄντρα *L* | φίλους] ξένους Kirchhoff 290 ναῶν] Canter, νεῶν *L* 291 ἐρρυσάμεσθα] Matthiae, εἰρυσάμεσθα *L* 292 ἱερός apogr. Paris., ἱερεύς *L* | ἄθαυστος *L*, ρ inseruit *l* 293 μαλέας *L*, μαλέα *l* | ἥ apogr. Paris., οἳ *L* | Σουνίῳ Musgrave 295 τὰ δ'] Kirchhoff, τά θ' *L* 296 δύσφρον' *L*, δύσφρονά γ' *l*, δύσφορά γ' apogr. Paris., fort. δύσφημ' 297 κοινοῖ] Seidler, κοινοῦ *L* 298 Αἴτνης] Hermann, αἴτνη *L*

*νόμος δὲ θνητοῖς, εἰ λόγους ἀποστρέφῃ,*
*ἱκέτας δέχεσθαι ποντίους ἐφθαρμένους*
*ξένιά τε δοῦναι καὶ πέπλοις ἐπαρκέσαι,*
*οὐκ ἀμφὶ βουπόροισι πηχθέντας μέλη*
*ὀβελοῖσι νηδὺν καὶ γνάθον πλῆσαι σέθεν.*
*ἅλις δὲ Πριάμου γαῖ' ἐχήρωσ' Ἑλλάδα,*
*πολλῶν νεκρῶν πιοῦσα δοριπετῆ φόνον,*
*ἀλόχους τ' ἀνάνδρους γραῦς τ' ἄπαιδας ὤλεσεν*
*πολιούς τε πατέρας. εἰ δὲ τοὺς λελειμμένους*
*σὺ συμπυρώσας δαῖτ' ἀναλώσεις πικράν,*
*ποῖ τρέψεταί τις; ἀλλ' ἐμοὶ πιθοῦ, Κύκλωψ·*
*πάρες τὸ μάργον σῆς γνάθου, τὸ δ' εὐσεβὲς*
*τῆς δυσσεβείας ἀνθελοῦ· πολλοῖσι γὰρ*
*κέρδη πονηρὰ ζημίαν ἠμείψατο.*
*ΣΙ.* *παραινέσαι σοι βούλομαι· τῶν γὰρ κρεῶν*
*μηδὲν λίπῃς τοῦδ'· ἢν δὲ τὴν γλῶσσαν δάκῃς,*
*κομψὸς γενήσῃ καὶ λαλίστατος, Κύκλωψ.*
*ΚΥ.* *ὁ πλοῦτος, ἀνθρωπίσκε, τοῖς σοφοῖς θεός,*
*τὰ δ' ἄλλα κόμποι καὶ λόγων εὐμορφία.*
*ἄκρας δ' ἐναλίας ἃς καθίδρυται πατὴρ*
*χαίρειν κελεύω· τί τάδε προυστήσω λόγῳ;*
*Ζηνὸς δ' ἐγὼ κεραυνὸν οὐ φρίσσω, ξένε,*
*οὐδ' οἶδ' ὅ τι Ζεύς ἐστ' ἐμοῦ κρείσσων θεός.*
*οὔ μοι μέλει τὸ λοιπόν· ὡς δ' οὔ μοι μέλει,*
*ἄκουσον. ὅταν ἄνωθεν ὄμβρον ἐκχέῃ,*
*ἐν τῇδε πέτρᾳ στέγν' ἔχω σκηνώματα,*
*ἢ μόσχον ὀπτὸν ἤ τι θήρειον δάκος*
*δαινύμενος εὖ τέγγων τε γαστέρ' ὑπτίαν*
*ἐπεκπιὼν γάλακτος ἀμφορέα πέπλον*
*κρούω, Διὸς βρονταῖσιν εἰς ἔριν κτυπῶν.*
*ὅταν δὲ βορέας χιόνα Θρῄκιος χέῃ,*

299 *νόμος*] Musgrave, *νόμοις* L | *εἰ*] Reiske, *εἰς* L 300 *ποντίους*] fort. *ναυτίλους* 305 *δορυπετῆ* L 307 *πολιούς τε πατέρας*] fort. *παῖδάς τ' ἀπάτορας* 313 *γὰρ*] *μὲν* Aldina 314 *δὲ*] Lenting, *τε* L 316 *τοι* L, *τοῖς* l 317 *εὐμορφία*] Nauck, *εὐμορφίαι* L 318 fort. *ἐναλίους αἷς* (*αἷς* etiam Paley) 321 *ὅ τι*] fort. *ὅτῳ* 325 *καὶ μόσχον* Boissonade 326 *εὖ τέγγων τε*] Reiske, *ἐν στέγοντι* L 329 *βορρᾶς* Nauck | *θρηΐκιος* L

*δοραῖσι θηρῶν σῶμα περιβαλὼν ἐμὸν*
*καὶ πῦρ ἀναίθων, χιόνος οὐδέν μοι μέλει.*
*ἡ γῆ δ' ἀνάγκῃ, κἂν θέλῃ κἂν μὴ θέλῃ,*
*τίκτουσα ποίαν τἀμὰ πιαίνει βοτά.*
*ἁγὼ οὔτινι θύω πλὴν ἐμοί, θεοῖσι δ' οὔ,*
*καὶ τῇ μεγίστῃ, γαστρὶ τῇδε, δαιμόνων·*
*ὡς τοὐμπιεῖν γε καὶ φαγεῖν τοὐφ' ἡμέραν*
*Ζεὺς οὗτος ἀνθρώποισι τοῖσι σώφροσιν,*
*λυπεῖν δὲ μηδὲν αὑτόν· οἳ δὲ τοὺς νόμους*
*ἔθεντο ποικίλλοντες ἀνθρώπων βίον,*
*κλαίειν ἄνωγα· τὴν δ' ἐμὴν ψυχὴν ἐγὼ*
*οὐ παύσομαι δρῶν εὖ — κατεσθίων τε σέ.*
*ξένια δὲ λήψῃ τοιάδ', ὡς ἄμεμπτος ὦ,*
*πῦρ καὶ πατρῷον τόνδε λέβητά γ', ὃς ζέσας*
*σὴν σάρκα διαφόρητον ἀμφέξει καλῶς.*
*ἀλλ' ἕρπετ' εἴσω, τῷ κατ' αὔλιον θεῷ*
*ἵν' ἀμφὶ βωμὸν στάντες εὐωχῆτέ με.*

*ΟΔ.* *αἰαῖ, πόνους μὲν Τρωικοὺς ὑπεξέδυν*
*θαλασσίους τε, νῦν δ' ἐς ἀνδρὸς ἀνοσίου*
*γνώμην κατέσχον ἀλίμενόν τε καρδίαν.*
*ὦ Παλλάς, ὦ δέσποινα Διογενὲς θεά,*
*νῦν νῦν ἄρηξον· κρείσσονας γὰρ Ἰλίου*
*πόνους ἀφῖγμαι κἀπὶ κινδύνου βάθρα.*
*σύ τ', ὦ φαεννῶν ἀστέρων οἰκῶν ἕδρας*
*Ζεῦ ξένι', ὅρα τάδ'· εἰ γὰρ αὐτὰ μὴ βλέπεις,*
*ἄλλως νομίζῃ Ζεὺς τὸ μηδὲν ὢν θεός.*

*ΧΟ.* *εὐρείας φάρυγγος, ὦ Κύκλωψ,* stroph.
*ἀναστόμου τὸ χεῖλος· ὡς ἕτοιμά σοι*

---

330 *περιλαβὼν* mut. in *περιβαλὼν* *L* 333 *τίκτουσα*] *φύουσα* Athenag. leg. pro Christ. p. 28 334 *ἃ 'γώ* *L* 335 fort. *τῷ μεγίστῳ* 336 *τοὐμπιεῖν*] Reiske, *τοῦ πιεῖν* *L* | *κἀμφαγεῖν* Reiske 338 *λιπεῖν* *L*, *λυπεῖν* *l* 340 *τὴν δ'*] Barnes, *τὴν* *L* 342 *δὲ*] Fix, *τε* *L* | *ἄμεμπτος*] Aldina, *ἄμεπτος* *L* 343 *πῦρ κἄχελῷον καὶ λέβηθ' ὅστις ζέσας* Herwerden (*λέβηθ' ὅστις* vel *ὅσπερ* Dobree), malim *πῦρ κἄχελῷον τὸν λέβητά θ' ὃς ζέσας* 344 *διαφόρητον*] Scaliger, *δυσφόρητον* *L* 346 *βωμὸν*] H. Stephanus, *κῶμον* *L* 349 *γνώμην*] *ὠμὴν* Reiske 352 *πόνους*] fort. *μόχθους*. Cfr. 347 354 *ζεῦ* ex *ζεὺς* fecit *L*, *ζεὺς* *P* 355 *νομίζη* *L*, *νομίζει* mut. in *νομίζῃ* *P* | *Ζεὺς*] *τοι* F. Gu. Schmidt 356 *εὐρείας σᾶς* (malim *τᾶς*) *φάρυγγος*, *Κύκλωψ* Kirchhoff (*ὦ* iam delevit Hartung)

ΧΟ. πῶς, ὦ ταλαίπωρ', ἤτε πάσχοντες τάδε;
ΟΔ. ἐπεὶ πετραίαν τήνδ' ἐσήλθομεν χθόνα,
ἀνέκαυσε μὲν πῦρ πρῶτον, ὑψηλῆς δρυὸς
κορμοὺς πλατείας ἐσχάρας βαλὼν ἔπι,
τρισσῶν ἁμαξῶν ὡς ἀγώγιμον βάρος.
ἔπειτα φύλλων ἐλατίνων χαμαιπετῆ
ἔστρωσεν εὐνὴν πλησίον πυρὸς φλογί.
κρατῆρα δ' ἐξέπλησεν ὡς δεκάμφορον,
μόσχους ἀμέλξας, λευκὸν ἐσχέας γάλα.
σκύφος τε κισσοῦ παρέθετ' εἰς εὖρος τριῶν
πήχεων, βάθος δὲ τεσσάρων ἐφαίνετο.
καὶ χάλκεον λέβητ' ἐπέζεσεν πυρί,
ὀβελούς τ' ἄκρους μὲν ἐγκεκαυμένους πυρί,
ξεστοὺς δὲ δρεπάνῳ τἄλλα, παλιούρου κλάδους,
Αἰτναῖά τε σφαγεῖα πελέκεων γνάθοις.
ὡς δ' ἦν ἕτοιμα πάντα τῷ θεοστυγεῖ
Ἅιδου μαγείρῳ, φῶτε συμμάρψας δύο
ἔσφαζ' ἑταίρων τῶν ἐμῶν ῥυθμῷ τινι
τὸν μὲν λέβητος ἐς κύτος χαλκήλατον,
τὸν δ' αὖ, τένοντος ἁρπάσας ἄκρου ποδός,
παίων πρὸς ὀξὺν στόνυχα πετραίου λίθου
ἐγκέφαλον ἐξέρρανε, καὶ καθαρπάσας
λάβρῳ μαχαίρᾳ σάρκας ἐξώπτα πυρί,
τὰ δ' ἐς λέβητ' ἐφῆκεν ἕψεσθαι μέλη.
ἐγὼ δ' ὁ τλήμων δάκρυ' ἀπ' ὀφθαλμῶν χέων
ἐχριμπτόμην Κύκλωπι κἀδιακόνουν·
ἄλλοι δ' ὅπως ὄρνιθες ἐν μυχοῖς πέτρας
πτήξαντες εἶχον, αἷμα δ' οὐκ ἐνῆν χροΐ.
ἐπεὶ δ' ἑταίρων τῶν ἐμῶν πλησθεὶς βορᾶς

---

381 ἤστε Nauck   382 χθόνα] στέγην Musgrave (fort. πετραῖον . . στέγην)   387 ἔστρωσεν] Pierson, ἔστησεν *LP*   389 ἐγχέας Herwerden   390 τε *L*, δὲ *P*   392 post 385 collocat Paley   394 τἄλλα] Scaliger, γ' ἄλλα *LP* | κλάδους] Kirchhoff, κλάδῳ *LP*   395 Αἰτναῖα] fort. αὐτοῖσι   397 Ἅιδου] H. Stephanus, δίδου *LP* | δύω *LP*   398 ῥυθμῷ τινι] ἐνὶ ῥυθμῷ Goes   399 σκύτος *LP*   401 στόνυχα] Scaliger, γ' ὄνυχα *LP*   402 ἐξέρανε *P*, corr. *p* | καθαρπάσας] διαρταμῶν Paley   403 ἐξόπτα *P*, corr. *p*   404 τὰ δ'] Heath, τάδ' *LP*. Versum delet Wilamowitz   406 κἀδιακόνουν] Dindorf, καὶ διηκόνουν *LP*   407 ἄλλοι Kirchhoff | πέτρας] fort. δέμας

*ἀνέπεσε, φάρυγος αἰθέρ' ἐξιεὶς βαρύν,*
*ἐσῆλθέ μοί τι θεῖον· ἐμπλήσας σκύφος*
*Μάρωνος αὐτῷ τοῦδε προσφέρω πιεῖν,*
*λέγων τάδ'· ὦ παῖ ποντίου θεοῦ, Κύκλωψ,*
*σκέψαι τόδ' οἷον Ἑλλὰς ἀμπέλων ἄπο*
*θεῖον κομίζει πῶμα, Διονύσου γάνος.*
*ὃ δ' ἔκπλεως ὢν τῆς ἀναισχύντου βορᾶς*
*ἐδέξατ' ἔσπασέν τ' ἄμυστιν ἑλκύσας*
*κἀπήνεσ' ἄρας χεῖρα· φίλτατε ξένων,*
*καλὸν τὸ πῶμα δαιτὶ πρὸς καλῇ δίδως.*
*ἡσθέντα δ' αὐτὸν ὡς ἐπῃσθόμην ἐγώ,*
*ἄλλην ἔδωκα κύλικα, γιγνώσκων ὅτι*
*τρώσει νιν οἶνος καὶ δίκην δώσει τάχα.*
*καὶ δὴ πρὸς ᾠδὰς εἷρπ'. ἐγὼ δ' ἐπεγχέων*
*ἄλλην ἐπ' ἄλλῃ σπλάγχν' ἐθέρμαινον ποτῷ.*
*ᾄδει δὲ παρὰ κλαίουσι συνναύταις ἐμοῖς*
*ἄμουσ', ἐπηχεῖ δ' ἄντρον. ἐξελθὼν δ' ἐγὼ*
*σιγῇ, σὲ σῶσαι κἄμ', ἐὰν βούλῃ, θέλω.*
*ἀλλ' εἴπατ' εἴτε χρῄζετ' εἴτ' οὐ χρῄζετε*
*φεύγειν ἄμικτον ἄνδρα καὶ τὰ Βακχίου*
*ναίειν μέλαθρα Ναΐδων νυμφῶν μέτα.*
*ὁ μὲν γὰρ ἔνδον σὸς πατὴρ τάδ' ᾔνεσεν.*
*ἀλλ' ἀσθενὴς γὰρ κἀποκερδαίνων ποτοῦ,*
*ὥσπερ πρὸς ἰξῷ τῇ κύλικι λελημμένος*
*πτέρυγας ἀλύει· σὺ δέ· νεανίας γὰρ εἶ·*
*σώθητι μετ' ἐμοῦ καὶ τὸν ἀρχαῖον φίλον*
*Διόνυσον ἀνάλαβ', οὐ Κύκλωπι προσφερῆ.*

*ΧΟ.* *ὦ φίλτατ', εἰ γὰρ τήνδ' ἴδοιμεν ἡμέραν,*
*Κύκλωπος ἐκφυγόντες ἀνόσιον κάρα.*
*ὡς διὰ μακροῦ γε τὸν σίφωνα τὸν φίλον*

---

410 *φάρυγος*] Scaliger, *φάρυγγος* *LP* *ἐξανιεὶς* Athen. I p. 23 E, unde *ἐξανεὶς* Porson | *αἰθέρ'*] *ἀτμὸν* Nauck 412 *αὐτῷ τοῦδε*] L. Dindorf, *αὐτοῦ τῶδε* *LP* 413 *παῖ*] Aldina, *τοῦ* *LP* 416 *ὅδ'* *LP* | *ἀναιχύντου* *P* 417 *τ'* om. *LP*, addidit Barnes 419 *πρὸς καλὸν* *LP*, *ῇ* super *ὸν* scr. *L* ut videtur, *ῇ* in *ῃ* mut. *l* 421 *γινώσκων* *LP* 425 *ἄδει* *Lp*, *ἄγει* *P* | *σὺν ναύταις* *LP* 426 *ἐπηχεῖ*] Barnes, *ἐπήχει* *LP*, fort. *ἐπαχεῖ* 427 *βούλει* *P* 429 fort. *φυγεῖν* 430 *Ναΐδων*] Casaubonus, *δαναΐδων* *LP* 433 *λελημμένος*] fort. *κολλώμενος* 436 *ἀνάλαβ' οὐ* corr. apogr. Paris., *ἀναλαβοῦ* *LP* 439 fort. *τῶν φίλων*

χηρεύομεν τόνδ' οὐκ ἔχομεν καταφαγεῖν.
ΟΔ. ἄκουε δή νυν ἣν ἔχω τιμωρίαν
θηρὸς πανούργου σῆς τε δουλείας φυγήν.
ΧΟ. λέγ', ὡς Ἀσιάδος οὐκ ἂν ἥδιον ψόφον
κιθάρας κλύοιμεν ἢ Κύκλωπ' ὀλωλότα.
ΟΔ. ἐπὶ κῶμον ἕρπειν πρὸς κασιγνήτους θέλει
Κύκλωπας ἡσθεὶς τῷδε Βακχίου ποτῷ.
ΧΟ. ξυνῆκ', ἔρημον ξυλλαβὼν δρυμοῖσί νιν
σφάξαι μενοινᾷς ἢ πετρῶν ὦσαι κάτα.
ΟΔ. οὐδὲν τοιοῦτον· δόλιος ἡ 'πιθυμία·
ΧΟ. πῶς δαί; σοφόν τοί σ' ὄντ' ἀκούομεν πάλαι.
ΟΔ. κώμου μὲν αὐτὸν τοῦδ' ἀπαλλάξαι, λέγων
ὡς οὐ Κύκλωψι πῶμα χρὴ δοῦναι τόδε,
μόνον δ' ἔχοντα βίοτον ἡδέως ἄγειν.
ὅταν δ' ὑπνώσσῃ Βακχίου νικώμενος,
ἀκρεμὼν ἐλαίας ἔστιν ἐν δόμοισί τις,
ὃν φασγάνῳ τῷδ' ἐξαποξύνας ἄκρον,
ἐς πῦρ καθήσω· κᾆθ', ὅταν κεκαυμένον
ἴδω νιν, ἄρας θερμὸν ἐς μέσην βαλῶ
Κύκλωπος ὄψιν ὄμμα τ' ἐκτήξω πυρί.
ναυπηγίαν δ' ὡσεί τις ἁρμόζων ἀνὴρ
διπλοῖν χαλινοῖν τρύπανον κωπηλατεῖ,
οὕτω κυκλώσω δαλὸν ἐν φαεσφόρῳ
Κύκλωπος ὄψει καὶ συναυανῶ κόρας.
ΧΟ. ἰοὺ ἰού,
γέγηθα, μαινόμεσθα τοῖς εὑρήμασιν.
ΟΔ. κἄπειτα καὶ σὲ καὶ φίλους γέροντά τε
νεὼς μελαίνης κοῖλον ἐμβήσας σκάφος
διπλαῖσι κώπαις τῆσδ' ἀποστελῶ χθονός.

---

440 οὐκ (ου ex ε corr.) *L* | καταφυγεῖν apogr. Paris. | οὐκ ἔχοντα καταφυγήν Hermann 441 δή νυν] Matthiae, δὴ νῦν *LP* 442 πανούγου *P*, fort. κακούργου 445 fort. ἐπίκωμος (cfr. 508) | ἕρπει *P* 447 δρυμοῖσι] Tyrwhitt, ῥυθμοῖσι *LP* 448 κάτα] corr. apogr. Paris., κάτω *LP* 449 ἡ προθυμία Musgrave 450 δαί] δή Nauck 451 notam personae om. *P*, add. *p* | ἀπαλλάξω Casaubonus 453 βίοτον (ίο ex ίον corr.) *L* 454 ὑπνώσσῃ] Hermann, ὑπνώσῃ *LP* 455 ἀκρέμων *LP* | δόμοις σὶ *P* 456 ἀποξύνας *L*, ἐξαποξύνας *lP* 458 sq. βαλῶ .. ὄμμα τ'] Pierson, βαλὼν .. ὄμματ' *LP* 462 κυκλήσω Musgrave 463 συναυάνω *P* 465 εὑρήμασι *P* 468 ἀποστέλλω *LP*, ἀποστελῶ *lp*

*μάκαρ ὅστις εὐιάζει* stroph.
*βοτρύων φίλαισι πηγαῖς*
*ἐπὶ κῶμον ἐκπετασθείς,*
*φίλον ἄνδρ' ὑπαγκαλίζων*
*ἐπὶ δεμνίοις τε ξανθὸν*
*χλιδανῆς ἔχων ἑταίρας*
*μυρόχριστος λιπαρὸν βό-*
*στρυχον, αὐδᾷ δέ· θύραν τις οἴξει μοι;*

ΚΥΚΛΩΨ.

*παπαπᾶ, πλέως μὲν οἴνου,* antistr.
*γάνυμαι δὲ δαιτὸς ἥβῃ,*
*σκάφος ὁλκάδος γεμισθεὶς*
*ποτὶ σέλμα γαστρὸς ἄκρας.*
*ὑπάγει μ' ὁ χόρτος εὔφρων*
*ἐπίκωμον ἦρος ὥραις*
*ἐπὶ Κύκλωπας ἀδελφούς.*
*φέρε μοι, ξεῖνε, φέρ', ἀσκὸν ἔνδος μοι.*

*ΧΟ.* *καλὸν ὄμμασιν δεδορκὼς* antistr.
*καλὸς ἐκπερᾷ μελάθρων.*
*⟨φίλος ὢν⟩ φιλεῖ τις ἡμᾶς.*
*λύχνα δ' ἀμμένει δαΐα σὸν*
*χρόα καὶ τέρεινα νύμφα*
*δροσερῶν ἔσωθεν ἄντρων.*
*στεφάνων δ' οὐ μία χροιὰ*

---

495 *ἡμιχ.* praefixit *l* | *μάκαρ ὅστις εὐιάζει*] Hermann, *μακαρι ὅστισ* (with *οσ* written above) (*οσ* super *ι* et ˜ nunc erasa, *τι* erasit et ὃ ibi scripsit *l* ita ut *μακάριος ὃς* legatur) *εὐιάζει L*, *μακάριος ὅστις σεβιάζει P* 497 *ἐπίκωμος* Wilamowitz (cfr. 508) 498 *ὑπαγκαλίζων L*, *ὑπαγκαλίους P* 499 *δεμνίοισί τ' ἄνθος* Meineke, *δεμνίοις τε μαστὸν* Hartung, fort. *δεμνίοις τε κᾶπον* 501 *λιπαρὸν*] Scaliger, *λιπαρὸς LP* 503 super notam *κυ(κλωψ)* scr. *ἡμιχ. l* | *πα πα πᾶ L*, *πᾶ πᾶ πᾶ P* 504 *δὲ* om. *LP*, add. *l* | *ἥβῃ*] Lobeck, *ἥβης LP* 505 *ὁλκάδος*] scripsi, *ὁλκὰς ὣς LP* 506 *σέλμα γαστρὸς L*, *σέλας στραστρὸς P* 508 *ἐπίκωμον*] scripsi (cl. Hesych. *ἐπίκωμος· ὁ ἐπᾴδων τῇ φίλῃ ἢ ἀπὸ οἴνου ᾄδων*), *ἐπὶ κῶμον LP*
510 *ξεῖνε φέρ'* in ras. scr. *l*, *φέρε ξέν' P* et sine dubio *L* 511 *ὄμμασι LP*, *ὄμμασιν l* 512 *καλὸς*] Scaliger, *καλὸν LP* 513 *φίλος ὢν* supplevit Hermann | *τίς P* 514 sq. *λίχνα P* | *ἀμμένον* ut videtur *L*, *ἀμμένει lP*. Fort. *ἀμμένει σε δᾴδων* 516 *καὶ*] Fix, *χὼς LP*
517 *χροιὰ*] Barnes, *χρόα LP*

περὶ σὸν κρᾶτα τάχ' ἐξομιλήσει.
ΟΔ. Κύκλωψ, ἄκουσον· ὡς ἐγὼ τοῦ Βακχίου
τούτου τρίβων εἴμ', ὃν πιεῖν ἔδωκά σοι.
ΚΥ. ὁ Βάκχιος δὲ τίς θεὸς νομίζεται;
ΟΔ. μέγιστος ἀνθρώποισιν ἐς τέρψιν βίου.
ΚΥ. ἐρυγγάνω γοῦν αὐτὸν ἡδέως ἐγώ.
ΟΔ. τοιόσδ' ὁ δαίμων· οὐδένα βλάπτει βροτῶν.
ΚΥ. θεὸς δ' ἐν ἀσκῷ πῶς γέγηθ' οἴκους ἔχων;
ΟΔ. ὅπου τιθεῖ τις, ἐνθάδ' ἐστὶν εὐπετής.
ΚΥ. οὐ τοὺς θεοὺς χρὴ σῶμ' ἔχειν ἐν δέρμασιν.
ΟΔ. τί δ', εἴ σε τέρπει γ'; ἢ τὸ δέρμα σοι πικρόν;
ΚΥ. μισῶ τὸν ἀσκόν· τὸ δὲ ποτὸν φιλῶ τόδε.
ΟΔ. μένων νυν αὐτοῦ πῖνε κεὐθύμει, Κύκλωψ.
ΚΥ. οὐ χρή μ' ἀδελφοῖς τοῦδε προσδοῦναι ποτοῦ;
ΟΔ. ἔχων γὰρ αὐτὸς τιμιώτερος φανῇ.
ΚΥ. διδοὺς δὲ τοῖς φίλοισι χρησιμώτερος.
ΟΔ. πυγμὰς ὁ κῶμος λοίδορόν τ' ἔριν φιλεῖ.
ΚΥ. μεθύω μέν, ἔμπας δ' οὔτις ἂν ψαύσειέ μου.
ΟΔ. ὦ τᾶν, πεπωκότ' ἐν δόμοισι χρὴ μένειν.
ΚΥ. ἠλίθιος ὅστις μὴ πιὼν κῶμον φιλεῖ.
ΟΔ. ὃς δ' ἂν μεθυσθείς γ' ἐν δόμοις μείνῃ, σοφός.
ΚΥ. τί δρῶμεν, ὦ Σιληνέ; σοὶ μένειν δοκεῖ;
ΣΙ. δοκεῖ. τί γὰρ δεῖ συμποτῶν ἄλλων, Κύκλωψ;
ΚΥ. καὶ μὴν λαχνῶδές γ' οὖδας ἀνθηρᾷ χλόῃ.
ΣΙ. καὶ πρός γε θάλπος ἡλίου πίνειν καλόν.
κλίθητί νύν μοι πλευρὰ θεὶς ἐπὶ χθονός.
ΚΥ. τί δῆτα τὸν κρατῆρ' ὄπισθέ μου τιθεῖς;
ΣΙ. ὡς μὴ παριών τις καταβάλῃ. ΚΥ. πίνειν μὲν οὖν

---

520 τούτου] θεοῦ Hermann | πιεῖν corr. apogr. Paris., πιὼν *LP* 525 οἴκους] Canter, οἴνους *LP* 526 τιθεῖ τις *L*, τιθεὶς *P*, τιθῇ τις Porson | εὐπετής] εὐμενής Kirchhoff 527 οὐ τοὺς] οὔτοι Herwerdon | χρῆν Nauck 530 νῦν *P* 531 χρή] fort. δεῖ 533 fort. δέ τοι 534 πληγὰς ὁ κῶμος λοίδορόν θ' ὕβριν φέρει Athen. II p. 36 D 535 μεθύω μέν] Reiske, μεθύωμεν *LP* 536 τὰν *LP* 541 γ'] Porson, τ' *LP* | ἀνθηρᾷ χλόῃ] Kirchhoff, ἀνθηρᾶς χλοῆς (χλόης) *LP* 542 καλόν] καλεῖ Spengel. Post 542 versum Cyclopis intercidisse monet Kirchhoff 544 νῦν *LP* 545 ante τί scripsit κυ(κλωψ) ἰδοὺ *l* in rasura notae κυ(κλωψ) ab L scriptae | μου] fort. σου | τιθεῖς *Lp*, τιθεὶς *P*, τίθης I, 546 παριών] Reiske, παρὼν *LP* | καταλάβῃ *LP*, καταβάλῃ *p*

κλέπτων σὺ βούλει· κάτθες αὐτὸν ἐς μέσον.
σὺ δ', ὦ ξέν', εἰπὲ τοὔνομ' ὅ τι σε χρὴ καλεῖν.
ΟΔ. Οὖτιν· χάριν δὲ τίνα λαβὼν σ' ἐπαινέσω;
ΚΥ. πάντων σ' ἑταίρων ὕστερον θοινάσομαι.
ΣΙ. καλόν γε τὸ γέρας τῷ ξένῳ δίδως, Κύκλωψ.
ΚΥ. οὗτος, τί δρᾷς; τὸν οἶνον ἐκπίνεις λάθρᾳ;
ΣΙ. οὔκ, ἀλλ' ἔμ' οὗτος ἔκυσεν, ὅτι καλὸν βλέπω.
ΚΥ. κλαύσῃ, φιλῶν τὸν οἶνον οὐ φιλοῦντά σε.
ΣΙ. ναὶ μὰ Δί', ἐπεὶ οὔ μου φῄς σφ' ἐρᾶν ὄντος καλοῦ.
ΚΥ. ἔγχει, πλέων δὲ τὸν σκύφον. δίδου μόνον.
ΣΙ. πῶς οὖν κέκραται; φέρε διασκεψώμεθα.
ΚΥ. ἀπολεῖς· δὸς οὕτως. ΣΙ. ναὶ μὰ Δί' οὐ πρίν γ' ἄν γέ σε
στέφανον ἴδω λαβόντα γεύσωμαί τέ τι.
ΚΥ. ᾠνοχόος ἄδικος. ΣΙ. οὐ μὰ Δί', ἀλλ' ᾦνος γλυκύς.
ἀπομακτέον δέ σοὔστιν ὡς λήψῃ πιεῖν.
ΚΥ. ἰδού, καθαρὸν τὸ χεῖλος αἱ τρίχες τέ μου.
ΣΙ. θές νυν τὸν ἀγκῶν' εὐρύθμως, κᾆτ' ἔκπιε,
ὥσπερ μ' ὁρᾷς πίνοντα χὤσπερ οὐκέτι.
ΚΥ. ἆ ἆ, τί δράσεις; ΣΙ. ἡδέως ἠμύστισα.
ΚΥ. λάβ', ὦ ξέν', αὐτὸς οἰνοχόος τέ μοι γενοῦ.
ΟΔ. γιγνώσκεται γοῦν ἡ ἄμπελος τἠμῇ χερί.
ΚΥ. φέρ' ἔγχεόν νυν. ΟΔ. ἐγχέω, σίγα μόνον.
ΚΥ. χαλεπὸν τόδ' εἶπας, ὅστις ἂν πίῃ πολύν.
ΟΔ. ἰδοὺ λαβὼν ἔκπιθι καὶ μηδὲν λίπῃς.
συνεκθανεῖν δὲ σπῶντα χρὴ τῷ πώματι.
ΚΥ. παπαῖ, σοφόν γε τὸ ξύλον τῆς ἀμπέλου.

---

547 κατάθες Scaliger 549 οὔτιν P 550 ὕστατον Hermann 551 ΣΙ.] Lenting, ὀδ LP 553 σιλ ex ὀδ corr. L 555 ἐπεὶ οὔ .. σφ' ἐρᾶν] Wieseler, ἐπεί .. ἐρᾶν LP 556 πλέων δὲ τὸν σκύφον δίδου μόνῳ Hartung 558 ΣΙ.] lineola in LP, σιλη suprascr. p | ναί] fort. οὐ 559 τέ τι] Nauck, τ' ἔτι LP 560 ᾠνοχόος] Canter, ὦ οἰνοχόος LP | ΣΙ.] lineola in LP, Sileni notam suprascr. p | οὐ om. LP (sed in L rasura), addidit Hermann | ᾦνος L, ὦνος P 561 ἀπομακτέον] Cobet, ἀπομυκτέον L, ἀπομικτέον P | σοι *** ὡς L i. e. σοί ἐστιν ὡς (Wilamowitz), σοί γ' ὅπως lP, σοὐσθ' ὅπως Kirchhoff 563 νῦν LP, νυν corr. et superscr. δη l. Ante 564 Cyclopis nota eluta in P | οὐκέτι] Nauck, οὐκ ἐμέ LP 565 ἡμίστισα in ἠμύστισα mut. p 566 λάβ' ὦ .. τέ μοι] Dobree, λαβὼν .. γέ μου LP 567 γινώσκεται LP 568 νῦν LP 569 πίῃ] Fix, πίνῃ LP 571 σπῶντα] Casaubonus, σιγῶντα LP

*σύ τ', ὦ μελαίνης Νυκτὸς ἐκπαίδευμ', Ὕπνε,*
*ἄκρατος ἐλθὲ θηρὶ τῷ θεοστυγεῖ,*
*καὶ μὴ 'πὶ καλλίστοισι Τρωικοῖς πόνοις*
*αὐτόν τε ναύτας τ' ἀπολέσητ' Ὀδυσσέα*
*ὑπ' ἀνδρός, ᾧ θεῶν οὐδὲν ἢ βροτῶν μέλει.*
*ἢ τὴν τύχην μὲν δαίμον' ἡγεῖσθαι χρεών,*
*τὰ δαιμόνων δὲ τῆς τύχης ἐλάσσονα.*

*ΧΟ.* *λήψεται τὸν τράχηλον*
*ἐντόνως ὁ καρκίνος*
*τοῦ ξένων δαιτυμόνος· πυράγρα τάχα*
*φωσφόρους ὀλεῖ κόρας.*
*ἤδη δαλὸς ἠνθρακωμένος*
*κρύπτεται ἐς σποδιάν, δρυὸς ἄσπετον ἔρνος.*
*ἀλλ' ἴτω Μάρων, πρασσέτω·*
*μαινομένου 'ξελέτω βλέφαρον*
*Κύκλωπος, ὡς πίῃ κακῶς.*
*κἀγὼ τὸν φιλοκισσοφόρον Βρόμιον*
*ποθεινὸν εἰσιδεῖν θέλω,*
*Κύκλωπος λιπὼν ἐρημίαν.*
*ἆρ' ἐς τοσόνδ' ἀφίξομαι;*

ΟΔΥΣΣΕΥΣ.

*σιγᾶτε πρὸς θεῶν, θῆρες, ἡσυχάζετε,*
*συνθέντες ἄρθρα στόματος· οὐδὲ πνεῖν ἐῶ,*
*οὐ σκαρδαμύσσειν οὐδὲ χρέμπτεσθαί τινα,*
*ὡς μὴ 'ξεγερθῇ τὸ κακόν, ἔστ' ἂν ὄμματος*
*ὄψις Κύκλωπος ἐξαμιλληθῇ πυρί.*
*ΧΟ.* *σιγῶμεν ἐγκάψαντες αἰθέρα γνάθοις.*
*ΟΔ.* *ἄγε νυν ὅπως ἅψεσθε τοῦ δαλοῦ χεροῖν*
*ἔσω μολόντες· διάπυρος δ' ἐστὶν καλῶς.*

---

601 *ἐκπαίδευμ'*] fort. *ἐκπίδυμ'* (vel *ἐκφίτυμ'*) 604 *ναύτας*] *ναῦς* *P* et sine dubio *L*, nam post *υ* ras. et *τας* superscr. *l* | *αὐτοῖσι ναύταις ἀπολέσητ'* Pierson 605 *ὑπ'* *L*, *ἀπ'* *P* | *ἢ*] *οὐ* Hermann 607 *δαιμόνων*] fort. *τῶν θεῶν* 610 *ξενοδαιτυμόνος* Hermann | *πυράγρα*] scripsi, *πυρὶ γὰρ* *LP* 615 *κρύπτεται*] fort. *τύφεται* 617 *μαινομένου 'ξελέτω*] Hermann, *μαινόμενος ἐξελέτω* *LP* 623 *ἐς* hic *LP* 626 *χρέμπτεσθαι*, eraso *ι* post *ρ*, *L*, *χρίμπτεσθαι* *P* 628 *ἐξαμαλδυνθῇ* Cobet 631 *ἔσω* hic *LP* | *ἐστὶ* *L*, *ἔστι* *P*

*ΧΟ.* οὐκοῦν σὺ τάξεις οὕστινας πρώτους χρεὼν
καὐτὸν μοχλὸν λαβόντας ἐκκάειν τὸ φῶς
Κύκλωπος, ὡς ἂν τῆς τύχης κοινώμεθα;
*ΗΜ.* ἡμεῖς μέν ἐσμεν μακρότερον πρὸ τῶν θυρῶν
ἑστῶτες ὠθεῖν ἐς τὸν ὀφθαλμὸν τὸ πῦρ.
*ΗΜ.* ἡμεῖς δὲ χωλοί γ' ἀρτίως γεγενήμεθα.
*ΗΜ.* ταὐτὸν πεπόνθατ' ἄρ' ἐμοί· τοὺς γὰρ πόδας
ἑστῶτες ἐσπάσθημεν οὐκ οἶδ' ἐξ ὅτου.
*ΟΔ.* ἑστῶτες ἐσπάσθητε; *ΧΟ.* καὶ τά γ' ὄμματα
μέστ' ἐστὶν ἡμῶν κόνεος ἢ τέφρας ποθέν.
*ΟΔ.* ἄνδρες πονηροὶ κοὐδὲν οἵδε σύμμαχοι.
*ΧΟ.* ὁτιὴ τὸ νῶτον τὴν ῥάχιν τ' οἰκτείρομεν
καὶ τοὺς ὀδόντας ἐκβαλεῖν οὐ βούλομαι
τυπτόμενος, αὕτη γίγνεται πονηρία;
ἀλλ' οἶδ' ἐπῳδὴν Ὀρφέως ἀγαθὴν πάνυ,
ὡς αὐτόματον τὸν δαλὸν ἐς τὸ κρανίον
στείχονθ' ὑφάπτειν τὸν μονῶπα παῖδα γῆς.
*ΟΔ.* πάλαι μὲν ᾔδη σ' ὄντα τοιοῦτον φύσει,
νῦν δ' οἶδ' ἄμεινον. τοῖσι δ' οἰκείοις φίλοις
χρῆσθαί μ' ἀνάγκη. χειρὶ δ' εἰ μηδὲν σθένεις,
ἀλλ' οὖν ἐπεγκέλευέ γ', ὡς εὐψυχίαν
φίλων κελευσμοῖς τοῖσι σοῖς κτησώμεθα.
*ΧΟ.* δράσω τάδ'. ἐν τῷ Καρὶ κινδυνεύσομεν.
κελευμάτων δ' ἕκατι τυφέσθω Κύκλωψ.

ἰὼ ἰώ, γενναιότατα
ὠθεῖτε, σπεύδετε.

---

633 καυτὸν] Scaliger, καὶ τὸν *L P* 635 *ΗΜ.*] Brodeau, *ΧΟ. L P* | μακρότερον] Musgrave, μακρότεροι *Lp*, μακότεροι *P* 636 ἐς hic *L P* 637 χολοί *L P*, corr. in χωλοί *l* 638 *ΗΜ.*] Musgrave, *ΟΔ.* ante ταυτόν (ταυτόν τε *P*) et *ΧΟ.* ante τοὺς *L P* | ἄρ' *L P*, ἀρ *l* 639 *ΟΔ.* erasum in *P* 640 *ΧΟ.* habet *P*, om. *L*, addidit *l* 641 μέστ' ἐστὶν] Scaliger, μέτεστιν *L P* | ἡμῖν Barnes | κόνεος] Musgrave, κόνεως *L P* 642 ἄνδρες Matthiae 645 γίνεται *L P* 646 οἶδ' ex οἶσ fecit *p* 647 αὐτόματον ὡς Herwerden 649 ᾔδη] Heath, ᾔδειν *L P* 650 οἰκίοις *L P*, οἰκείοις *p* 652 γε *P* 653 κελευμοῖς *P*, κελευσμοῖς *p* | κτησώμεθα ex κτησόμεθα corr. *p* 654 κινδυνευτέον schol. Plat. p. 922 a 1 ed. Tur. 655 κελευμάτων] ed. Hervag. I et II, κελευσμάτων *L P* 656 ἰὼ γενναιότατ' ὦ Conradt | σπεύδετε] σποδοῦτε Wieseler, fort. ἰὼ ἰώ, | γενναιότατα σποδοῦτ'

*ἐκκαίετε τὰν ὀφρὺν*
*θηρὸς τοῦ ξενοδαίτα.*
*τύφετ' ὦ, καίετ' ὦ*
*τὸν Αἴτνας μηλονόμον.*
*τόρνευ', ἕλκε, μή σ' ἐξοδυνηθεὶς*
*δράσῃ τι μάταιον.*

ΚΥΚΛΩΨ.

*ὤμοι, κατηνθρακώμεθ' ὀφθαλμοῦ σέλας.*
*ΧΟ.* *καλός γ' ὁ παιάν· μέλπε μοι τόνδ' αὖ, Κύκλωψ.*
*ΚΥ.* *ὤμοι μάλ', ὡς ὑβρίσμεθ', ὡς ὀλώλαμεν.*
*ἀλλ' οὔτι μὴ φύγητε τῆσδ' ἔξω πέτρας*
*χαίροντες, οὐδὲν ὄντες· ἐν πύλαισι γὰρ*
*σταθεὶς φάραγγος τάσδ' ἐναρμόσω χέρας.*
*ΧΟ.* *τί χρῆμ' ἀυτεῖς, ὦ Κύκλωψ; ΚΥ. ἀπωλόμην.*
*ΧΟ.* *αἰσχρός γε φαίνῃ. ΚΥ. κἀπὶ τοῖσδέ γ' ἄθλιος.*
*ΧΟ.* *μεθύων κατέπεσες ἐς μέσους τοὺς ἄνθρακας;*
*ΚΥ.* *Οὖτίς μ' ἀπώλεσ'. ΧΟ. οὐκ ἄρ' οὐδείς σ' ἠδίκει.*
*ΚΥ.* *Οὖτίς με τυφλοῖ βλέφαρον. ΧΟ. οὐκ ἄρ' εἶ τυφλός.*
*ΚΥ.* *ὡς δὴ σύ. ΧΟ. καὶ πῶς σ' οὔτις ἂν θείη τυφλόν;*
*ΚΥ.* *σκώπτεις. ὁ δ' Οὖτις ποῦ 'στιν; ΧΟ. οὐδαμοῦ, Κύκλωψ.*
*ΚΥ.* *ὁ ξένος, ἵν' ὀρθῶς ἐκμάθῃς, μ' ἀπώλεσεν,*
*ὁ μιαρός, ὅς με δοὺς τὸ πῶμα κατέκλυσε.*
*ΧΟ.* *δεινὸς γὰρ οἶνος καὶ παλαίεσθαι βαρύς.*
*ΚΥ.* *πρὸς θεῶν, πεφεύγασ' ἢ μένουσ' ἔσω δόμων;*
*ΧΟ.* *οὗτοι σιωπῇ τὴν πέτραν ἐπήλυγα*
*λαβόντες ἑστήκασι. ΚΥ. ποτέρας τῆς χερός;*
*ΧΟ.* *ἐν δεξιᾷ σου. ΚΥ. ποῦ; ΧΟ. πρὸς αὐτῇ τῇ πέτρᾳ.*
*ἔχεις; ΚΥ. κακόν γε πρὸς κακῷ· τὸ κρανίον*

---

657 *τὰν*] *τὴν LP* | *ὀφρῦν LP*, *ὀφρὺν p* 659 *τύφετ' ὦ, καίετ' ὦ*] Musgrave, *τυφέτω καιέτω LP* 660 *ἔτνας LP* 661 *μή σ' Lp*, *μὴ δ' P* | *ἐξ ὀδύνης συθεὶς* Kirchhoff 664 *ὁ* in ras. *P* | *αὖ*] Markland, *ὦ LP* 668 *τῆσδ'* Nauck, *ταῖσδ'* Kirchhoff 672 *οὔτις P* | *ἀπώλεσ'*] Matthiae, *ἀπώλεσεν LP* | *σ'* om. *LP*, add. Battieri 673 *οὔτις P*, *οὖτις p* 674 *σ' οὔτις*] Canter, *σύ· τίς LP* 675 *σκώπτεις* ex *σκόπτεις* corr. *p* 677 *με*] Musgrave, *μοι LP* | *κατέκλυσε*] Canter, *κατέκαυσε LP*, *κατέσπασε p* 678 sq. nulla personae nota in *LP*, add. Reiske
681 *ἑστήκασιν LP* 683 *ΚΥ.* ante *ἔχεις* habet *P*, sed spatium post *ἔχεις*

# APPENDIX

coniecturas minus probabiles continens.

---

2 *ἴσθενεν* Dindorf. Versum delet H. Hirzel 5 *ἔπειτά τ'* C. Wieszner 8 *φέρ', ἰδὼν τοῦτ' ἰδεῖν ὄναρ λέγω*; Paley

13 *πεπνυσμένοισι* vel potius *πεπεισμένοισι σὺν τέκνοισι ναυστολῶ* M. Schmidt 15 *αὐτὸς λαχὼν* Scaliger | *ἴθυνον* Blomfield, *εὔθυνον* C. Wieszner

22 *ἔρημ'*] *ἐρέμν'* Herwerden 27 *μὲν οὐμοὶ* Scaliger, *μὲν οὖν μου* Schenkl 28 *νέα νέοι*] *νεανίαι* Pierson

30 *μένων*] *γέρων* Pierson, *δόμων* vel *μελάθρων* Jacobs, *μήλων* Prinz

32 *κἂν νῦν . . ἔχοι* aut *οὐκοῦν . . ἔχει* Kirchhoff 39 *κἀμοὶ* Flor. Christianus, *κώμους* H. Stephanus, *κῶμον* Heath, *κώμῳ* Porson

40 fort. *προσῇτε μολπαῖς* 41 *πᾷ μοι, γέννα γενναίων* Hermann, *πᾷ δὴ γενναίων* Hartung, *πᾶ γενναίων μὲν* Dindorf | *γενναίων ἐκ πατέρων* Reiske 42 *τ' ἐκ*] *τέκνον* Paley 44 *τᾷδε νήνεμος αἴθρα* Herwerden | *αὐλά* Musgrave 47 *πίστροις* Boissonade 49 *ψύττ', οὐ τάδ' οὖν, οὐ τάδε νεμεῖ* Bothe, *ψύττα, τάδ' οὐ σύ γ', οὐ τάδε νεμεῖ* Hermann, *ψύττ', οὐ τᾷδ' οὖν τᾷδε νεμεῖ* Fritzsche, *ψύττ', οὐ τᾷδ', οὐ τᾷδε νεμεῖ* Paley

50 *οὔτ' αὖ* apogr. Paris., unde *οὐδ' αὖ* Hermann | *καὶ κλιτὺν* Nauck, *λιπὼν κλιτὺν* Král. 51 *ὠή*] *ὦ* Heath, delet Matthiae, qui *ῥίψω πέτρον τάχα σου τόνδ'* conicit. *τάχα*] *κάτα* Florens Christianus | *σου* delet Bothe 51 sqq. *ὠή, ὠή, ὁ κεράστας, ἢ ῥίψω πέτρον τάχα σου, ὠή, ὕπαγ' ὦ, ὕπαγ' ὦ τοῦ μηλοβότα στασιωρὸς Κύκλωπος ἀγροβάτα* Hermann, *ῥίψω πέτρον τάχα σου. ὠή· ὕπαγ' . . κεράστα, τοῦ μηλοβότα Κύκλωπος στασιωρός* Hartung, *ὦ ὕπαγ', ὦ κεράστα, ἢ ῥίψω πέτρον· κατὰ σοῦ Κύκλωπος ἀγροβάτα* (vel *ἀγρονόμου*) *μηλοβότα στασιωρόν* Nauck 52 *ὦ σὺ κεράστα* Conradt 53 *μηλοβάτα* Fritzsche | *στασίωρε* H. Stephanus, *στασιωρῶν* Duport, *στασιωροῦ* I. Daehn 53 sq. *στασιωρὸς . . ἀκροβάτας* Schenkl 54 *αἰγοβότα* Scaliger, *αἰγιβότα* Reiske, *ἀγροιῶτα* Musgrave, *τἀγροβάτα* Conradt 55 *σφριγῶντας* Blaydes | *σπαργῶντάς μοι σοὺς μαστοὺς* Hermann 56 *θηλαῖς σποράδων* Hermann, *θηλαῖσι κοροῦσ'* Fritzsche 56 sq. *θηλαῖσι σποράδας, τὰς* Paley 57 *θαλάμαις* Barnes 58 *ποθοῦσι δ'* Jacobs

60 *πόδ' ἀμφιβαλεῖς* Fritzsche, *ἀμφιθαλεῖς* Seidler, *ἀμφιλαφεῖς* Paley

60 sq. *τεκέων εἰς αὐλάν· πότ' ἀμφιπολεῖς* R. Schenk 61 *νομὰς* L. Dindorf (quo recepto etiam *ποιηρὰς* scribendum) 63 *Βρόμιος οὐδὲ χοροὶ* Král 64 *Βακχᾶν θυρσοφόρων* Nauck 65 *τυμπάνων ἀλαλαί* Hartung 66 sqq. *οὐκ οἴνου χλωραὶ σταγόνες κρηναῖσι παρ' ὑδροχύτοις,*

οὐ Νῦσά τε καὶ μετὰ νυμφᾶν ⟨χορεύματ' ἐννύχια⟩, v. 49—54 = 63—68 cum Cantero statuens, Hermann 68 οὐκ ἐν Νύσᾳ Duport, οὐ Νῦσαι Hartung, οὐ νίσσει O. Goram, οὐ δινεύματα (olim οὐ λυσσάματα) Nauck, Νύσᾳ δ' οὐ μετὰ Conradt 69 sq. ἴαχον μέλπω Bothe (ᾠδὰν delebat Musgrave) 69 sqq. Ἴακχος Ἴακχον ᾄδει μέλπων .. πέτεται Camper (πέτεται iam Goes)

73 sqq. ὦ φίλε Βάκχιε, ποῖ δ' .. ⟨τὰν σὰν⟩ ξανθὰν .. κἀγὼ πρόπολος σὸς θητεύω τῷ μονοδέρκτᾳ .. μέλεᾳ ⟨μέλεος⟩ χωρὶς φιλίας σᾶς Paley 74 Βάκχιε Matthiae | οἰοπόλος Kirchhoff 74 sq. verbis ὦ φίλος deletis ποῦ ξανθὰν Conradt | οἰοπολεῖς vel οἰοπολεῖ; σὺ ξανθὰν .. σείεις Wieseler 76 sq. ὁ δὲ σὸς πρόπολος θητεύω ἐγὼ Conradt 77 Κύκλωπι θητεύω Fritzsche

80 σὺν] fort. ἐν 80 sq. μέλεος post φιλίας ponit Hartung
81 χωρὶς φιλίας σᾶς Hermann, σᾶς χωρισθεὶς φιλότητος olim Fritzsche

84 σπουδὴν] σκοπὴν olim coniciebam 86 τινὶ suspectum habet Nauck 88 φέροντας quondam ex libris referebatur, unde κεχρημένους Canter, φέρουσι Elmsley

91 ἔστι κἄξενον Kirchhoff | στέγην] etiam γύην Musgrave, τε γῆν Jacobs 94 sq. delet Conradt 97 δίψους Blomfield

100 Σατύρων] οἷον Hermann (qui si Σατύρων retineatur, ἄντροις τοῖσδ' requirit). 101 προσεῖπον Fix

113 κἀκ τίνος καλοῦσί νιν; Wieseler 115 δέ που Wieseler
117 γένος] γέμει Reiske 120 οὐδ' ἓν οὐδ' εἷς οὐδ' ἑνὸς Porson
121 τῷ ζῶσιν; ἢ σπείρουσι Král 122 μήλων κρέᾳ Nauck, μήλων σπορᾷ Wieseler 124 τοιγὰρ] καὶ γὰρ Nauck, qui olim ἥκιστά γ' οἵπερ proponebat 126 φορεῖν] πορεῖν Naber 129 αὐτὸς] ὁ σὸς olim Kirchhoff | αὐτοῦ δὲ Κύκλωψ που 'στιν Wieseler | ἦ] ἢ olim Kirchhoff

130 φροῦδος, πρὸς Αἴτνῃ Wieseler 136 βοὸς] δῖον vel Δηοῦς olim Nauck, πῖον Wieseler, (αἰγὸς V. Hintner)

140 ὦ φίλτατ', εἶπας οὗ Cobet 142 ταῖσδ'] ταὶδ' apogr. Paris., unde παῖδ' Aldina | ἐγὼ 'ν Naber 145 τόνδ' ἀσκὸν .. εἰσορᾷς Hartung | ἀσκός Radermacher | ὡς ὁρᾷς, γέρον] ὅνπερ εἰσορᾷς Hermann | (ὅδ' ἀσκός, ὃν εἰσορᾷς σύ, κεύθει νιν, γέρον F. Gu. Schmidt) 147 ναί. | καὶ δὶς Paley, ἔνι δὶς Wieseler 148 ἤδειαν δ' ex apogr. Paris. Canter

152 ἐκκάναξον Musgrave, τὸ πάταχνον Wieseler, ἐκπάλαξον G. Schmid, ἐκλάταξον P. Knapp | ὡς ἂν ἐμπλησθῶ F. Gu. Schmidt 153 ὡς καλὴν μορφὴν Reiske, γεῦσιν ὡς καλὴν cl. Bekk. Anecd. p. 87, 31 γεύεσθαι οὐ μόνον ἐπὶ τοῦ ἐσθίειν, ἀλλὰ καὶ ἐπὶ τοῦ ὀσφραίνεσθαι, ὡς ἐν τῷ βίῳ γεύεσθαι μύρων. Εὐριπίδης Κύκλωπι Hermann, ὡς καλὴν ἄνθην anonymus 154 εἶλκες γὰρ Nauck 155 πίνῃς μόνον Scaliger 157 ἀᾶ Dindorf 158 διεκάναξεν οὐ καλῶς; aut διεκάναξέ σου κακῶς; O. Buchwald

163 γε] τῶν Hermann 164 ἐκπιεῖν ἂν κύλικα βουλοίμην Aldina | κἂν κύλικα Paley | κἂν κύλικα μαίνομαι G. Schmid | μαιοίμην, μιᾶς F. Gu. Schmidt 164 sqq. ἐκπιὼν et cum Hartungio μὴ ἀντιδοὺς, mox ῥίψας Kirchhoff 166 πίπτειν τ' ἐς Hartung, ῥίψαιμι δ' ἐς R. Schenk | λευκάδος ἐκ πέτρας θέλοιν L. Schmidt | ἄπο] κάτα Herwerden 167 καταχαλῶν τε anonymus 169 τἄρθρον Hartung

170 περισκεπασμένου (περιεσκεπασμένου) Jacobs, παρεσκεπασμένου Hermann 172 λῆσις Scaliger | οὐ κυνήσομαι Matthiae

180 διεκορήσατ' olim Florens Christianus 181 delet Wilamowitz

Post 192 versum Ulixis intercidisse putat Heimsoeth 193 choro tribuit Hermann 194 γὰρ] τἄρ' Hartung 195 εἴσω Dindorf | λάθοιτ' ἴσως Kirchhoff, λάθοιτέ πῃ Herwerden 197 ποῦ δεινόν; Dobree, τί δεινόν; olim Nauck 198 τὰ μεγάλ' ἂν ᾗ Duport, τἂν μεγάλ' ἂν ᾗ Nauck, τἂν μεγάλα χῇ Paley

202 παρόντ' εὖ A. Schmidt | πάροιθ' ἐκσώσομεν Kirchhoff (ἐκσώσομεν iam Reiske), πάρος γε σώσομεν Nauck, πάρος συσσώσομεν R. Schenk, πάρος δὴ 'κσώσομεν Schenkl. Versum delet Wilamowitz 203 τίς ἡ θυμηδία Nauck 204 οὐχ ὁ Διόνυσος Porson 206 ⟨τὰ⟩ νεόγονα Kayser 207 πρός γε .. εἰσιν ἢ 'θ' ὑπὸ Wieseler | εἰσὶν ἢ ὑπὸ Lenting 209 τυρῶν] ταρρῶν Wieseler

217 γέ σ'] σ' ἂν Nauck 219 ὡς ἂν Florens Christianus, ὅ γ' ἂν Casaubonus, οὗ γ' ἂν Reiske, οἷον Paley | ἂν ἀνθέλῃ σύ G. Schmid 220 ἐπεί γέ μ' ἐν Barnes, ἐπεί τἂν ἐν Reisig, ἐπεί τοι κἂν Paley

226 συμμιγῶν Halbertsma 227 πνίγει πρόσωπον F. Gu. Schmidt 232 ἔφρουν Musgrave, fort. ἔφερον 232 sq. ἐφρόνουν .. ἐσθίειν Wieseler 233 τῶν γε τυρῶν Markland 234 ἐξεφροῦντο Musgrave 235 κὰς τὸν ὀμφαλὸν Scaliger Post 235 quaedam periisse putat Herwerden 236 ἐξανήσεσθαι O. Goram 236 sq. ἐξαμήσασθαι σέθεν .. ἀποθλίψειν βίᾳ Scaliger 237 τὰ σπλάγχνα τ' (et antea κατὰ τὸν ὀφθαλμὸν μέσον) olim Nauck | ἀποδρύψειν Casaubonus, ἀποτρίψειν Fix

240 ἢ μυλῶν' ἀκτὰς ἀλεῖν Musgrave, ἢ μυλῶνα καταλαβεῖν Wieseler 241 τάχος τ' Musgrave 245 διδόντες Heath, ἑλόντος Boissonade | διδόντος δαῖτα τοῦ κρεανόμου Ruhnken | ἄτερ κρεανόμων Dobree 247 ἔμπλεως Dobree

251 οὐ γὰρ αὖ] καὶ γὰρ οὐ Dobree, οὔ τι γὰρ Paley 252 ἄντρα τῇδ' Scaliger, ἄντρα ταῦτ' Barnes, ἄντρα τὰ σά γ' L. Dindorf, ἄντρα σὰ τάδ' Hartung | ἄντρα τὰ σὰ θαμίζουσιν (vel θαμίζονται) Paley, ἄντρα τὰ σ' ἐσαφίκοντο Wieseler, ἄντρα τάδε σ' ἀφίκοντο G. Schmid 254 βορὰν .. ἐμπολῆς Pierson 256 σκύφου] συχνοῦ Wieseler 258 κοὐδὲν ἡροῦμεν βίᾳ F. Gu. Schmidt

260 ἐπεὶ οὐκ ἐλήφθη Hermann, ἐπεὶ κατελείφθη vel ἐπεί γ' ἐλείφθη Wieseler 261 γ' ἄρ' Kirchhoff 265 μὰ τά θ' ἱερὰ Wieseler | κύματ'] fort. νάματ' 267 μὴ οὐ Nauck

270 οὗτος ἔχ' Paley, αὐτὸς ὅδ' vel αὐτὸς δ' F. Gu. Schmidt 273 sq. ψεύδεσθε· πολλὰ τῷδ' ἐγὼ πέποιθ' ἀεὶ δικαιότερόν τε τοῦ 'Ραδαμάνθυος λέγω Paley 274 λέγω] νέμω Schenkl

282 τὸν] τοι Král 283 sq. Sileno tribuit Conradt 285 μηδὲν αἰτιῶ βροτόν Naber 288 μὴ τλῇς ἐς Herwerden | ἄντρα τὰ σά γ' Hermann, ἄντρα σὰ τάδ' Hartung, ἄντρα ταῦτ' Dindorf, ἄντρα σοί γ' Paley, ἄντρα σέθεν Schenkl, ἄντρα σοῦ γ' olim coniciebam | ἄντρα σ' εἰσαφιγμένους Kayser, ἄντρα σοὐσαφιγμένους Radermacher

291 ἱδρυσάμεσθα H. Stephanus 292 ἱερός] δορός Musgrave 295 τᾶς θ' 'Ελλάδος, versu 296 ante 285 collocato, Scaliger, τά θ' 'Ελλάδος ⟨πάσαις ἐπ' ἀκταῖς σοῦ πατρὸς θακήματα⟩, versu 296 post 282 transposito, Kock. Post 295 excidisse versum suspicatur Hermann, aliquot versus interiisse putat Hartung. Ante τά θ' 'Ελλάδος lacunam statuit Conradt 296 δύσφροσιν ὀνείδη Φρυξὶν ἐξεπράξαμεν Kirchhoff | δύσφορά τ' Hartung, δύστλητ' Heimsoeth | οὐκ ἐδώκαμεν] ἀντεδώκαμεν Musgrave, οὐκ ἀνήκαμεν Kayser, ἐκτετίκαμεν R. Schenk, fort. οὐ μεθή-

372 κόπτων olim delebat Dindorf, κόπτει βρύκει (versu post 373 collocato) Hartung 373 ὀδοῦσί τ' Musgrave 374 ἀνθρώπων] κἀνθρώπων Bothe, ἀνδρῶν olim Dindorf, ἄνων Wieseler, τρώγων Král, ἀνθράκων ⟨τε⟩ Wilamowitz 379 ἀθροίσας Canter, σταθμήσας Pierson, δράξας Hartung | κἄπι βαστάσας Bothe, κἄτι (κᾆτα mavult Herwerden) βαστάσας Halbertsma

382 ἐπεὶ πέτραν ἐς τήνδ' . . χθονός Bothe | πετραῖον τόνδ' . . μυχόν Heimsoeth, λεπαίαν τήνδ' . . πέτραν Nauck | χθόνα] etiam μονήν Musgrave, γνάθον Wieseler, πτύχα G. R. Holland 387 ἔνησεν Reiske, ἔστειψεν Wieseler 389 μαστοῦ 'ξαμέλξας Wieseler. Versum delet Král

392 ἐπέστησεν Lobeck | ἐπέστησεν πυρᾷ Schenkl. Versum post 395 transponit Hartung, lacunam inter 395 et 392 statuens 393 κλάδων Scaliger 393 sq. post 387 collocat Hermann. Ante 395 lacunam statuit Boissonade 395 post 399 transponit, Αἰτναῖ' ἅτε scribens, Hermann, post 398, ἄρνειά θ' ὥς τις σφάγια πελέκεως γνάθοις scribens, Conradt | Αἰτναῖα] δινωτά Reiske | πελέκεων ⟨σὺν⟩ Schenkl | γνάθους Kirchhoff. Post 395 lacunam indicat Fix 398 ἔσφαξ' Barnes | (οὐχ ἐνὶ ῥυθμῷ Jacobs), ῥυθμῷ γ' ἐνὶ Faehse, ἐνὶ ῥόθῳ F. Gu. Schmidt, ῥυθμῷ θ' ἐνὶ Wilamowitz, ῥυθμῷ τέ νιν Wieseler 399 χαλκηλάτου H. Stephanus

402 κατασπάσας Florens Christianus, etiam διαρπάσας Paley, καταιγίσας Wieseler 403 ἁβρὰς (vel λιπαρὰς) μαχαίρᾳ F. Gu. Schmidt 404 ἐφῆκεν] ἔθηκεν Nauck | 'μμελῆ Wieseler 407 ἄλλοι] λαοὶ Wieseler

410 αἰθέρ'] ἀέρ' Scaliger 412 Μάρωνος οἶνον Reiske 414 sq. Ἑλλάδος . . κομίζω F. Gu. Schmidt 415 πῶμα] fort. νᾶμα 416 ἔμπλεως Dobree

422 τρύσει Naber | φόνος Herwerden

430 Ναιάδων Musgrave, Μαινάδων Koechly 432 καὶ πόδ' ἀδρανῶν, ποτοῦ Jacobs, κἀποχηραίνων ποτοῦ Herwerden 433 λελησμένος Canter 434 πτέρυγος Casaubonus | πτέρυγα σαλεύει Musgrave 439 sq. delet Paley 439 μακροῦ σίφωνα τόνδε τὸν φίλον Bothe, μακροῦ σίφωνά γ' ἤδη τὸν φίλον Hartung | τοῦ σίφωνος τοῦ φίλου Heath, τὸν φίλον σίφωνα δὴ Hermann, τοῦδε σίφωνος φίλου Blaydes

440 θηρεύομεν Scaliger | τὸν δ' Heath | τόνδ' οὐκ ἔχοντες ἀποφυγεῖν Canter (ἐκφυγεῖν Reiske, καταφυγεῖν L. Dindorf), etiam τόνδ'· οὐκ ἔχομεν γὰρ καταφυγήν Hermann, τὸν δ' οὐκ ἔχω μὲν καταφυγεῖν (vel ἔχω με καταφυγεῖν) Bothe, τὸν δ' οὖν ἔχομεν γὰρ καταφυγεῖν H. Gilow | κατεκφυγεῖν Scaliger, κατ' αὖ φαγεῖν Nauck 443 ψόφων vel ψόφου Reiske 444 κλύοιμ' ἂν Lenting 447 ῥυτῆρσι H. Stephanus, ῥυσμοῖσι Casaubonus, ῥωγμοῖσι Reiske, ῥύμῃ σύ Wieseler | ῥυθμῷ τινι Dobree 447 sq. ῥυτῆρσί νιν σφίγξαι Heath 448 fort. πέτρας 449 etiam πληθυμία Musgrave, de ἐπιβουλία cogitavit Hermann

451 κῶμον μὲν οὖν νιν Kirchhoff | κῶμον μὲν αὐτόν γ' (vel αὐτὸν) οἶδ' Wieseler 454 ὑπνωσθῇ Dobree 459 ἐκθύψω Nauck, ἐκστίξω Wieseler

464 ἰοῦ ἰοῦ Hermann 465 γέγηθα μαίνομαί τε Blaydes, γέγηθ', ἀγαλλόμεσθα σοῖς F. Gu. Schmidt 468 διπλαῖσι] πάσαισι Paley, fort. δικρότοισι 469 θεοῦ vel θεῶν Dobree

472 ὡς ξυλληπτέον Wieseler 473 αἱροίμην Beck 475 ἐκτρήσομεν Brodeau, ἐκθλίψομεν Scaliger 476 σιγᾶτέ νυν Bothe

480—2 delet anonymus 483 *Ημιχ.* hic ut 488, 495, 511 praescripsit Matthiae 488 *καὶ δή*] *κελαδεῖ* Reiske

490 ante *καὶ* interserit *τάχα δ' αἰάξων* Conradt | *ἀπῳδῶς* Hartung | *ἀπῳδὸς κατακλαυσόμενος* Hermann 498 *ἐκπεπανθείς* Musgrave 499 *δεμνίοις τε κάλλος* Hermann, etiam *δεμνίοις τ' ἄκανθον* Meineke, *δεμνίοις τε θυμὸν* M. Haupt, *δεμνίοισιν, ἄνθος* J. M. Stahl

500 *χλιδανὴν ἔχων ἑταίραν* Scaliger | *ἐθείρας* Wieseler 501 *μυρόχριστον λιπαρὸν* Reiske, *μυρόχριστον λιπαρὸς* Musgrave 502 *ᾄδει δέ* Musgrave. Vulgatur *τίς* 503 *παπαπαί* Lenting, *παπαπαῖ* Hermann 504 *δαιτὸς ἤδη* H. Stephanus, *δαιτός, αἱβοῖ* Scaliger, *δαιτὸς ᾔδει* Herwerden 506 *ἄκρον* olim Bothe 507 *μ' ὁ*] *με* Boissonade | *φόρτος* Seymour 509 (*Κύκλωπάς τ'* Barnes) 512 *καλὸν* . . *μέλαθρον* Canter | *ἐκπερᾷς* Heath

513 *θεὸς* (vel *καλὸς*) *οὖν* supplet Florens Christianus, *καλὸς ὢν* Musgrave, *λάθριον* O. Goram | *τιν' ἡμῶν* Goes 513 sqq. *καλὸν οὖν φιλεῖν τί σ' ἡμᾶς. λύχνα δ' ἀμμένει πάλαι σὸν χρόα χὼς* . . *ἄντρων στεφάνων οὐ κτέ.* J. M. Stahl 514 *δαΐα σὸν*] *δολώσων* O. Goram, *σέλᾳ σὸν* R. Schenk 514 sq. *δ' ἀμμέν' ἰανεῖ σοι χρόα γ', ὦ* Musgrave, *δ' ἀμμένει διαὶ σὸν χρόα σ', ὡς* Hermann, *δ' ἀμμένει τε δᾴς σὸν χρόα χ' ὡς* vel *δ' ἀμμένει δάος τε χρόα σὸν* Bothe, *δ' ἀμμένει πάλαι σὸν* (olim *δ' ἡμμέν' ἀμμένει σὸν*) *χρό' · ἄγ', ὡς* Dindorf, *δάϊ' ἀμμένει σὸν χρόα καὶ* Hartung (*χρόα, κοὐ* Paley), *σ' ἀμμένει· πελᾷ σὸν χρόα χρῷ* Kirchhoff, (*δ' ἀμμένει δαΐφρων κόρας ὡς* J. H. H. Schmidt), *δ' ὡς τέρεινα νύμφα χρόα δάϊ' ἀμμένει σὸν* T. Neumann 515 *χρό' ὅπως* olim coniciebam | *ἐξαμιλλᾶται* Bothe, *ἐξαμιλλήσει* Hartung

520 *οὗ πιεῖν* Lenting 521 *δέ τις* Hermann, *δ' οὔ τις* Kvičala 521 sq. *τίς; ΟΔ. θεὸς νομίζεται μέγιστος* Wieseler 523 *ἐρυγγάνων* . . *ἡδέως ἔχω* F. Gu. Schmidt 524 *οὐδ' ἕνα* Wieseler 525 *οἴνους*] *ἄνους* Bothe 526 *τιθῇς ἂν* vel *τιθῇς νιν* (olim *τιθῇς, ἐνταῦθά γ' ἐστιν*) Kirchhoff, *τίθῃς οὖν* olim coniciebam 527 *σῶμ'*] *δῶμ'* Pierson, *σ' ὧδ'* Nauck, *πῶμ'* Bernardakis 528 *σε*] *σφε* Wieseler

530 *μέν' οὖν σὺν αὐτῷ* Florens Christianus, *μόνος νυν αὐτὸ* F. Gu. Schmidt 535 *μεθύομεν* Bothe, *μεθύοιμεν* Hartung | *μεθύωμεν· ἔμπας οὔτις* olim coniciebam 538 *ὅς δ' αὖ* Reiske | *γ'* deest in apogr. Paris.

541 *ἀνθηραῖς χλόαις* Wieseler 542 *καλοῦν* Wieseler

555 *ἐπεί μού φησ' ἐρᾶν* Florens Christianus, *ἐπεί μου οὔ φησ'* Spengel | *ὄντως καλοῦ* Wieseler 556 *πλέων δή* Matthiae | *τὸ σκύφος* Tyrwhitt | *μόνον δὲ τὸν σκύφον δίδου πλέων* Paley, *πλέων δὲ τὸν σκύφον δίδου νόμον* Wieseler 558 *δὸς οὗτος* Tyrwhitt | *ἄν σέ γε* editiones vet., *ἄν σέ τε* Hermann

561 *σοὶ 'θ'* Wieseler 562 *ἰδού, τὸ χεῖλος καθαρὸν* Florens Christianus | *αἱ τρίχες*] *εὐτυκές* Nauck, *αἱ ῥινές* olim coniciebam, *εὐτρεπές* Kvičala 563 *θὲς δὴ τὸν* Hartung 564 *ὡς ξένον ὁρᾷς* Reiske | *χὤσπερ οὐκ ἐμῶ* Scaliger, *χὤσπερ οὐκ ἐῶ* vel potius *ὥσπερ μ' ὁρᾶν πίνοντα χὤσπερ οὐκ ἔνι* Wieseler 565 *δρᾷς; ΣΙ. ὡς ἡδέως* Ritschl | *ἡμύστικα* olim Dindorf. Post 565 lacunam statuit Kirchhoff 566 *λαβὼν* . . *οἰνοχόος σύ μοι* Hermann, *λαβὼν ξέν' οὔτις οἰνοχόος γέ μοι γενοῦ* V. Hintner

571 *συνεκθανεῖν σιγῶντα* Scaliger, *συνεκθανεῖν δὲ συνόντα* Reiske, *σύθ', ἐνθανεῖν δὲ σκῶντα* Musgrave | *συνεκδραμεῖν* Madvig 573 *κἂν*

*μὴν* Kirchhoff 574 *βαλεῖ σ'* G. Schmid 577 *μόλις* Nauck 579 *τοῦ*] *καὶ* Heimsoeth | *τὸν Διὸς δέ τοι* Wieseler

581 *οὐδ' αὖ φιλήσω, κεἰ* Heimsoeth, *πῶς ἂν φιλήσαιμ'; αἱ* Herwerden, qui alias ⟨*αὐτὴ δ' Ἀφροδίτη*⟩ *χαὶ Χάριτες πειρῶσί με·* | *οὐκ ἂν φιλήσαιμ'* ⟨*οὐδὲ συγκατακείσομαι*⟩ conicit, *οὐκ ἂν φρονήσαιμ'* F. Gu. Schmidt 582 *ἐγγὺς* (vel *ἄγχι*) *Γαννμήδην* F. Gu. Schmidt 583 *ἥδομαι δ' ἐγὼ* F. Gu. Schmidt 585 *γὰρ οὐ σός εἰμι* (vel *γὰρ ὅδε σός εἰμι*) F. Gu. Schmidt 586 *τοῦ Γαργάρου* Matthiae 588 *μέμφῃ γ' ἐραστὴν* Heath 588 sq. choro tribuit Aldina, 588 choro, 589 Sileno apogr. Paris. 589 *οἶνον*] *ὕπνον* Aldina, *ὄγκον* Musgrave

591 *τῷ δ'*] *ὥσθ'* Hermann, *ἔνθ'* Hartung | *ὑπὸ δ' ὕπνου* Wieseler

593 *ὄζει καπνοῦ* Wieseler 593 sq. *ὠθῶν καπνὸν παρηυτρέπισται κοὐδὲν ἐμπεδῶν πυροῦν* Král 594 *πᾶν εὐτρεπές· δεῖ δ' οὐδὲν* Nauck, *παρευτρεπιστέ' οὐδὲν* Wieseler | *δ'*] *τ'* R. Schenk 598 *ἀπάλαμον* Hoepfner | *ὡς σοὶ τἀνθένδ' ἐστὶν* Aldina, unde *ὡς τἀνθένδε σοὐστὶν* Hermann

604 *ἀπελάσητ'* Wieseler | aut *Ὀδυσσέως* aut *ναύτας τε καὐτὸν ἀπολέσητ' Ὀδυσσέα* Beck, *αὐτήν τε ναῦν σύν τ' ἀπολέσητ' Ὀδυσσέα* Paley

605 *θεῶν οὐ πλέον βροτῶν* Wieseler 606 *οὐ τὴν* Reiske 608 *λήψεται* ⟨*δὴ*⟩ *τὸν*, v. 608—11 = 612—16 ⟨*εὐτρεπίζεται γὰρ*⟩ *ἤδη* . . *Μάρων* statuens, Hartung

616 *Μάρων*] *μαρμαροῦν* Christ | *πρασσέτω*] *πρήσων*, statuens *πρήσων μαινόμενος* . . *κακῶς* = *κἀγὼ τὸν φίλιον κισσοφόρον* . . *θέλω*, Hartung 616 sq. *ἴτ' ὤ, μόρον πράσσετ' ὦ* . . *ἔξελετ' ὦ* Kirchhoff 617 *μαινόμενον* Brodeau, *μαινόμενος* Musgrave

624 *θῆρες*] *φῶτες* F. Gu. Schmidt 627 *τὸ*] *τι* Wieseler 628 *ἐξομιλήσῃ* Musgrave

631 *ἐς ὄμμ' ἑλόντες* Wieseler 633 *μοχλὸν*] *μύδρον* Reiske | *ἐκκναίειν* Wieseler 635 *μικρότεροι* Scaliger, *μακροτέρω* Matthiae, *μακροτέραν* Cobet 636 *ἑστῶτας*, versum ante 633 interserens, in quo *καὶ τὸν* legebatur, Pierson | *πρὸς τὸν* apogr. Paris. et Aldina 638 *ταὐτόν γε* olim Nauck. Verba *ταὐτὸν* . . *ἐμοί* et 640 *ἑστῶτες ἐσπάσθητε* coryphaeo tribuit Hermann | *τά γ'*] *τάδ'* Hervagiana utraque

641 *κόνιος* Scaliger | *μέστ' ἐστὶ κόνεως ἥμιν* Hermann 646 *ἀγαθὴν*] *κεδνὴν* Herwerden 647 *αὐτοματὶ* Heath, *αὐτόματα* Faehse 648 *παῖδα γῆς*] *πανθαγῆ* Wieseler

650 *τοῖς ἄρ' οἰκείοις* F. Gu. Schmidt 653 *φίλην* Wieseler 656—8, scribens *ὦ ἰώ· ὦ ἰώ· ἰὼ γενναιότατοι* . . *ἐκκαίετ' ὀφρὺν κτέ.*, statuit = 659—62, scribens 661 *τορνεύεθ' ἕλκετε, μὴ δὴ ἐξοδυνηθείς*, Hartung 656 *γενναιότατοι* Hermann | *ὠθεῖτ' ἐρείδετε* F. Gu. Schmidt | *σπεύδετ' ὦ* Dindorf 657 *ἐκκαίετ' ὀφρὺν* Hermann, *καίετε τὴν ὀφρὺν* Bothe, *ἐκκαίετε τὴν ὄψιν* Wieseler 659 *τύφετε καίετε* H. Stephanus

660 *τὸν Αἴτνᾳ* Musgrave 661 *τορνεύτ', εἷκε* Herwerden | *ἕλκον* Musgrave | *εἴλλε, μὴ δ' ἐς σ' ὀδυνηθεὶς* Wieseler | *μὴ δέ σ' ἐξοδυνηθεὶς* Hermann, *μὴ ἐξοδυνηθεὶς* Groeppel 664 *μέλπ' ἐμοὶ* Wieseler

665 *ὡς ὀλώλαμεν*] *ἐξολώλαμεν* Nauck 667 *οἶδ', ἐνόντες* O. Goram, *ἔνδον ὄντες* Wieseler, *οὐδὲ ζῶντες* Schenkl, *οὐ στένοντες* olim coniciebam

672 *οὐδ' εἷς* Porson 673 *ἐτύφλου* Wieseler 674 *ὡς δὴ σύ*] *ὀλεῖς σύ* sive *ὀλῇ σύ* Kirchhoff, *ὄλοιο* Schenkl. Versum delet Dindorf